» καὶ ἥλλετο, καὶ περιεπάτει. οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ Παῦλος, ἐπῆραν
» τὴν φωνὴν αὐτῶν Λυκαονιστὶ, λέγοντες, οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν
» πρὸς ἡμᾶς. ἐκάλουν τε τὸν μὲν Βαρνάβαν, Διΐα, τὸν δὲ Παῦλον, Ἑρμῆν, ἐπειδὴ αὐ-
» τὸς ὢν ὁ ἡγούμενος τοῦ λόγου. ὁ δὲ ἱερεὺς τοῦ Διὸς, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῆς,
» ταύροις καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας σὺν τοῖς ὄχλοις ἤθελε θύειν.

Κατέφυγον. σημειωτέον ἐνταῦθα ὅτι ὑ δεῖ περιεῖδεν ἡμᾶς τοῖς κινδύνοις,
ἀλλ' ἢ δεῖ, καὶ φεύγειν πρὸς καιρὸν, ὧν κηρυσσόντων τοῦτο τοιούτων, ὥσπερ ἐπίτηδες
ἐκπεῖραι βουλομένους τὸ κήρυγμα, καὶ διὰ τῶν διωγμῶν μᾶλλον αὐξάνεσθαι.

» Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια
» αὐτῶν, ἐσεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες καὶ λέγοντες. ἄνδρες τί ταῦτα ποιεῖτε;
» καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς, ἀπὸ τούτων
» τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν
» καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. ὃς ἐν ταῖς παρωχημέναις γενεαῖς εἴασε
» πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. καίτοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀ-
» φῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς, καὶ καιροὺς καρποφόρους, ἐμ-
» πιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. καὶ ταῦτα λέγοντες μόλις κα-
» τέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκο-
» νίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς
» πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, ἀναστὰς
» ἐσῆλθεν εἰς τὴν πόλιν. καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. διαγε-
» νισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς τὴν Λύ-
» στραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, καὶ παρακα-
» λοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς
» τὴν βασιλείαν τοῦ θεοῦ. Διαῤῥήξαντες τὰ ἱμάτια. ἔθος ἐστὶν Ἰουδαίοις ἢ ταῖς κα

τὰ θεοῦ

τὰ θεοῦ δυσφημίας περιῤῥηγνύναι τὰ ἱμάτια. καὶ γοῦν ὁ Καϊάφας, ὑβὸν ἑαυτὸν τὸ
θεοῦ λέγοντος τὸν Χριστοῦ ποριέῤῥηξε τὸν ἑαυτοῦ χιτῶνα διακελευσάμενος καὶ λέγων, ὅτι ἐβλα-
σφήμησε. τὸν αὐτὸν τρόπον καὶ οἱ θεοπέσιοι μαθηταὶ Βαρνάβας καὶ Παῦλος ὑβὸν ταῦ-
θα θεοὶ νομισθέντες, ἀπὸ διαθέσεως ψυχῆς ἀποῤῥεφόμενοι τὰ μιάσματα, καὶ πέμ-
θοις τοιοῦτος σημεῖα. πένθος γὰρ ἦν ὄντως εἰ μὴ ἔμελλον θεοὶ νομίζεσθαι καὶ ἄδω-
» λολατρίαν ἄσαγον, ἣν ἦλθον καταλῦσαι. Χαροποιήσαντες δὲ αὐτοῖς πρεσβυτέ
» ρους κατ' ἐκκλησίαν, πεσευξάμενοι μετὰ νηστείας, παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν πε-
» πιστεύκεισαν. καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν. καὶ λαλήσαντες
» ἐν Πέργῃ τὸν λόγον, κατέβησαν εἰς Ἀτταλείαν. κἀκεῖθεν ἀπέπλευσαν εἰς Μι-
» λητον, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. παρα-
» γενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα ἐποίησεν ὁ θεὸς με-
» τ' αὐτῶν. ἐ ὅτι ἤνοιξε τοῖς ἔθνεσιν θύραν πίστεως. διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον Κεφ. κγ'.
» σὺν τοῖς μαθηταῖς. καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελ- 15
» φοὺς ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωσέως, οὐ δύνασθε σωθῆναι. γενομένης οὖν
» στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς.
Διὰ τί οὐδὲ ἐν Κύπρῳ οὐδὲ ἐν Σαμαρείᾳ ἐποίησαν περισβυτέροις οἱ Ἀποστολοὶ οὐδὲ ἐν
ταῦθα; ὅτι ἐκεῖναι μὲν ἐγγὺς ἦσαν τῆς Ἱερουσαλὴμ καὶ τῶν Ἀποστόλων, ἐν ᾗ αὐτῇ
δὲ τῇ Ἀντιοχείᾳ ὁ λόγος ἐκράτει, ᾗ ταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ
μάλιστα οἱ ἐξ ἐθνῶν ὀφείλοντες πολλὰ διδάσκεσθαι. σημειωτέον ὅ ὅτι οἱ περὶ Παῦ
λον καὶ Βαρνάβαν ἐπισκόπων εἶχον ἀξίαν, ἐξ ὧν ἐχειροτόνουν οὐ μόνον διακόνους
ἀλλὰ καὶ πρεσβυτέρους. καὶ ὅτι μετὰ νηστειῶν καὶ εὐχῶν ἐποίουν οἱ μαθηταὶ τὰς
χειροτονίας. σημειοῦται δὲ καὶ τόπον, ὅτι ἐν Μιλήτῳ ἐχειροτονήθησαν οἱ περὶ Βαρνάβαν
καὶ Παῦλον, ἄλλο δὲ ἀντίγραφον εὗρον ἔχον ἀντὶ Μιλήτου, ἐν Ἀντιόχειαν. ὃ καὶ
» πιθανώτερον. Ἐπαξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν, καί τινας ἄλλους ἐξ
» αὐτῶν πρὸς τοὺς Ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος
» τούτου. οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τὴν Φοινίκην τε Σα-
» μάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι
» τοῖς ἀδελφοῖς. παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας
» καὶ τῶν Ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγελλόν τε ὅσα ὁ θεὸς ἐποίησε με-
» τ' αὐτῶν. ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν φαρισαίων τῶν πεπιστευκό-
» των, λέγοντες. Δεῖ περιτέμνειν αὐτοὺς παραγγέλλειν τε φυλάσσειν τὸν νόμον Μωσέως.
Δεῖς οὖν τῇ πρὸς Γαλάτας ἐπιστολῇ, γὰρ δὲ ἀνῆλθόν φησιν εἰς Ἱερο-
σόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, οὐδὲ ἀνεθέμην τὸ εὐαγγέλιόν ὃ κηρύσσω ἐν
τοῖς ἔθνεσιν, ἐνταῦθα δὲ φησιν ὅτι ἔταξαν Παῦλον καὶ Βαρνάβαν ἀναβαίνειν εἰς Ἱε
ροσόλυμα πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους; καὶ φαμὲν, ὅτι πρῶτον μὲν οὐκ
αὐτὸς ἀνῆλθεν, ἀλλ' ἔστειλαν παρ' ἑτέρων. δεύτερον δὲ ὅτι οὐ μαθησόμενος πρὸ-
λέγει τοῦτο, ἀλλ' ἑτέροις πίστιν. αὐτὸς μὲν γὰρ ἐξ ἀρχῆς, ταύτης εἶχε τῆς γνώμης, ἥν
καὶ οἱ ἀπόστολοι μετ' αὐτὸν ἐπύρωσαν, τὸ μὴ δεῖν περιτέμνεσθαι. ἔστω δὲ δὴ δὲ οὐκ ἐδό
κει τότε αὐτοῖς ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς τῶν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν, οὐκ

αὐτὸς τὸ

αὐτὸ τοῦτο πεισόμενος τελεῖον, ἀλλὰ πείθων τοὺς ἀντιλέγοντας, ὅτι ἐκ τοῦ Ἰεροβλύμοις
» τύπος ψηφίζονται. Οτι δεῖ πιστεύειν αὐτῷ, παραγγέλλειν τε τηρεῖν τὸν νό
» μον Μωσέως. Οὐχ οἱ ἀπὸ ἐθνῶν πιστοί, ἀλλ' οἱ ἀπὸ Ιουδαίων ἀπήρτω τῇ πι
στοὺς διαστέλλεσθαι, ἐπὶ τὰ ἄλλα τοῦ νόμου σαρκικὰ ποιεῖν. ὅτι ὡς ἐξ ἀρχῆς καὶ χρῆσιν
θέλοντας διαστέλλειν τοὺς πιστοὺς, γὰρ καὶ αὐτοὶ ἔξαιρε οἱ μαθηταὶ καίτοι ἐκ περιτομῆς
» ὄντες. γὰρ τὸ ἑαυτῶν ἐζήτουν, ἀλλὰ τὸ κοινωφελὲς τοῦ κόσμου καὶ σωτήριον. Συνή-
» χθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. πολλῆς δὲ
» συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς. Ανδρες ἀδελφοί.

Καὶ δυθαέσει σοφὰ σαθαι ὅτι ἄλλην τινὰ ἀξίαν ἐπαναβαίνουσαν τοὺς πρεσβυ
τέρους εἶχον οἱ ἀπόστολοι. διὸ γὰρ συμπεριέλαβεν αὐτοὺς τοῖς πρεσβυτέροις.

» Υμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ θεὸς δι' ἡμῶν ἐξελέξατο διὰ τοῦ στό-
» ματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι. καὶ ὁ καρδιογνώ
» στης θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν, καὶ γδὲν διέ
» κρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. Ισως
πεῖσαν οἱ ἐγκαλέσαντες αὐτῷ παλαι ἐπὶ Κορνηλίου, καὶ ἐλθόντες μετ' αὐτοῦ,
διὰ τὸν πάγχυ αὐτοὺς μάρτυρας. Τί δέ ἐστι τὸ, ὃν ἡμῖν ἐξελέξατο; τυτέστιν ὡς Πα
λαιστίνη, ἢ πρὸν τῶν λίμων, καὶ γὰρ διέκρινε φησι μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, δίδοι αὐτοῖς
τὸ πνεῦμα τὸ ἅγιον καθὼς καὶ ἡμῖν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. τυτέστι
καθαρισμὸν ποιήσας ὧν ἀπὸ τῆς καρδίας αὐτῶν ἐζιόντων ἁμαρτημάτων. οὗτος δὲ ὁ
καθαρισμὸς ἔοικε περιτομῇ. καὶ ἀντὶ τῆς τοῦ σαρκὶ περιτομῆς δίδοται ἡ ἐν πνεύματι περ
περιτομὴ καθαριζουσα τῇ πίστει τῇ εἰς Χριστὸν τὸ κρυπτά. ὅτι δὲ γὰρ κοινωφελὴς ἡ σαρ
κικὴ περιτομὴ, ἐντεῦθεν δείκνυται, ὅτι μόνῳ τῷ Ἀβρὰμ ἐδόθη. τοῦ δὲ Χριστοῦ Ιη
σοῦ τῇ ἀληθινῇ πίστει γὰρ ἕνι Ἕλλην καὶ θῆλυ, γὰρ ἔνι δοῦλος ἢ ἐλεύθερος, γὰρ ἔνι Ελ-
» λην ἢ Βάρβαρος, ἀλλὰ πάντες ἓν ἐσμέν. Νῦν οὖν τί πειράζετε τὸν θεὸν, ἐπιθεῖναι
» ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσα-
» μεν βαστάσαι; ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ιησοῦ Χοῦ πιστεύομεν σωθῆναι καθ' ὃν
» τρόπον κἀκεῖνοι. ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου ἐξη
γουμένων ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι διὰ τούτων. μετὰ δὲ
» τὸ σιγῆσαι αὐτούς. Τί πειράζετε τὸν θεὸν; τυτέστι τί ἀπιστεῖτε τῷ θεῷ ὡς γὰρ
ἰσχύον τί φησι σῶσαι τῇ πίστει τοὺς προσερχομένους αὐτῷ; σημειωτέον δὲ ὅτι τὰ δυ-
σκατόρθωτα ἐπιτάγματα τῆς σαρκὸς γδεῖ ἐπικλᾶν πίστιν, οἷον ἄκραν νηστείαν, ἢ γυ-
μνότητα, ἢ σιωπὴν, ἃ μὴ γένηται ἑαυτῷ ταῦτα ἐπιτάξοι. ἡμῖν δὲ δυσχερῆ, ἀλλὰ μὴν γὰρ
κατορθώματα, καὶ γινόμενα ὑπὸ πολλῶν καὶ γινόμενα, ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυ-
ρίου Ιησοῦ πιστεύομεν σωθῆναι. ὥσπερ γὰρ πάλαι μὲν ὁ νόμος τοὺς διαφυλάττοντας
τὰ ἐναὐτῷ γραμμένα ἔσωζεν, οὕτω νῦν ἡ χάρις καὶ δίκη τῆς τοῦ νόμου τηρήσεως
διὰ τῆς πίστεως σώζει. Ἀπεκρίθη Ιάκωβος, λέγων, ἄνδρες ἀδελφοί, ἀκούσατέ
» μου. Οὗτος ὁ Ιάκωβος, ὁ τῶν Ιεροβλύμων ὑπὸ κυρίου προχειρισθεὶς ἐπίσκοπος
υἱὸς Ιωσὴφ ἦν τὸ τέκνος, ἀδελφὸς δὲ κατὰ σάρκα τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ.

σωτῆρος

σωτῆρος δὲ ἀπότε νέων, ἀπότε παλαιῶν βεβαιοῦται τῶν προφητῶν τὸν λόγον. γὰρ
ἔχει πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος διαλαδὴ καὶ Παῦλος. καλῶς δὲ οἰκονομεῖ-
ται. Διὰ ἐκείνων ταῦτα γενέσθαι ὧν γὰρ μελλόντων χρονίζειν τοῖς Ιεροβλύμοις. τοῦτο
δὲ τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπεύθυνον, μηδὲ μὴν ἀναστέλλεσθαι τῆς γνώμης.

» Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν
» τῷ ὀνόματι αὐτοῦ. καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγρα-
πται. μετὰ ταῦτα ἀναστρέψω. Τιμὲς Συμεὼν τὸν ἐν τῷ Λουκᾷ πεφητευσαντα,
» νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, φασι. Καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαὶδ
» τὴν πεπωκῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτὴν, ὅ-
» πως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ'
» οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτοὺς, λέγει κύριος, ὁ ποιῶν ταῦτα πάντα. γνω-
στὰ ἀπ' αἰῶνός ἐστι τῷ θεῷ πάντα τὰ ἔργα αὐτοῦ. διὸ ἐγὼ κρίνω, μὴ παρενοχλεῖν τοῖς
» ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεὸν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι τῶν
» ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ πνικτοῦ, καὶ τοῦ αἵματος. Μωσῆς
» γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς
» καθ' πᾶν Σάββατον ἀναγινωσκόμενος. Οἱ μὲν Ιουδαῖοι ἐκ τοῦ μετὰ τὴν μετοί-
κησιν τοῦ ἐν Ιεροβλύμοις ναοῦ τὸν ἐρῆσθαι νεμοήκασι. τὸν δὲ γκέσιν
ἀληθῆ. καὶ μετὰ τὸν γὰρ πολλάκις κατέφραπται. ἡ δὲ προφητεία αἰωνίαν τὴν ἀ-
νοικοδόμησιν ἐπαγγέλλεται. οἱ δὲ ἐκ τοῦ Ζοροβάβελ τὸν ἐρῆσθαι λέγοντες, γὰρ κα
λῶς νεμοήκασιν, ὡς ἐκ Δαὶδ τὸ γένος κατάγοντα. γκέσι δὲ γδὲ τὸν ἀληθές. ὁ
γὰρ Ζοροβάβελ ὀλίγον ἢ μεμονδύσας χρόνον τὸ θανάτου τὸν ὅρον ἐδέξατο. ἡ δὲ προ-
φητεία αἰωνίων ἀγαθῶν ἐπαγγελίαν περιέχει, ἐν ὧν ἐθνῶν ἅπαντα τὰ τῆς θεοῦ ἐπί
γνωσιν. ὧν γδὲν τοῖς τοῦ Ζοροβάβελ γενεννημένοις συμβαῖνον εὑρίσκομεν. πρόδηλον
τίνων ὅτι τῆς τοῦ κύριον ἡμῶν Ιησοῦ Χριστοῦ ταύτα ἐρῆσθαι μοήθη. ὁ γὰρ κύριος
ἡμῶν ἐκ Δαὶδ καταγόμενος καὶ σάρκα τὸ γένος, τὰ πρὸς τὸν Δαὶδ γενεννημένην ἐπαγ
γελίαν ἐπλήρωσεν. ὁ γὰρ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τὰ ἐκ Δαὶδ
ἀναλαβὼν σκηνήν. ἡκότος οὖν ὁ προφητικὸς λόγος τὸ Δαυὶδ τὴν σκηνὴν ἀνοικοδο-
μηθήσεσθαι λέγει, ἐν γκέτι ὀλίγον χρόνον, ἀλλὰ πάσας τὰς ἡμέρας τὸ αἰῶνος. ἐπαγ
γέλλεται δὲ τοῖς ἐθνεσι τῆς θεογνωσίας τὸ δῶρον. τυτέστι τοὺς ἐξ ἐθνῶν ἐπιστρέψαν-
τας εἰς Χριστὸν, καὶ κληθέντας τῷ ὀνόματι τοῦ Χριστοῦ. Αλλοι δὲ τὰ τὴν ἐκ νεκρῶν ἀνά
στασιν αὐτοῦ τὸν ἐρῆσθαι φασι. τὰ γὰρ εἰς θάνατον αὐτοῦ πεδοῦσαν σκηνήν; τυτέστι τὸ
ἀπὸ γῆς σαρκίον ἐγείραντος τὸ θεοῦ καὶ πατρὸς, δέ τε πᾶν τὸ ἀνθρώπινον πρὸς τὸ ἀρ
χαῖον ἀνέσει σχῆμα, ἐ πάντα λίμων δὲ κατερρίμμενα πρὸς νέαν ὁλοκληρίαν ἐπήγερται. συ-
νεγήγερμεται γὰρ τῷ Χριστῷ. καθέσπαρται μὲν γὰρ ὁ θάνατος δὲς ἁπάντων σπείρας.
ἀνοικοδόμησε δὲ ὁ θεὸς καὶ πατὴρ τοῦ Χριστοῦ. γκ ἦν γὰρ ἕτερος ἀναστῆναι τὰ φύσιν
τὰ ἡμετέραν, μὴ τὸ τὰ ἀρχὴν διαπλάσαντος αὐτὰ, χεῖρα ὀρέξαντος, καὶ διαπυ-
σαντος ἄνωθεν, τῇ διὰ ὕδατος ἀναγεννήσει καὶ πνεύματος. ἐστι πῶκ γὰρ ὄντως πῶμα
ἁγίαν, καὶ τῆς κραταιᾶς ἐκείνης δεόμενον χρῆος. καὶ τὸ λίμιν γκ εἰς χρόνου φησὶν

ὑπάρξαν

ὑπάρξῃ μικρὸν, ἀπὸ ἡμέρας αἰώνος. ἀνατέτραπται γὰρ ὑφ' ἡμῶν τὸ τῆς ἀφθαρσίας
ἀγαθόν. Τότε δέ φησι καὶ οἱ καθ' ἁλοι τῶν ἀνθρώπων μετὰ τρὶς τεσσεσυκόπας ἐξ
Ισραὴλ, τὴν φύσει καὶ ἀληθῶς ἐγνωκασι θεὸν, τῆς ἀρχαίας πλάνης ἀποφοιτήσαν-
τες. κληθήσονται δέ φησι καὶ πάντα τὰ ἔθνη, καὶ ἐπ' αὐτοῖς ἔσται τὸ ἐμὸν ὄνομα, ἐφ' οἷς
» ἐξ ἀρχῆς ἐπικέκληται, οἷς γὰρ πρόειπε προώρισε φησι. Τότε ἔδοξε τοῖς ἀπο
» στόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν
» πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλούμενον Βαρ-
» σαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρῶν αὐ-
» τῶν, τάδε. οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ τὴν Αντιό-
» χειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν. ἐπειδὴ ἠκούσαμεν,
» ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐταράξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς
» ὑμῶν, λέγοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐδὲν διεστείλάμεθα, ἔδοξεν ἡμῖν
» γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπη-
» τοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ
» ὀνόματος τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ
» αὐτοὶ διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν,
» μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι
» εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας. ἐξ ὧν διατηροῦντες ἑαυτοὺς
» εὖ πράξετε. ἐρρῶσθε. οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Αντιόχειαν, καὶ συναγα
» γόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν, ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρα-
» κλήσει. Ιούδας τε καὶ Σίλας καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκά
» λεσαν τοὺς ἀδελφοὺς, ἐπεστήριξαν. ποιήσαντες δὲ χρόνον ἀπελύθησαν μετ' εἰρή-
» νης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ.
» Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Αντιοχείᾳ διδάσκοντες καὶ εὐαγγελιζό-
» μενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ κυρίου. μετὰ δέ τινας ἡμέρας εἶπε Παῦ
» λος πρὸς Βαρνάβαν. ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ
» πᾶσαν πόλιν, ἐν αἷς κατηγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσι. Εκλε
ξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι. ἔδοξε μὴ τὸν ἐπιστολὴν πρεῖναι μόνον, ἵνα μὴ λέ
γωσιν ὅτι σωφρόνασαν ἄλλο ἀντ' ἄλλου ἡσόντες, ἀλλ' ὥστε καὶ ἀξιοπιστότερον γενέ-
σθαι τὸ πρᾶγμα, πέμψουσι τοῖς παρ' αὐτῶν, ἵνα ἀνύποποι ὦσι Βαρνάβας καὶ Παῦλος.
ἵνα δὲ μὴ δόξῃ διαβολῆς εἶναι Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποσταλῆναι,
ἐγκομιάζουσιν αὐτοῖς. ἀνθρώποις φασὶ παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνό
ματος τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. ἐδόξε φασὶ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν. ὑδαμοῦ
γὰρ πρὸ τούτων διελέχθη ὁ Χριστὸς, ἀλλ' οὐδὲ ἀπὸ τοῦ νόμου ταῦτα λέγουσιν. ἵνα οὖν
μὴ δόξῃ ἀνθρώπινον εἶναι, τῷ ἁγίῳ πνεύματι φασί. εἶτα διδάσκουσιν ὅτι καὶ αὐτοὶ
ἀποδέχονται καὶ φυλάσσοντας ἐπάγουσι, καὶ ἡμῖν. ἠδύναντο μὲν γὰρ καὶ
χωρὶς γραμμάτων ταῦτα διηλῶσαι, ἀλλὰ διὰ τὸ ἀνύποποι, ἐπὶ ὥστε μόνον ἐγγράφου
βουλόμενοι ταῦτα γενέσθαι, γράφουσι πάλιν ὥστε πεφάνθαι τῷ νόμῳ,
καὶ τὰ

καὶ τὰ τέσσαρα ταῦτα ἀπαγορεύσαντες ποιεῖν, τὰ ἔθνη τὰ λοιπὰ αὐτοῖς συγχώρη
σαν. Τί δέ ἐστι ταῦτα; ἀπέχεσθαι φασιν εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ
» πορνείας. διὰ δὲ τὸ ἀπέχεσθαι πνικτοῦ, τὸν φόνον ἀπεῖργουσι. Βαρνάβας δὲ
» ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ιωάννην τὸν καλούμενον Μάρκον. Παῦλος δὲ
» ἠξίου τὸν ἀπὸ πάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ
» ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. Ιωάννης ὁ καλούμενος Μάρκος ἦν συνοδοιπο
ρῶν αὐτοῖς εἰς τὸν διαγγελικὸν δρόμον, ἀπὸ Γαλατικῆς μέχρι Παμφυλίας. εἶτα
τῶν ἀποστόλων διὰ τὸ κεχρημένων δρόμῳ, καὶ ἀναμεῖναι τὴν ψυχὴν πρὸς τις ἀγῶ-
νας ὠφελιζομένων, Μάρκος ὡς ἄνθρωπος νωθρὸς, καὶ μὴ διὰ τῶν πρὸς τὸν δρό-
μον τὸν τοῦτον, καὶ πρὸς τις ἃς ἐπὶ πολὺ ἀνακινδυνεύοντας ἀγῶνας ἐν κινδύνοις,
ἀποταξάμενος τῷ δρόμῳ τῶν ἀποστόλων, ἐπανῆλθεν εἰς τὴν Γαλατικὴν, διὰ Χριστὸν
ἀρνησάμενος, ἀνὰ τὸν δρόμον τὸν πολὺν καὶ βαρὺν πραιτησάμενος. Παῦλος δὲ καὶ
Βαρνάβας καθ' ὧν ἐυσεβείας νέμοντες, καὶ εὐαγγελιζόμενοι τὸν τοῦ Ιεροδιδύμους
ἐκκλησίαν, τρισὶ τόνοις διὰ παρορεύειν ἐβουλεύσαντο διὰ τί; ἐθνῶν οὖν πάν
των ἐπαινόωντων τὸν Παῦλον καὶ τὸν Βαρνάβαν ἐπὶ τοῖς κατορθώμασιν, ὁ Μάρ-
κος λυπηθεὶς ἐπὶ τὴν ψυχὴν, καὶ ἴσως ἐνενόησε λέγων, ὅτι, ἐμὴν κοπιῶντος τῶν
πόνων, ἐλυόμην ἀπ' αὐτῶν καὶ κοινωνὸς τῶν ἐπαίνων. καὶ ἐβουλεύσατο τοῖς ἀποστόλοις
συνεξελθεῖν εἰς τὸ κήρυγμα. ὁ οὖν Βαρνάβας μετανοήσαντα αὐτὸν ἐδέξατο, ὁ δὲ
Παῦλος ἐφιλονείκει καὶ ἔλεγε, τὸν μὴ συνελθόντα ἡμῖν εἰς τὸ ἔργον κυρίου δεῖ συμ-
παραλαμβάνειν. ἵνα οὖν στάσις δικαιοσύνης ἦν, δι' θυμοῦ. ὁ μὲν γὰρ Παῦλος ἐζήτει τὸ δί-
καιον, ὁ δὲ Βαρνάβας τὸ φιλάνθρωπον. σωτὴρ γίνων ὁ Μάρκος τῷ Βαρνάβᾳ ἀπου-
δάξεων καὶ πρέχων, ὁ δὲ Παῦλος ἐν ταῖς ἐκκλησίαις παρήγγελε μὴ δεχθῆναι τὸν
Μάρκον, διὰ ἵνα λυπήσῃ, ἀπὸ ἵνα ἀπουσαιότερον ποιήσῃ. ὡς δὲ εἶδεν ὁ Παῦλος πε-
λαβόντα τὴν ἀπουδὴν τὸν Μάρκον ἐπολογησάμενον διὰ τῶν δι' ὑστέρων, ἀρχεται
αὐτὸν παραίθεσθαι καὶ φησιν. ἀπαράζεται ὑμᾶς Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, πορὶ οὗ
» ἐλάβετε ἐντολὰς ἐὰν ἔλθη δέξασθαι αὐτὸν. Ελθὼν οὖν προθυμὸς ὥστε ἀ- Κεφ. κδ΄
» ποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον ἐκ- 16
» πλεῦσαι εἰς Κύπρον. Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι
» τοῦ θεοῦ ὑπὸ τῶν ἀδελφῶν. διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκ
κλησίας. κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν. καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι
Τιμόθεος, υἱὸς γυναικός τινος Ιουδαίας πιστῆς, πατρὸς δὲ Ελληνος, ὃς ἐμαρτυρεῖτο
ὑπὸ τῶν ἐν Λύστροις καὶ Ικονίῳ ἀδελφῶν. τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν.
καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ιουδαίους, τοῦτο ἦντας πάντες τοῖς τόποις ἐκείνοις.
» ἤδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ελλην ὑπῆρχεν. Παροξυσμὸς φησιν
ἐλύετο, καὶ ἔφερε, καὶ φιλονεικία. τοῦτον δὲ ἴσχυσεν ὁ παροξυσμὸς, ὥστε χωρίσαι
αὐτοὺς ἀπ' ἀλλήλων. ἡκότως. ὁ πορεύεσθαι σὺν τέλαβεν εἶναι λυσιτελές, τὸ μὴ ταῦ-
τα πρᾶσσε παρὰ διὰ πρὸς ἐκείνου κοινωνίαν. δοκεῖ δὲ καὶ ζήνεσιν μεμῶσθαι ὁ χωρισ-
μὸς, καὶ πρὸς ἀλλήλους ἦσειν, ὅτι ἐπὶ δὴ ἐγὼ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μα-
χώμεθα,

χόμεθα, διανεμώμεθα τοῖς τόποις. ὥστε πάνυ εἰκότως ἀλλήλοις τοῦτο ἐποίουν. ἐβούλετο γὰρ εἶναι τὸ Παύλου ὁ Βαρνάβας. διὸ καὶ ἀνεχώρησεν. ὅμως δὲ καὶ οὗτοι τῶν προφήτας τοὺς εὑρίσκομεν, καὶ γνώμας διαφόρους, καὶ διαφορὰ ἤθη. οἷον ὁ Ηλίας αὐστηρὸς, ὁ Μωσῆς πρᾶος. οὕτω δὲ καὶ οὗτοι θεσπρότερός ἐστιν ὁ Παῦλος τοῦ Βαρνάβα, πάνυ δὲ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη. τὸ μὲν γὰρ Παύλου φοβερὸν, ἐποίησεν αὐτὸν, τὸ δὲ Βαρνάβα χρηστὸν ἐποίει μηκέτι ἀπόλλυσθαι. ὥστε μάχονται μὲν, πλέον δὲ τέλος ἀπαντᾷ τὸ κέρδος. καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ, καὶ Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ αὐτὸν ἐφίλησε. καὶ Διορθοῦται ὁ μαθητὴς διὰ τῆς μάχης ὧν ἐδιδάσκαλον, τοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι. ὡς γὰρ εἶδεν ἑαυτὸν οὕτως ἐκβληθέντα διὰ τὴν ῥᾳθυμίαν ὑπὸ τοῦ Παύλου, ἔπαυσε τῇ προθυμίᾳ ἐν τῷ δευτέρῳ δρόμῳ καλύψασα τὴν προτέραν ὀχλήσαν, πάνυ ὠφελημένος ἀπὸ τῆς ἀκριβείας τοῦ Παύλου. Τί οὖν; ἐλθόντες ἀνεχώρησαν; μὴ γένοιτο. ὅτι δὲ γέγονεν ἕκθρα τοῖς ἀποστόλοις, δείκνυται πάντα χοῦ μὲν τὸν Βαρνάβας πολλῶν ἐγκωμίων ἀπολαύων παρὰ Παύλου ἐν
» τοῖς Ἡσιόδοις. Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδοσαν αὐτοῖς φυλάσσειν
» τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ιερουσα-
» λήμ. αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. Δόγματα κέκληκε τὰ ἀπὸ τῶν ἀγόντων τὸν ἀγῶνα, στρατείας, καὶ αἵματος, καὶ πυκτῶν. ἄσπερ γὰρ καὶ νικῆς ζωῆς ὁρᾷ διατυποῦσιν. ταῦτα γὰρ βίον ῥυθμίζει σώφρονα,
» καὶ λογικοῖς ἀνθρώποις πρέποντα. Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον τῇ Ασίᾳ,
» ἐλθόντες κατὰ τὴν Μυσίαν, ἐπείραζον καὶ κατὰ τὴν Βιθυνίαν πορεύεσθαι καὶ οὐκ εἴασεν
» αὐτοὺς τὸ πνεῦμα. παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρωάδα. Εν τῇ Ασίᾳ καὶ Βιθυνίᾳ κωλύει τὸ πνεῦμα λαλῆσαι τὸν λόγον τοὺς ἀποστόλους, περιγινώ-
» σκων τῶν ὧν πνευματομάχων αἵρεσιν κυριεύειν ὧν ἐκεῖσε. Καὶ ὅραμα διὰ τῆς
» νυκτὸς ὤφθη τῷ Παύλῳ. ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς, παρακαλῶν αὐτὸν καὶ λέγων,
» διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. Οὐκ ἐπὶ δ' ἀγγέλου καθάπερ Φίλιππος ἢ Κορνήλιος, ἀνὴρ δ' ὁρᾶσθαι φαίνεται αὐτῷ ἀνθρωπινώτερον. ῥᾴδιον γὰρ ἐνόησαν τὸ φανῆναι, ἀνθρωπινώτερον, ἔνθα δὲ πολλὴ ἰδία, θεότερον. ἐπεὶ δὲ γὰρ κηρύξαι μόνον ἐπῆλθον, εἰς τοῦτο, ὅραν φαίνεται αὐτῷ. ὃ κηρύξαι δὲ οὐκ ἤνεσχετο, εἰς τοῦτο τὸ πνεῦμα τὸ ἅγιον ἀποκαλύπτει. ἐλθόντες οὖν φησι καὶ κατὰ τὴν Μυσίαν ἐπείραζον καὶ κατὰ τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. διὰ τοῦτο καὶ τὰ εὐκολα τὸ πνεῦμα ἠργάζετο, ἀνήρκει καὶ ὅραν. Ως δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες, ὅτι προσκέκληται ἡμᾶς ὁ κύριος εὐαγγελίσασθαι αὐτοῖς. ἀναχθέντες οὖν ἀπὸ τῆς Τρωάδος εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις Κολωνία. ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως.

Σημειωτέον

Σημειωτέον ὅτι ζῶν τῷ Παύλῳ ἦν ἐν ταῖς πόλεσι πάντας καὶ ὁ Λουκᾶς, ὡς ἐξ ὧν καὶ τὸ πρόσωπον αὐτοῦ συμπαραλαμβάνει, λέγων, ἐξήτησαμεν, εὐθυδρομήσαμεν ἐ-
» τὰ ὅμοια. Παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι. καὶ καθίσαντες ἐ-
» λαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. καί τις γυνὴ ὀνόματι Λυδία πορφυρόπω-
» λις πόλεως Θυατείρων, σεβομένη τὸν θεὸν ἤκουεν. ἧς ὁ κύριος διήνοιξε τὴν καρδίαν
» προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς,
» παρεκάλεσε λέγουσα. Εἰ κεκρίκατέ με πιστὴν τῷ κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶ-
» κόν μου μείνατε. καὶ παρεβίασεν ἡμᾶς. Οὐ μόνον δὲ τὰ σωματικὰ ἐμοὶ ἀνὰ χεῖρα καὶ
ἔξω ἦν χορτον, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες οἱ Ιουδαῖοι. ἢ μᾶλλον μὴ οὔσης ἐκεῖ συναγωγῆς διὰ τὸ ἀσύνηθες, παρὰ τὸ ποταμὸν ἔξω τῆς πόλεως λάθρα συνήγοντο οἱ δοκοῦντες θεοσεβεῖς. Νεάπολιν δὲ τὴν νῦν Χριστόπολιν λέγει.
» Εχόντων δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα
» πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαν-
» τευομένη. αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν ἔκραξε λέγουσα. οὗ-
» τοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν. οἵτινες καταγγέλλουσιν ἡ-
» μῖν ὁδὸν σωτηρίας. τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. διαπονηθεὶς δὲ ὁ
» Παῦλος καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε. παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ιησοῦ Χρι-
» στοῦ ἐξελθεῖν ἀπ' αὐτῆς, καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐ-
» ξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, συλλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλ-
» κυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας. καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς,
» εἶπον. οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ιουδαῖοι ὑπάρχοντες. καὶ κα-
» ταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν Ρωμαίοις οὖσι. καὶ
» συνέστη ὁ ὄχλος κατ' αὐτῶν. καὶ οἱ στρατηγοὶ περιρρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέ-
» λευον ῥαβδίζειν. πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς φυλακὴν, πα-
» ραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. ὃς παραγγελίαν τοιαύτην
» ἐληφὼς ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν. καὶ τοὺς πόδας αὐτῶν ἠσφαλί-
» σατο εἰς τὸ ξύλον. καὶ τὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν
» τὸν θεόν. ἐπῆκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. Λέγεται ἡ Πυθία αὕτη γυνὴ τις οὖσα
ἔνθουσιῶσα τῷ τρίποδι τοῦ Απόλλωνος, διαιροῦσα τὰ σπέλη, εἶθ' οὕτως πνεῦμα πονηρὸν κατωθεν ἀναδυόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων πληροῖ τὴν γυναῖκα τῆς μανίας, ἐ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν βακχεύειν τε καὶ ἀφρὸν τοῦ στόματος ἀφιέναι, καὶ οὕτως τὴν προῖκα μεγαλύνειν τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα. Τί δήποτε καὶ ὁ Δαίμων ταῦτα ἐφθέγγετο; ἐβούλετο λοιπὸν ἀξιόπιστον ἑαυτὸν ποιεῖν. ἦν γὰρ πρόσκαιρον αὐτὸ τὴν Μαρτυρίαν ὁ Παῦλος, πολλοῖς ἂν καὶ ὧν πίστιν ἢ ἀπάτην μᾶτε ὑπ' ἐκείνου δεχθείς. διὰ τοῦτο ἀνέχεται καθ' ἑαυτοῦ ἡσυχίαν ἵνα σήμερον τὰ ὑστερον αὐτοῦ. καὶ αὐτὸς συγκαταβάσει κέχρηται πρὸς τὴν ἀπώλειαν. τὸ μὲν οὖν πρῶτον γε πρόσκαιρον Παῦλος ἀμαυρὸν ἔδειξεν ἡ βουλόμενος ἀπλῶς ἐπιδεῖξαι τοῖς σημείοις. ὡς δὲ ἐτέμνετο τοῦτο ποιῶν, εἰς τὸ ἔργον ἐδείκνυ, ὅτε ἐκέλευσεν

ἐκέλευσεν αὐτῷ ἐξελθεῖν. διαπονηθεὶς γάρ φησιν ὁ Παῦλος. τυτέσι κινηθεὶς καὶ δυνηθείς, ἐ ἀληθῆ λέγουσαν ἵστορίσας, ἐκέλευσεν ἐξελθεῖν ἐξ αὐτῆς τὸ δαιμόνιον, διδάσκων ἡμᾶς, μὴ δεῖν τῇ ἀληθείᾳ συνηγορεῖν παρὰ τοιούτων δαίμονας, ἀφ' ὧν πᾶσαν αὐτῆς ἀποτείχιζεν πλάνης ὁδόν, καὶ ἀποφράττειν πρὸς τὸ πα-
» αὐτῶν πάντα, φησὶν ἀκολουθεῖ. Ἀφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ
» θεμέλια τοῦ δεσμωτηρίου. ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ
» δεσμὰ ἀνέθη. Ὁ σεισμὸς γέγονεν ὥστε ἀφυπνισθῆναι τὸν δεσμοφύλακα. αἱ θύ-
» ραι δὲ ἀνεῴχθησαν ὥστε θαυμάσαι τὸ γεγονὸς καὶ πιστεῦσαι. γὰρ πρὸς ἐπίδειξιν τοῦ
» τα ἐλέσθαι ἢ πρὸς σωτηρίαν. τοῦτο δὲ οἱ δεσμῶται γὰρ ἐῶσιν. ἢ γὰρ ἂν ἔφυγον ἅ-
» παντες. Ἐξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, ἐ ἰδὼν ἀνεῳγμένας τὰς θύρας
» τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευ-
» γέναι τοὺς δεσμίους. ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος λέγων. μηδὲν πράξῃς σεαυ-
» τῷ κακόν. ἅπαντες γάρ ἐσμεν ἐνθάδε. αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρο-
» μος γενόμενος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ. ἐ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη.
» κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; οἱ δὲ εἶπον. πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν, ἐ σωθήσῃ
» σὺ καὶ ὁ οἶκός σου. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ
» αὐτοῦ. καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν,
» καὶ ἐβαπτίσθη αὐτὸς, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. ἀναγαγὼν τε αὐτοὺς εἰς τὸν οἶκον
» αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάτο πανοικὶ πεπιστευκὼς τῷ θεῷ. Ἡμέρας δὲ
» γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες. ἀπόλυσον τοὺς ἀν-
» θρώπους ἐκείνους. ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦ
» λον, ὅτι ἀπέσταλκαν οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες πορεύε
σθε ἐν εἰρήνῃ. Ἐξυπνος γενόμενος ὁ δεσμοφύλαξ. οὗτός ἐστιν ὁ Στεφανᾶς, οὗ
» μνημονεύει Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ. Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς.
» δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους, ἀνθρώποις Ρωμαίοις ὑπάρχοντας, ἔβα-
» λον εἰς φυλακήν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ. ἀλλὰ ἐλθόντες αὐτοὶ
» ἐξαγαγέτωσαν. ἀπήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα. καὶ
» ἐφοβήθησαν, ἀκούσαντες ὅτι Ρωμαῖοί εἰσι. καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, ἐ ἐξα-
» γαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον
Κεφ. κε'. » εἰς τὴν Λυδίαν. καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον. Διο-
17 » δεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅ-
» που ἦν συναγωγὴ τῶν Ἰουδαίων. κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς.

Δείραντες ἡμᾶς δημοσίᾳ. δείκνυσι δι' ὅλου τὸ ἔγκλημα ὅτων, δείραντες οὖν ἡμᾶς δημοσίᾳ, καὶ τοῦ ἑξῆς, ὅπερ καὶ Ρωμαίους ἐ ἀκατακρίτους καὶ δημοσίᾳ. καὶ ἀνθρώπινα γάρ κατεσκεύαζε διά τινα οἰκονομίαν πολλάκις, ἵνα μὴ δόξῃ ὡς κατάδικος ἀπολύεσθαι καὶ ὡς ἥμαρτηκώς, καὶ ἵνα μὴ τῆς χάριτος αὐτῶν ᾖ τὸ πρᾶγμα. καὶ ἅμα ὅτι δεῖ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, ἑκάλεσεν ἑαυτὸν Ρωμαῖον. σχεδὸν γὰρ πάσης τῆς γῆς καὶ αὐτῆς τῆς Ἰουδαίας ὁ Ρωμαίων βασιλεὺς ἐκράτει. οἵτινες καὶ φόρου

καὶ φόρον ἐτέλουν Καίσαρι μὴ ἀποστεροῦντες τὴν ἀρχὴν καὶ διαποτείαν τὴν Ρωμαϊκὴν, ὥσπερ οἱ λοιποὶ Ἰουδαῖοι φρενοπατοῦντες ἑαυτοῖς, οἵτινες τὸν μὴ θεὸν μόνον ἔλεγον ἰδίου βασιλέα γὰρ μὴν ἄνθρωπον, ἔργοις δὲ αὐτῆς ὡς ὑποτελεῖς οἰκέται φόρον ἐτέλουν, τὸ μὴ ὄνομα ἀρνούμενοι, ἔργοις δὲ ὑποκείμενοι. οὓς ἐ ἐπώρθωσεν
» Οὐεσπασιανὸς ὡς μὴ ὑποτασσομένους. Καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς
» ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ
» ἀναστῆναι ἐκ νεκρῶν. καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.
» καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ.

Ἐπειδὴ οὖν πρὸς τὰ σημεῖα ἐναντίως εἶχον, ὡς πλάνοις καὶ γόητας διαβάλλοντες, ὧδε ἀπὸ τῶν γραφῶν πείθει, γὰρ ἔχων ταύτην τὴν ὑπόνοιαν.
» Τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων γε πολ-
» λαί. ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τι-
» νὰς ἄνδρας πονηροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν. ἐπιστάντες τε
» τῇ οἰκίᾳ Ἰάσονος ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον. μὴ εὑρόντες δὲ αὐτοὺς,
» ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας βοῶντες, ὅτι οἱ τὴν οἰ-
» κουμένην ἀναστατώσαντες οὗτοι ἐ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων. καὶ
» οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασιλέα λέγοντες ἕ-
» τερον εἶναι Ἰησοῦν. ἐτάραξαν δὲ τὸν ὄχλον ἐ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα.
» καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. οἱ δὲ
» ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρ-
» οιαν. οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν ἀπῆεσαν τῶν Ἰουδαίων.

Σεβομένους Ἕλληνας τοὺς ἐξ Ἰουδαίων μὲν ὄντας ἑλληνιστὰς δὲ φθεγγομένους καλεῖ, διὰ τὸ φυλάττειν τὸν νόμον. ἢ τοὺς ἐξ Ἑλλήνων προσλύτους Ἰουδαίων ὑ-
» πάρχοντας. Οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν τὴν Θεσσαλονίκην οἵτινες ἐδέξαντο τὸν
» λόγον μετὰ πάσης προθυμίας, τὸ καθημέραν ἀνακρίνοντες τὰς γραφάς, ἆ ἔχει
» ταῦτα οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν
» τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰου-
» δαῖοι, ὅτι καὶ τὴν Βεροίαν κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ θεοῦ, ἦλθον
» κἀκεῖ σαλεύοντες τοὺς ὄχλους. Οὗτοι δὲ ἦσαν εὐγενέστεροι. τὸ, εὐγενέστεροι, ἀντὶ
τοῦ ἡμερώτεροί φησιν. οὐχ ὡς ἄπιστοι δὲ οὗτοι ἀνέκρινον, ἤτοι ἐξερεύνων τὰς γραφὰς,
(ἦσαν γὰρ ἦσαν πιστευκότες,) ἀλλ' ὡς ἀμοιροῦντες τῶν παλαιῶν προφητῶν παρα-
δόσεως, καὶ διὰ τοῦτο μᾶλλον πιστότεροι γινόμενοι, ἐρευνῶντες τὰς γραφὰς, ἐ εὑρί-
σκοντες τοῖς τῶν παλαιῶν λόγοις συνάδοντα τὰ περὶ τῆς ἐν σαρκὶ τοῦ κυρίου οἰκονο-
» μίας πράγματα. εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πο-
» ρεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν. ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. οἱ δὲ
» καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν. ἐ λαβόντες ἐντολὴν πρὸς τὸν
» Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῆεσαν. Οἰκονομι-
κῶς δὲ ταῦθα γέγραπται. ἐν Βεριοίᾳ γὰρ ἔφυγεν ὁ ἀπόστολος, ἄλλως τε καὶ τὸ κήρυγμα αὐξῆσαι βουλόμενος,

λόμενος, καὶ τὸν θυμὸν αὐτῶν κατασβέσαι πραγματευόμενος.

Κεφ. κϛ'. » Ὡς δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτὸν τὸν Παῦλον, παρῳξύνετο τὸ πνεῦμα
» αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. διελέγετο μὲν οὖν ἐν τῇ
» συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέ-
» ραν πρὸς τοὺς παρατυγχάνοντας. Παρῳξύνετο γὰρ ὁ ὀργὴν ἐν αὐτῷ θαύμασιν, ὡς δὲ ἀγα-
νάκτησιν. ὀργῆς μὲν καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα. Τί οὖν ἐστιν, παρῳξύ-
νετο; ἀντὶ τοῦ διηνείκετο, γὰρ ἔφερεν, ἀηδὲς ἔπασχεν, καθὰ καὶ ἀγανακτοῦσιν, ἐλύετο πα-
» ρῳξυσμὸς μεταξὺ αὐτῶν, καὶ τοῦ ἔξης. Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊ-
» κῶν φιλοσόφων συνέβαλον αὐτῷ. καί τινες ἔλεγον. Τί ἂν θέλοι ὁ Σπερμολόγος
» οὗτος λέγειν; οἱ δὲ, ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν καὶ
» τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. Οἱ μὲν Ἐπικούρειοι αὐτόματον καὶ ἐκ τοῦ
μὴ ὄντος δοξάζουσιν εἶναι τὸ πᾶν. οἱ δὲ Στωϊκοὶ σῶμα καὶ ἐκπύρωσιν. τινὲς οὖν ἐξ αὐ-
τῶν τὴν γνῶσιν μέγα φρονοῦντες, ἀνοήτως ἐπιλελῶντο τὸν θεσπέσιον Παῦλον, τί
ἂν θέλοι ὁ Σπερμολόγος οὗτος; ἔλεγον. (ἐπειδὴ γὰρ ὀρνεόν ἐστιν ὁ Σπερμολόγος
βραχὺ δὲ τελές, οὔτε πρὸς βρῶσιν, οὔτε πρὸς τέρψιν ἁπτόμενον, ἐκ τῶν ταῖς τριό-
δοις ἐρριμμένα ἐκ τῶν σπερμάτων ἁθρόως συλλέγει, τῇ δὲ τελεῖς καὶ ἐκ ἀξίοις λόγου,
Σπερμολόγος ἐπάλουν.) καὶ ξένων Δαιμονίων ἔφασκον αὐτὸν εἶναι διδάσκα
λον, ἐπειδὴ τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο. καὶ γὰρ καὶ τὴν ἀνάστασιν
θεόν τινα εἶναι ὑπέλαβον, ἅτε ἀθρόους καὶ θηλείας σέβειν. Δαιμόνια γὰρ τοὺς θεοὺς
» αὐτῶν ἐπάλουν. Ἦν δὲ βωμοὺς πεποιημένος τοῖς ἀγνώστοις θεοῖς καὶ ξοάνων ἐπιβεβλημέ-
» νος. Ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγον-
» τες. δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ
» τινα εἰς ἀκοὰς ἡμῶν φέρεις. βουλόμεθα οὖν γνῶναι, τί ἂν θέλοι ταῦτα εἶναι.
» Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέ-
» γειν τι καὶ ἀκούειν καινότερον. Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου,
» ἔφη. Ἠγανακτοῦσιν ἐπὶ τὸν Ἄρειον πάγον, ὡς οὐκ ἐστι μαθεῖν, ἀηδὲς ὥστε κολά
σασθαι, οὐθὲν αἱ φωνικαὶ δίκαι. Ἄρειος δὲ πάγος ἐλέγετο ὁ τόπος, ἐπειδὴ ὁ Ἄρης
(ὡς φασι) τῆς μοιχείας ἐκεῖσε δίκας ἔδωκε. πάγος δὲ ὁ ὑψηλὸς τόπος. οὐ γὰρ
ὁ λόφος τινὶ ἴσως ἐκεῖνο τὸ Δικαστήριον. ὅθεν καὶ Γαλάται καλοῦνται πράτειν οἱ
» τῶν τόπων ἢ κωμῶν ἄρχοντες. Ἄνδρες ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέ
» ρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν.
Δεισιδαιμονεστέρους, ἀντὶ τοῦ, βλαβεστέρους, ἐχρήσατο. δεισιδαίμων γὰρ ὁ δεδιὼς τὰ
Δαιμόνια, ὁ πάντα φάζων, καὶ λίθον, καὶ ξύλον, καὶ πνεῦμα.
» Εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. ὃν οὖν
» ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὁ θεὸς ὁ ποιήσας τὸν κόσ
» μον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων.
Δύο αἰτίας εἶναι λέγουσι τοῦ ἐπιγράφεσθαι Ἀθηναίοις τῷ βωμῷ, ΑΓΝΩΣΤΩ
ΘΕΩ. οἱ μὲν γάρ φασιν, ὡς Φιλιππίδου ἐπεμψαν Ἀθηναῖοι πρὸς Λακεδαι-
μονίους περὶ συμμαχίας, ἡνίκα Πέρσαι ἐπεστράτευσαν τῇ Ἑλλάδι. ᾧ κατὰ τὸ

Παρθένιον

Παρθένιον ὄρος Πανὸς φάσμα ἐν τοῖς ὄρεσι πάτερ μὴ Ἀθηναίοις ὡς ἀμελουμένοις μέν
αὐτοῖς, ἄλλοις δὲ θεοῖς θεραπεύουσι. καὶ βοηθεῖν ἐπηγγείλατο. νικήσαντες οὖν ἐκ-
είνῳ τε ἀνέθεσαν ναόν, καὶ βωμὸν ᾠκοδόμησαν. καὶ ὡς φυλακὴ πόλεως μὴ τὸ αὐτὸ δὴ
καὶ ἄλλοτε πάθοιεν, πρέντες τινὰ θεὸν ἄγνωστον αὐτοῖς, ἀνέθεσαν τὸν βωμὸν ἐκεῖ-
νον ἐπιγράψαντες, ἀγνώστῳ θεῷ, τοῦτ' λέγοντες, ὅτι καὶ εἴτις ἕτερος ἀγνοεῖται πα
ρ' ἡμῶν, εἰς τιμὴν ἐκείνου οὗτος δὴ καὶ παρ' ἡμῶν ἐπιγέρθω, ὡς ἂν ἵλεως ἡμῖν εἴη, εἴπερ
ἀγνοούμενος μὴ θεραπεύοιτο. ἄλλοι δέ φασιν, ὅτι λοιμὸς κατέσκηψέ ποτε Ἀθή
νησι, καὶ εἰς τοῦτον αὐτοῖς ἐξέκαυσεν, ὡς μὴ δὲ ὧν λεπτοτάτων σινδόνων ἀνέχεσθαι.
τοὺς νομιζομένους οὖν αὐτῶν θεοὺς θεραπεύοντες γνόντων ἀπώναντο. ἐννοήσαντες οὖν
ὅτι ἴσως ἐστὶ θεὸς, ὃν αὐτοὶ κατέλιπον ἀγέρασον, ὁ τὸν λοιμὸν κατασκήψας, μέον
δημάμενοι βωμὸν, καὶ ἐπιγράψαντες, ἀγνώστῳ θεῷ, ἐθύσαντες, διὸ θεραπεύ
θησαν. τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναί φησι τῶν ἁπάντων θεὸν ὁ Παῦλος. ὃν ἐ κα-
ταγγέλλειν αὐτοῖς ἔφασκεν. ἔστι δὲ ἡ πᾶσα τοῦ βωμοῦ ἐπιγραφή, τοιαύτη.

ΘΕΟΙΣ ΑΣΙΑΣ ΚΑΙ ΕΥΡΩΓΗΣ ΚΑΙ ΛΥΒΙΗΣ.
» ΘΕΩ ΑΓΝΩΣΤΩ, ΚΑΙ ΞΕΝΩ. Οὐκ ἐν χειροποιήτοις ναοῖς
» κατοικεῖ, γὰρ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι
» ζωὴν ἐ πνοὴν καὶ τὰ πάντα. ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν
» ἐπὶ πᾶν τὸ πρόσωπον τῆς. Ἵνα μὴ νομίζωσιν ἕνα τῶν πολλῶν εἶναι θεὸν τὸν ὑπ' αὐτοῦ
κηρυττόμενον, διορθοῦται ἐπάγων. οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ. οἰκεῖ μὲν γὰρ ἐν
ναοῖς, ἀλλ' οὐκ ἐν τούτοις, ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. δὲ γὰρ ἐν τῷ ναῷ τοῦ Ἱεροβλύμων
λέγεσθαι οἰκεῖν, ἀλλ' ὑπερκεῖν. δὲ γὰρ χειρῶν ἀνθρώπων πρὸς Ἰουδαίους ἐθεραπεύετο, ἀλλ' ὑπὸ
διανοίας. ἐστὶ καὶ κεῖνα γε οὐκ ἐξιτεῖ οὕτως ὥσπερ δεόμενος. φησὶ γάρ, μὴ φάγομαι κρέα
» ταύρων; ἢ αἷμα τράγων πίομαι; ἐ τὰ ἑξῆς. Ὁρίσας προστεταγμένους καιροὺς ἐ τὰς
» ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν θεὸν, εἰ ἄραγε ψηλαφήσειεν αὐτὸν ἐ εὕροιεν, καί
» τοι γε μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. ἐν αὐτῷ γὰρ ζῶμεν ἐ κινούμεθα ἐ
» ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι. τοῦ γὰρ ἐ γένος ἐσμέν. γένος οὖν ὑπάρχον
» τες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης ἐ ἐν
» θυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. Ὁρίσας προστεταγμένους καιροὺς. ὥρισέ φησι
ζητῆσαι τὸν θεόν. ἀηδὲς δὲ πᾶσι τοῦτ' ὥρισεν, ἀπὸ προστεταγμένης καιροὺς, δῆλον
ὅτι νῦν οὐκ ἐζητήσαντες εὗρον. ἐπειδὴ γὰρ ἐζητήσαντες οὐκ εὗρον, δείκνυσιν ὅτι οὕτως
ἴσως φανερὸς, ὥσπερ ἂν ἡλίου τὸ ψηλαφᾶσθαι. γὰρ τοῦτο μὴ ἴσως ὄντος, ἀπὸ καιροῦ δὲ
ὄντος. γὰρ ἐν τούτῳ τῷ χρόνῳ ἦν ἐν ἄλλῳ δὲ οὔ. ὥστε κατὰ πάντα καιρὸν ἐ κατὰ πᾶσαν
ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. οὕτως γὰρ ὠφελουμένοις, ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε
χρόνῳ. αὐτὸ γὰρ δι' τοῦτο μάλιστα αὐτοῖς συνεβάλλετο, τὸ πάντα χρῆναι εἶναι τὸν ὄντα, τὸ
ἐν παντὶ χρόνῳ ἐτάξαι. ἐστὶν ὅπως, καίτοι γε μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὄντα.
πᾶσι γὰρ ἐγγὺς ἐστὶ τοῖς πάντα χρῆσθαι οὖσι. ἐ οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐ
τοῦ μὴ ζῆν. ᾧ αὐτῷ γὰρ ζῶμεν ἐ κινούμεθα ἐ ἐσμέν. ὥσπερ ἐν σωματικῷ ὑποδείγματι,
ὡς ἀμέμπτως ἀγωνίσασθαι τὸν ἀέρα πάντα χρῆναι κεχυμένον, ἐ γε μακρὰν ἀπὸ ἑνὸς ἑκάστου

ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ὄντα ἡμῖν, οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργὸν θεόν. πᾶν αὐτὸ γάρ ἐστιν ἡμῖν τὸ εἶναι, τὸ ὑπάρχειν, τὸ μὴ ἀπόλεσθαι. εἶτα ἐ χρήσιμα αὐτοῖς Ἀράτου ἐστάγμ ἑνός τινος ὧν πᾶν αὐτοῖς ποιητῶν ἡς κατασκευὴν τὸ ἑαυτοῦ λόγου. τὸ γὰρ καὶ γένος ἐσμὲν φησι. καὶ οὗτος μὲν περὶ τὸ δημιουργοῦ αὐτὸ λαμβάμ, ἡ καὶ περὶ τὸ Διὸς τοῦτο ἠρῆσθαι φασιν, ὃ τὸν αὐτὸν ἐκείνῳ λέγων, ἀπὸ τοῦτο κυρίως ἐπ' αὐτῷ ἀρμόζμ λέγων. εἰρηται μὲν γάρ τινα καὶ πρὸς ἕτερα ἡς αὐτὸν, ἀλλ' οὐκ ἴσασι τοῦτο Ἕλληνες, ἀλλ' ἡς ἕτερον αὐτὸ νενοήκασιν, ὥσπερ ἐσὶ καὶ τὸ, ἀγνώστῳ θεῷ, ἐ ἕτερα τινά. γένος δὲ θεοῦ ὑμᾶς εἶναί φησιν ὁ Παῦλος, οὐχ ὡς ἐκεῖνοί φασιν, ἀλλ' ἑτέρῳ
» νῷ, τρυτέστιν, οἰκείοις, ἐγγυτάτοις, ὡς οὐκ ἐποιητῆς, πρὸς οἰκείας ἢ γείτονας. Τοῖς μὲν
» οὖν χρόνοις τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι
» πανταχοῦ μετανοεῖν. διότι ἔστησε ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν
» δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παράσχων πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀκού
» σαντες δὲ ἀναστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον. ἀκουσόμεθά σου πά-
» λιν περὶ τούτου. καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες
» κολληθέντες αὐτῷ, ἐπίστευσαν. ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόμα
Κεφ. κζ'. » τι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς. Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν
18 » Ἀθηνῶν, ἦλθεν ἡς Κόρινθον. καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ
» γένῳ, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ,
» διὰ τὸ διατεταχέναι Κλαύδιον, χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης,
» προσῆλθεν αὐτοῖς. καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς καὶ ἠργάζετο. ἦσαν
» γὰρ σκηνοποιοὶ τὴν τέχνην. διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον.
» ἐπείθέ τε Ἰουδαίους καὶ Ἕλληνας. ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ, τε
» Σίλας καὶ ὁ Τιμόθεος, συνεῖχετο τῷ Πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς
» Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτι-
» ναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς. Τοῖς μὲν οὖν χρόνοις τῆς ἀγνοίας καὶ τὰ ἑξῆς. γέτὸ δ φησιν, ὅτι γδεὶς κωλύει τούτων, ἀλλ' ὅτι γδεὶς τ θελοντ μετανοεῖν. γπερὶ ὧν ἀπελθόντων γὰρ τὸ δ φησιν, ἀλλὰ περὶ τούτων οἷς παραγγέλλει. γκ ἀσαιτεῖ λόγον ὑμᾶς φησὶ περὶ ὧν προτέρων ἐτῶν τῆς ἀγνοίας ὑμῶν. γκ εἴπερ δὲ πρεῖδεν ἢ εἴασεν, ἀλλ' ὑπερεῖδε. τρυτέστιν γκ ἀσαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως.
» Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν ἡς τὰ ἔθνη πο
» ρεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν ἡς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τ
» θεόν. οὗ ἡ οἰκία ἦν συνομορροῦσα τῇ συναγωγῇ. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐ-
» πίστευσε τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ πολλοὶ τ Κορινθίων ἀκούσαντες
» ἐπίστευον καὶ ἐβαπτίζοντο. Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. τοῦτο λέγει ὁ
Παῦλος ἐκτιναξάμενος τὰ ἱμάτια, ὥστε μὴ ῥήματι μόνον ἀλλὰ καὶ πράγματι φορτί-
σαι. διὸ καὶ σφοδρότερον τοῦτο εἶπεν, τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν, ἀφίσταται
αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἕκαστος ὧν ἀποστατῶν τοῦ Χριστοῦ, ὃς ἐστὶ ζωή, δοκεῖ
ἑαυτὸν φονεύειν, ἀπὸ τῆς ζωῆς μεταβαίνων ἡς θάνατον, τὸ αἷμα αὐτοῦ τρόπον τινὰ
ἐκχέων,

ἐκχέων, διὰ τῆς σφαγῆς ἣν ἐπιφέρει ἑαυτῷ. τοῦτο οὖν φησιν, ἀνθ' ὧν σφάζετε ἑαυτοὺς διὰ τῆς ἀπιστίας, αὐτὸ τοῦτο ὑμεῖς ὑποσχέτε δίκαιον, ἐμοῦ ἀθῳοῦ ὄντος. ἐντεῦθεν δὲ ἐστι σωιδεῖν, ὅτι ὁ σφάζων ἑαυτὸν τιμωρεῖται ὡς φονεὺς παρὰ τῷ θεῷ.
» Εἶπε δὲ ὁ κύριος δι' ὁράματος τῷ νυκτὶ τῷ Παύλῳ. μὴ φοβοῦ, ἀλλὰ λάλει, ἐ μὴ
» σιωπήσῃς, διότι ἐγώ εἰμι μετ' σοῦ. ἐ γδείς ἐπιθήσεταί σοι τ κακῶσαί σε. διότι λαός
» ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. ἐκάθισέ τε ἐνιαυτὸν ἐ μῆνας ἕξ, διδάσκων αὐτοῖς
» τὸν λόγον τοῦ θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεστήσαν ὁ-
» μοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, ἐ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα λέγοντες. ὅτι παρὰ
» τὸν νόμον οὗτος ἀναστείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν. μέλλοντος δὲ τοῦ Παύλου
» ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους. εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳ
» διούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατ' λόγον ἂν ἠνειχόμην ὑμῶν. εἰ δὲ ζήτημά ἐστι
» περὶ λόγου ἐ ὀνόματος ἐ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί. κριτὴς γὰρ ἐγὼ τούτων οὐ
» βούλομαι εἶναι. ἐ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. Δι' ὁράματος ὀν νυκτὶ. σημ
μωτέον ὅτι εἶδε τὸν κύριον Ἰησοῦν ὁ Παῦλος δι' ὀνείρου. διὸ ἐ αὐτὸς ἔλεγε. γκ Ἰησοῦν τὸν κύριον ἡμῶν ἑώρακα; εἴτε δὲ δι' ὀνείρου, εἴτε ἐγρηγορὼς ἐθεάσατο τὸν Ἰη-
» σοῦν, γδὲ μία διαφορά. πλὴν ἐ ὀνημέρας ὤφθη αὐτῷ. Ἐπιλαβόμενοι δὲ πάντες
» οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, ἐ γδὲν
» τούτων τῷ Γαλλίωνι ἔμελλεν. Ἦρι δὲ τὸν ἔτυπτον τὸν Σωσθένην, ἐπιδὴ καὶ
αὐτὸς ἦν μᾶλλον προστιθέμενος τῷ Παύλῳ, ὡς ὁ Κρίσπος ὁ ἀρχισυνάγωγος, ἢ ἦς
τοῦτον ἦσαν ἐλπιλακότες μαρίας, ὡς ἀποτυχόντες τ σκοποῦ ἑαυτ ἀντὶ τ τύπτειν
τὸν Παῦλον, Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον. ἢ διὰ τὸν ἔτυπτον αὐτ, ἐπιδὴ
» μᾶλλον ἠβουλήθησαν φονεῦσαι τὸν Παῦλον, ὁ Σωσθένης διεκώλυσεν αὐτούς. Ὁ δὲ
» Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμ, ἐξέπλει εἰς τὴν
» Συρίαν, ὁ σὺν αὐτῷ Πρίσκιλλα ὁ Ἀκύλας, κειράμενος τ κεφαλὴν ἐν Κεγχρεαῖς.
» εἶχε γὰρ οὐχήν. Πάλιν κάτεισι Παῦλος εἰς Συρίαν, ὁ σὺν αὐτῷ Πρίσκιλλα καὶ
Ἀκύλας, κειράμενος φησὶ τ κεφαλήν. τὸ δὲ κείρασθαι τ κεφαλὴν κατ' οὐχήν, Ἰουδαϊ-
κὸν ἦν. εἰδὼς δὲ ὁ θυσίαν γνώσῃ. ἤτις γὰρ ἐγίνετο ἐπὶ μὲν τὸ τυπῆναι τ Σωσθένην.
» ἤδει γὰρ ὁ νόμος κατεγίνετο, ἐπιδὴ τῷ σωιδότι κατεί χρητο. Κατήντησε δὲ εἰς
» Ἔφεσον, ὁ ἐκείνους κατέλιπεν αὐτ. αὐτὸς δὲ εἰσελθὼν εἰς τ συναγωγὴν διελέχθη
» τοῖς Ἰουδαίοις. ἐρωτώντ δ αὐτ ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, γκ ἐνένευσεν,
» ἀλλὰ ἀποτάξας αὐτοῖς, εἰπών. δεῖ με πάντως τ ἑορτ τ ἐρχομένην ποιῆσαι εἰς Ἱερο
» σόλυμα. Τοῖς μὲν Ἀκύλᾳ, φησὶ, κατέλιπεν εἰς Ἔφεσον (τοῦτο δ ἐποίησεν ἐκ τοῦ)
ὡς διδάξαντας. τοῦτο γὰρ αὐτὸ συγχυνόμενοι χρόνον πολλὰ ἔμαθον. ὁ ὅμως τ συ
» νηθείας αὐτῇ γκ ἀπήγαγε γδέπω τ Ἰουδαϊκῆς. Πάλιν δὲ ἀναπέμψω πρὸς ὑμᾶς,
» τ θ θέλοντος. ὁ ἀνὴχθη ἀπὸ τ Ἐφέσου. ὁ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς ὁ ἀσπα
» σάμενος τ ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. ὁ ποιήσας χρόνον τινὰ, ἐξῆλθε, διερ-
» χόμενος καθεξῆς τ Γαλατικὴν χώραν ὁ Φρυγίαν, ἐπιστηρίζων πάντας τ μαθητάς.
Τίδήποτε προφήτης ὢν ὁ Παῦλος, καὶ γδὼς ὅτι μέλλει ἀναχέφειν, οὐχ ἁ-

πλῶς ἀναβρέφειν ἐπηγγείλατο· ἀλλὰ πεισθεὶς, τοῦ θεοῦ θέλοντος, ἡμᾶς διδάσκῃ
μηδὲν περὶ ὧν μελλόντων ὑπισχνεῖσθαι ποιεῖν, δίχα τοῦ φάναι, τοῦ θεοῦ θέλοντος. ὃ
» δή τις οἶδε τί τέξεται ἡ ἐπιοῦσα ἡμέρα. Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι,
» Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γρα-
» φαῖς. οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει,
» καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ κυρίου. Τινές φασιν, ὡς ὁ Ἀπολλὼς οὗτος
ὁ αὐτός ἐστιν Ἀπελλῆς ὁ ἐν Κορινθίοις ἐπίσκοπος, περὶ οὗ φησὶν ὀμφαχοῦ. ἐγὼ ἐφύ
τευσα, Ἀπολλὼς ἐπότισεν. ἢ τρίτον διώνυμος ὁ ἀνὴρ, ἢ ἄλλος, μετεποιήθη
» θά τερον ἐν ὀνομάτων, ἢ τὸ λοιπόν. Ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.
» οὗτός τε ἤρξατο παρρησιάζεσθαι τε τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας
» καὶ Πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ θεοῦ ὁ-
» δόν. βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν προτρεψάμενοι οἱ ἀδελφοὶ ἔ-
» γραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. ὃς παραγενόμενος συνεβάλετο πολὺ
» τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος. εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο,
Κεφ. κή'. » δημοσίᾳ ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν χριστὸν Ἰησοῦν. Ἐλθεῖν δὲ αὐτῷ τὸν
19 » Ἀπολλὼ εἶναι τὸν Κορίνθιον, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔ-
» φεσον. καὶ εὑρών τινας μαθητὰς εἶπε πρὸς αὐτούς. Ἐπιστάμενος μόνον τὸ βά-
» πτισμα Ἰωάννου. ἄξιον ζητῆσαι πῶς, εἰ τὸ βάπτισμα μόνον Ἰωάννου ἐπίστατο, οὕ-
τως τῷ πνεύματι ἔζεε. τὸ δὲ πνεῦμα οὐχ οὕτως ἐδίδου. καὶ εἰ μὴ τότε ἐδίδου
ἐπιθεὶς τὰ βαπτίσματα τοῦ χριστοῦ, πολλῷ μᾶλλον καὶ οὗτος ἐδεήθη ἄν. Τί οὖν ἐστὶν
εἰπεῖν; οὐδὲ δεῖ ἀπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα. δοκεῖ γοῦν οὗτος εἶναι τῶν ἑκα-
τὸν εἴκοσι, τῶν μετὰ τῶν ἀποστόλων βαπτισθέντων. εἰ δὲ μὴ τότο, ὅπερ ἐπὶ τοῦ Κορνη-
λίου γέγονε, γελᾶται καὶ ἐπὶ τούτῳ. ἀνεύθυνος βαπτίζεται. τοῦτο οὖν ἀκριβῶς
ἐξεταθέντος, δοκεῖ τότε μὴ εἶναι, ὅτι καὶ βαπτισθῆναι αὐτὸν ἔδει. ἐπεὶ οἱ δώδεκα
οἱ ἄλλοι, οὐδὲν ἦδεισαν ἀκριβῶς, οὐδὲ τὰ περὶ Ἰησοῦ. ἦκουε δὲ αὐτὸν καὶ βαπτισθῆναι.
ἢ δὲ οὖν οἱ Ἰωάννου, μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τοὺς μαθητὰς
» τότε ποιῆσαι. Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν.
» ἀλλ' οὐδὲ ἢ πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν. εἶπέ τε πρὸς αὐτούς. εἰς τί οὖν ἐβαπτίσθη-
» τε; οἱ δὲ εἶπον. εἰς τὸ Ἰωάννου βάπτισμα. εἶπε δὲ Παῦλος. Ἰώθων οὖν ἦν Ε-
φέσῳ ὄντες τὸ βάπτισμα εἶχον Ἰωάννου; ἴσως ἐπεδήμησαν τοῖς Ἱεροσολύμοις ὅτε, ἐ
λήλυθον πρὸς τὸν Ἰωάννην ἐβαπτίσθησαν. ἐ οὐδὲ τὸν Ἰησοῦν ἠπίστησαν. Διὸ ἐ οὐ λέγει
αὐτοῖς. πιστεύετε εἰς τὸν Ἰησοῦν; ἀλλ' ἢ πνεῦμα ἅγιον ἐλάβετε; ἐ τότε ἦδεισαν, ὅτι οὐκ
εἶχον. ἀλλὰ βούλεται αὐτοὺς ἢ πεῖν, ἵνα μαθόντες ὧν ἀπεστέρηνται, δι' ὅτου ἀπέσωσιν.
» Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον
» μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν. ἀκούσαντες δὲ ἐβαπτίσθη-
» σαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. καὶ ἐπιθέντος αὐτοῖς τὰ Παύλου τὰς χεῖρας, ἦλθε τὸ
» πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον. ἦσαν δὲ οἱ
» πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο
ἐπὶ μῆνας

» ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ.
Ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου προφητεύει. καὶ οὐδαμοῦ αὐτοῖς ὅτι τότε βούλεται
τὸ βάπτισμα Ἰωάννου. οὐ τεύθεν δὲ δείκνυται ὅτι ἀτελὲς ἦν τὸ βάπτισμα Ἰωάννου.
ἀλλ' ἔστω ἀφέσεως, καὶ μετανοίας εἶναι. εἶτα βαπτισθέντας αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
κυρίου φησὶν ὑπὸ τῶν χειρῶν Παύλου δύθεως τὸ πνεῦμα λαμβάνειν. τότε δὲ οὐχ ἑώ-
ρων. ἀόρατον γάρ ἐστιν. ἀληθῆ δ' ὅμως τιμὰ ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χά
εις. καὶ ὁ μὲν τῇ Γερσῶν, ὁ δὲ τῇ Ρωμαίων, ὁ δὲ τῇ Ἰνδῶν, ὁ δὲ ἑτέρᾳ τινὶ γλώσ
τῃ δύθεως ἐφθέγγετο γλώσσῃ. καὶ τότε ἐφανέρου τοῖς ἔξωθεν, ὅτι τὸ πνεῦμα ἐστιν
ἐν αὐτῷ τῷ φθεγγομένῳ, δηλονὴ ὁ θεὸς ὅτι τότ' ἐστὶ τῆς ἐξουσίας τῆς ἀνωτάτω.
» Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ
» πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος
» ἐν τῇ σχολῇ τυράννου τινός. τότε δὲ ἐγένετο ἐπὶ ἔτη δύο. ὥστε πάντας τοὺς κατοι-
» κοῦντας τὴν Ἀσίαν, ἀκοῦσαι τὸν λόγον τοῦ κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.
» συναμάστε δὲ ὁ θεὸς διὰ τῶν χειρῶν Παύλου.
Κακολογοῦντες τὴν ὁδόν. ἢ ὁδὸν λέγει τὸν χριστὸν, ἢ τὴν πίστιν τὴν ἀληθῆ. αὕτη
γάρ ἐστιν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐντεῦθεν ὃ διδάσκει ἡμᾶς,
ἀπὸ τῶν βλασφημούντων τὸν ὑιὸν τοῦ θεοῦ χωρίζεσθαι τούτους εἰς αὐτὸν πιστεύοντας.
» Ὥστε ἐπὶ τῇ ἀθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια, ἢ σιμι-
» κίνθια, ἐ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους. τά τε πνεύματα τὰ πονηρὰ ἐξέρ-
» χεσθαι ἀπ' αὐτῶν. Σουδάρια καὶ σιμικίνθια ἀμφότερα νομίζω λινοειδῆ εἶναι.
πολλὴν τὰ μὲν σουδάρια ἐπὶ τῆς κεφαλῆς ἐπιβάλλεται, τὰ δὲ σιμικίνθια τὴν ταῖς
χερσὶ καὶ χοισιν οἱ μὴ σωφρονοῦντες ὡράρια φορέσαι, οἷοι ἐστὶν οἱ φορολογοῦντες ὑπατικὰς
στολάς, ἢ γουβία πρὸς τὸ ἀπομάττεσθαι τὰς ὑγρότητας τοῦ προσώπου, οἷον, ἱδρῶτας,
» πέπλον, δάκρυον, καὶ τὰ ὅμοια. Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων
» Ἰουδαίων ἐξορκισῶν, ὀνομάζειν ἐπὶ τοὺς ἐχοντας τὰ πνεύματα τὰ πονηρὰ, τὸ ὄνομα
» τοῦ κυρίου Ἰησοῦ, λέγοντες. ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν ὁ Παῦλος κηρύσσει.
» ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες. ἀποκρι-
θὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε. τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπί-
» σταμαι, ὑμεῖς δὲ τίνες ἐστέ; καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ
» πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσεν ἐπ' αὐτοῖς, ὥστε γυμνοὺς
» καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν
» πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον. καὶ ἐπέπεσε φό-
» βος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ.
Ἰουδαίων ἐξορκιστῶν. αὐτολεξὶ δείκνυσιν ὅτι ψευδῶς πιστεύοντες τῷ Ἰησοῦ οἱ ἐξορ
κισταὶ ἐξώρκιζον τὰ ἀκάθαρτα πνεύματα τῷ ὀνόματι τοῦ κυρίου, ἀπὸ πειράζον-
τες. διὸ καὶ ὡς μὴ ὄντες πιστοὶ, ὡς τὸ ἀκάθαρτον πνεῦμα φησι, τῆς προσηκούσης
δεδώκασι πρὸς ὀλίγον δίκιν. Διήλεγξε γὰρ αὐτοὺς, καὶ τὴν σκιὰν αὐτῶν φανερὰν
ἐποίησε σφόδρα θυμωθεὶς ὁ Δαίμων, ὡς ἂν εἴ τις περὶ ὧν ἐσχάτων κινδυνεύων

ὑπὸ πινος ἐχθροῦ διελέγχοιτο, ἐ πάντα ἐις ἐκεῖνον ἀφεῖναι βούλοιτο τὸν θυμόν.
» Γολλοί τε τ̃ πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι ἐ ἀναγγέλλοντες τὰς πρά
» ξεις αὐτ̃. ἱκανοὶ δὲ ὧν τῶ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κα-
» τέκαιον ἐνώπιον πάντων. καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυ
» ριάδας πέντε. οὕτως κατὰ κράτος ὁ λόγος τ̃ κυρίου ηὔξανε καὶ ἴσχυεν. ὡς δὲ ἐ-
» πληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῶ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ
» Αχαΐαν, πορεύεσθαι εἰς Ιερουσαλὴμ, φήσων. ὅτι μετὰ τὸ γενέσθαί με ἐκεῖ, δεῖμε ἐ Ρώ
» μην ἰδεῖν. ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῶ, Τιμό
» θεον καὶ Εραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ασίαν. ἐλθὼν δὲ, κατὰ τὸν καιρὸν ἐ-
» κεῖνον ταραχὴς οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος,
» ποιῶν ναοὺς ἀργυροῦς Αρτέμιδος, παρεῖχε τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην. οὓς
» συναθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν. ἄνδρες, ἐπίστασθε, ὅτι ἐκ ταύ-
» της τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι. καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον Εφέ-
» σου, ἀλλὰ σχεδὸν πάσης τῆς Ασίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄ-
» χλον, λέγων. ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. οὐ μόνον δὲ τοῦτο κινδυνεύει
» ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Αρτέμιδος ἱε-
» ρὸν εἰς οὐδὲν λογισθῆναι μέλλειν τε, καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅ
» λη ἡ Ασία καὶ ἡ οἰκουμένη σέβεται. ἀκούσαντες δὲ ἐ γενόμενοι πλήρεις θυμοῦ ἔ-
» κραζον λέγοντες. μεγάλη ἡ Αρτεμις Εφεσίων. καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγ
» χύσεως. ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες Γάϊον καὶ Αρι-
» σταρχον Μακεδόνας συνεκδήμους τοῦ Παύλου. τοῦ δὲ Παύλου βουλομένου εἰσελ
» θεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. τινὲς δὲ καὶ τῶν Ασιαρχῶν, ὄντες
» αὐτῶ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν, μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.
» ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον. ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη. καὶ οἱ πλείοις
» οὐκ ᾔδεσαν, τίνος ἕνεκεν συνεληλύθεσαν. ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Αλέ-
» ξανδρον, προβαλόντων αὐτὸν τῶν Ιουδαίων. ὁ δὲ Αλέξανδρος κατασείσας τὴν
» χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῶ δήμω. ἐπιγόντων δὲ ὅτι Ιουδαῖός ἐστι, φωνὴ
» ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων, μεγάλη ἡ Αρτεμις Εφεσίων.

Ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις. δεῖ πάντα πιστὸν λέγειν τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ ἀποτάσσεσθαι διὰ τὸ ἑαυτὸν ἐλέγχειν, τὸ μηκέτι ποιεῖν τὰ αὐτὰ, ἵνα δικαιωθῇ κατὰ τὸ ἐρημίλιον. λέγε σὺ πρῶτος τὰς ἁμαρτίας, ἵνα δικαιωθῇς. σκοπητέον δὲ καὶ ἐν τοῖς ἐφεξῆς ὅτι καιροὶ πολυτίμους ὄντας τὰς γοητικὰς αὐτῶν βίβλους, ὡς ὧν οὐ βίῳ ἐχόντων τὰ κάλλιστα, οἱ ἐις Χριστὸν πιστεύσαντες, οὐκ ἐπώλησαν, οὐ ἔκαυσαν, καίτοι γε ἄλλων ἐκεῖσε τριούτων ὄντων ὧν θελόντων τὰς βίβλους κτήσασθαι, πρῶτον μὲν ἵνα μὴ τις μετάσχῃ τῆς ἀπ' αὐτῶν ψυχοφθόρου λύμης, ἔπειτα δὲ ἵνα μὴ ἀπὸ τοιαύτης αἰτίας κτήσωνταί τι. ὥσπερ γὰρ τὸ ἀπὸ πορνείας κέρδος ἀπαγορεύθη προσάγειν θεῷ, οὕτως οὐδὲ τὸ τῆς αἰτίας ταύτης ἀργύριον τεθῆναι παρὰ τοῖς τῶν ἀποστόλων πόδας δικαίως ἐκρίναν ἂν βλασφήμιον.

Κατασείλας

» Κατασείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν. ἄνδρες Εφέσιοι, τίς γάρ ἐστιν
» ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Εφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς
» Αρτέμιδος καὶ τοῦ διοπετοῦς; ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς
» κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν. ἠγάγετε γὰρ τοὺς ἄν-
» δρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.

Δείκνυσι πολλὴν εἶναι τὴν δαιμονίαν τῶν Εφεσίων ὁ γραμματεὺς ἐκ τοῦ κοσμεῖν τὸν ναὸν τῆς Αρτέμιδος, καὶ τὸ εἴδωλον αὐτῆς τιμᾶν, ὅπερ καὶ Διοπετὲς ἔλεγον, ὡς ἐκ τοῦ Διὸς πεπωκός. ἢτοι γὰρ τὸ ὁράκιον ἔλεγον ἐκεῖνο πάντες Διοπετὲς τὸ ἐξ οὐρανοῦ πρὸ τοῦ Διὸς πεμφθέν, ἢτοι κατασταθὲν καὶ χωρίλιον ἀπ' οὐρανοῦ ἄγαλμα, ἢτοι τὸ Παλλάδιον, καθὼς ἐμυθεύθη οἱ Ελλῆνες πρὸς κατάπληξιν τῶν ἀκεραιοτέρων, ὅπερ ἀνωθεν ἐκ τοῦ Διὸς διαπεπλάσθαι ὠΐοντο, καὶ οὐκ ἐξ ἀνθρώπων. ἢ Διοπετὲς, τοῦ ναοῦ τοῦ Διὸς, ἢτοι τοῦ προγυλοφδοῦς. ἢ καὶ ἱερὸν ἕτερον οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς. νεωκόρον δὲ, ἀντὶ τοῦ ἱεροδουλόν φησι. κόρημα γάρ ἐστι τὸ σάρωμα, ἀφ' οὗ καὶ νεωκόρος, ὁ τὸν ναὸν κορῶν καὶ σαρῶν.

» Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῶ τεχνῖται πρός τινα λόγον ἔχουσιν,
» ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν. ἐγκαλείτωσαν ἀλλήλοις. ἔστι γὰρ ἡμέ-
» ρα ἐν ᾗ ἐκκλητοῦται, οὐ τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. καὶ γὰρ κινδυνεύομεν ἐγ-
» καλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ δώσομεν
» λόγον τῆς συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν ἀπέλυσε τὴν ἐκκλη-
» σίαν. Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ Παῦλος Κεφ. κθ'.
» τοὺς μαθητὰς, καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν. διελθὼν 20
» δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ελλάδα.
» ποιήσας τε μῆνας τρεῖς, γνωμοδοτίας αὐτῷ γενομένης ὑπὸ τῶν Ιουδαίων μέλλοντι ἀνά
» χεσθαι εἰς τὴν Συρίαν, ἐβουλήθη τὴν ὑποστροφὴν διὰ Μακεδονίας. συνείσπετο δὲ αὐτῷ
» ἄχρι τῆς Ασίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δὲ Αρίσταρχος καὶ Σεκοῦνδος.

Αγοραῖοι ἄγονται οἱ τὰ ἐξῆς. εἴδος ἦν δικαστῶν ἐν τῇ Ασίᾳ βουλῆς, οἱ Αγοραῖοι. οἵτινες ἐδίκαζον τοῖς πένησι καὶ ἀγοραίοις ἀνθρώποις. διὸ καὶ Αγοραῖοι ἐκαλοῦντο. ὡσεὶ ἡμῖν ἔκδικοι κατὰ πόλεις τινάς. οἱ δὲ Ανθύπατοι, τῆς τῶν πλουσίων ἢ τῶν ἐγκλημάτων δίκης ὑπήκουον. λέγονται δὲ Αγοραῖοι καὶ οἱ δικολόγοι, παρὰ τὸ ἀγορεύειν λεγόντες, ὅ ἐστι δημηγορεῖν.

» Καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος. Ασιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος. οὗ-
» τοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρωάδι. ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας
» τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμε
» ρῶν πέντε. οὗ διετρίψαμεν ἡμέρας ἑπτά. ἐν δὲ τῇ μιᾷ τ̃ σαββάτων, συνηγμέ
» νων τῶν μαθητῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ
» ἐπαύριον. παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. ἦσαν δὲ λαμπάδες ἱκαναὶ
» ἐν τῷ ὑπερῴῳ, οὗ ἦσαν συνηγμένοι. καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ
» τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου, ἐπὶ πλεῖον

» κατενεχθεὶς ὑπὸ τοῦ ὕπνου, ἐπεσεν ἀπὸ τοῦ τριστέγου κάτω. καὶ ἤρθη νεκρός. κα-
» ταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ. καὶ συμπεριλαβών, εἶπε. μὴ θορυβεῖσθε.
» ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱ-
» κανόν τε ὁμιλήσας ἄχρι αὐγῆς, οὕτως ἐξῆλθεν. ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ
» παρεκλήθησαν οὐ μετρίως. ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν ἐπὶ τὴν
» Ασσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον. οὕτως γὰρ ἦν διατεταγμέ-
» νος, μέλλων αὐτὸς πεζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ασσον, ἀναλαβόντες
» αὐτὸν, ἤλθομεν εἰς Μιτυλήνην. κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσα-
» μεν ἀντικρυ Χίου. τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον. καὶ μείναντες ἐν Τρωγυλ
» λίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. ἔκεινε γὰρ ὁ Παῦλος πεπρακὼς τὴν Εφε-
» σον, ὅπως μὴ χρήσηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ασίᾳ. ἔσπευδε γὰρ εἰ δυνατὸν εἴη αὐτῷ,
» τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ιεροσόλυμα. Γάϊος Δερβαῖος καὶ
Τιμόθεος. ὧν μὲν ἄλλων καὶ τὰς πατρίδας λέγει, ὅστινες ἦσαν, γνωσιμωτέρους ἐν
τέσθαι ποιῶν. ἐπὶ δὲ Τιμοθέῳ ἠρκέσθη μόνῳ τῷ ὀνόματι, ὅτι τε αὐτὸς ἐκ τῶν αὐτοῦ
πρώτων καὶ τῆς ἀρετῆς ἐξαρκούσης εἶχε τὸ γνώρισμα, καὶ ὅτι καὶ πρὶν μνημεῖον αὐτοῦ
τῆς πατρίδος ἐποίησατο, ἐν οἷς ἔλεγε. κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν, καὶ
ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος. ἡ δὲ καὶ τὸ Δερβαῖος μὴν ἐθνικὸν ἐστι
» καὶ μὴ ἐν ἄρχῃ, καὶ μὴν τάχα τῆς πατρίδος ἐμνημόνευσεν. Ἀπὸ δὲ τῆς Μιλή-
» του πέμψας εἰς Εφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ
» παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς. ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἐ-
» πέβην εἰς τὴν Ασίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ κυ-
» ρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμ-
» βάντων μοι τοῖς ἐπιβουλαῖς τῶν Ιουδαίων, ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόν-
» των, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, διαμαρ-
» τυρόμενος Ιουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν
» κύριον ἡμῶν Ιησοῦν. ἐπεὶ δὲ λανθάνει τοὺς πολλοὺς ἡ συνήθεια, μάλιστα τῆς καινῆς
διαθήκης, τοὺς ἐπισκόπους πρεσβυτέρους ὀνομάζουσα, καὶ τοὺς πρεσβυτέρους
ἐπισκόπους, σημαντέον τοίνυν ἐντεῦθεν, καὶ ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς, ἔτι δὲ καὶ
πρὸς Φιλιππησίους, καὶ ἐκ τῆς πρὸς Τιμόθεον πρώτης. ἀπὸ μὲν οὖν τῶν Πράξεων
ἐντεῦθέν ἐστι σαφῆναι περὶ τούτου. γέγραπται γὰρ οὕτως. ἀπὸ δὲ τῆς Μιλήτου πέμ-
ψας εἰς Εφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ οἷς εἶπεν,
ἦ ἐπισκόποις. εἶτα ἐπιφέρει. ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόποις, ποιμαί
νειν τὴν ἐκκλησίαν. ἀπὸ δὲ τῆς πρὸς Τίτον ἐπιστολῆς. καταστήσεις κατὰ πόλιν πρεσ-
βυτέρους, ὡς ἐγώ σοι διεταξάμην. ἀπὸ δὲ τῆς πρὸς Φιλιππησίους. σὺν οἷς ἐστιν ἐν Φι-
λίπποις σὺν ἐπισκόποις καὶ διακόνοις. οἶμαι δ' ὅτι καὶ ἐκ τῆς πρώτης πρὸς Τιμόθεον ἀνα-
λογισάμενον τὸ ἐκλαβεῖν ἐστι. εἴτις γὰρ φησιν ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπι-
θυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι. καὶ μετ' ὀλίγα. χήραν καταλεγέσθω μὴ
ἔλαττον ἐτῶν ἑξήκοντα. καινὸν γάρ ἐστιν ἐκκλησίας διαγράφων ὁποῖον εἶναι δεῖ τὸν τοῦ
τον. μὴ

τον. μὴ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων. οὐ ταῦτα χαρακτῆρα διδα-
σκαλίας δείκνυσι, τὸ ἄφθονον, τὸ ἄοκνον, καὶ τὸ συμπαθές. ἔπασχε γὰρ ὑπὲρ τῶν
ἀπολλυμένων, ὑπὲρ ὧν ἀπολλυμένων. καὶ τὸ ταπεινὸν, καὶ ἀχ ἁπλοῦς. ἀμὰ μὴ
πάσης φησὶ ταπεινοφροσύνης. πολλαὶ γὰρ εἰδικὴ τῆς ταπεινοφροσύνης, οὐ λόγῳ, ἐν
οὐ ἔργῳ, πρὸς ἄρχοντας, πρὸς ἀρχομένους. καὶ τὸ τὰ συμφέροντα λέγειν. ὧν γὰρ ἄγκ
ἔδει μαθεῖν. ὥσπερ γὰρ τὸ πικρὸν κρύπτεσθαι φθόνου, οὕτω τὸ, τὸ πᾶν λέγειν αὐτοῖς,
ἀνοίας. καὶ διὰ τοῦτο προστέθεικε. ὧν συμφερόντων, ἀγκ ἀπεῖπ μόνον ἀμὰ ἐ διδάξαι.
» Καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς Ιερουσαλήμ, τὰ οὐ
» αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς. πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρ-
» τύρεταί λέγον. ὅτι δεσμά με καὶ θλίψεις μένουσιν, ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι.
» οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς
» καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ κυρίου Ιησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον
» τῆς χάριτος τοῦ θεοῦ. καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑ-
» μεῖς πάντες ἐν οἷς διῆλθον, κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ. Διὸ μαρτύρομαι ὑ-
» μῖν ἐν τῇ σήμερον ἡμέρᾳ. Ενταῦθα ἐς τὸ δεδεμένος δεῖ ὑποστῆναι, ἵνα ᾖ διά-
νοια τριαύτη. πορεύομαι εἰς Ιερουσαλήμ, προγνοὺς διὰ τοῦ πνεύματος τὰ ἐσόμε-
να, πορεύομαι δὲ δέσμιος ὤν. εἶτα ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσητε, καὶ ἵνα
δείξῃ ὅτι ἑκὼν ἀπέρχεται φησὶν, ὅτι καὶ πόλιν δεσμά με καὶ θλίψεις μένουσιν.
» Οτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. ἐγὼ ὑπεστειλάμην ὑμῖν τοῦ μὴ
» ἀναγγεῖλαι πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. Καθαρὸς ἁμὶ φησιν ἀπὸ τοῦ αἵματος
πάντων, ἅτις ἀπέβαλον τὰ ἑαυτοῦ πάντα ἀπὸ τοῦ φονεύειν τῶν ψυχῶν. τὸ γὰρ τοῦ διδα-
σκάλου φησὶ πεποίηκα, τῷ ἀναγγεῖλαι ὑμῖν τὴν βουλὴν τοῦ θεοῦ. ἆρα ὁ μὴ
λέγων, ὑπεύθυνος τοῦ αἵματός ἐστι, ρητέον τῆς σφαγῆς αὐτῶν. δείκνυσι γὰρ ὅτι
καὶ ἐκεῖνοι οἳ μὴ ποιοῦσιν ὑπεύθυνοί ἐισι τοῦ ἐξ Διὸς αἵματος. διὸ καὶ φορεῖ αὐτούς.
» Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον
» ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου
» αἵματος. ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς
» ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦν-
» τες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. διὸ γρηγορεῖτε, μνη-
» μονεύοντες, ὅτι τριετίαν, νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα
» ἕκαστον. καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος
» αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμέ-
» νοις πᾶσιν. Δύο προτάσει ποιεῖν τοὺς διδασκάλους. οὔτε γὰρ τὸ ἑτέρους
καταρθοῦν μόνον ἔχει κέρδος, οὔτε τὸ ἑαυτοῦ μόνου ἐπιμελεῖσθαι. ὁ γὰρ τοιοῦτος φι-
λαυτος. σημαντέον δὲ ὅτι οὓς οὐτοσὶ φησὶ πρεσβυτέρους, τούτους ἐπισκόπους
καλεῖ, ἤτοι διὰ τὸ τοὺς πρεσβυτέρους ἀνάγκην ἔχειν ἐπιμελεῖσθαι καὶ τῆς ἐκκλη-
σίας λογικὰ ποίμνια, μήτις ἀσθενῇ τῇ πίστει, μήτις πλανᾷ ἢ διλῷ, ἢ ἐλέγχου
καὶ ἐπιτροφῆς δεῖται. ἢ ἐπισκόποις οὕτως τοὺς ὄντως ἐπισκόπους καλεῖ.

» Αργυρίου καὶ χρυσίου ἢ ἱματισμοῦ ὠφθένος ἐπεθυμήσα. αὐτοὶ δὲ γινώσκετε ὅτι
» ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. πάντα ὑπέδειξα
» ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. μνημο-
» νεύσαντε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε, μακάριόν ἐστι διδόναι μᾶλλον ἢ
» λαμβάνειν. καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο.
» ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων. ἐπὶ τὸν τράχηλον τοῦ Παύλου,
» κατεφίλουν αὐτὸν, ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἶπε, ὅτι οὐκέτι μέλ
21 » λουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. ὡς δὲ ἐγένετο
» ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, διαδραμόντες ἤλθομεν εἰς τὴν Κῶ.
» τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον. κακεῖθεν εἰς Πάταρα. Αργυρίου ἢ χρυσίου ἐπεθύμησα.
τὴν ῥίζαν ἁπάντων γὰρ τῶν κακῶν τὴν φιλαργυρίαν. οὐδὲ ἁπλῶς φησὶν, οὐκ ἔλαβον, οὐδὲ
οὐδὲ ἐπεθύμησα. εἶτα δείκνυσιν ὅτι ἡ ἀληθὴς ἐλεημοσύνη ἐκ τῶν ἰδίων κόπων
ὀφείλει γίνεσθαι τοῖς ἐνδεέσιν, ἐπεὶ ἐκ τῶν ἀλοτρίων διδόναι γε καλόν. εἶτα καὶ χρῆ-
σιν εἰς κατασκευὴν τούτου δείκνυσι φωνῆς τοῦ κυρίου ἱερῆσθαι φησίν. ὅσον νῦν χρέους ταῖς
γραφῆς. καὶ ἴσως ἀγράφως παρέδωκαν οἱ ἀπόστολοι. ἢ ἐξ ὧν ἄντις συλλογίσαιτο
σωτὴρ ἱερῆσθαι δι' ἑτέρων λέξεων τοῦτο διδάσκουσιν. οὐ τοῦτο δέ φησιν ὅτι κακὸν τὸ λα
βεῖν καὶ μεταδιδόναι, ἀλλὰ βέλτιον τὸ μὴ λαβεῖν. τοῦτο γὰρ συμφωνεῖ τῇ πρὸς
τοὺς ἀθεεῖς. τὸ γὰρ ἐκ τῶν ἀλοτρίων διδόναι γε καλόν. ἐστὶ γὰρ οὗ τις βαθμὸς εἶναι
τοῦ αὐτοῦ, δεύτερος ἑαυτῷ ἐπικεῖν, τρίτος καὶ ἕτερος, τέταρτος, τὸ καὶ κυρίου πάντα
καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν. ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος
» βελτίων ἐστί. Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν.
» ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς
» Συρίαν, καὶ κατῆχθημεν εἰς Τύρον. ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν
» γόμον. καὶ ἀνευρόντες δὲ τοὺς μαθητάς, ἐπεμείναμεν αὐτοῖς ἡμέρας ἑπτά.

Οὐ λέγει τοῦτο ἐστὶ. μὴ εὑρίσκοντες πλοῖον ἀπὸ χώρου εἰς Καισάρειαν, ἀλλὰ εἰς
Φοινίκην, ἀνήλθομεν εἰς αὐτό. καὶ Κύπρον δὲ εἴδαμεν καὶ Συρίαν. τὸ γὰρ κα-
ταλιπόντες αὐτὴν εὐώνυμον οὐκ ἄπλως εἴρηται, ἀλλ' ὅτι οὐδὲ ἐγγὺς γενέσθαι τῆς
Συρίας ἐπιστάμεθα. ἤλθομεν οὖν εἰς Λυκίαν, καὶ τὴν Κύπρον ἀφέντες, εἰς Τύρον κα-
τέπλευσαν. ἐκεῖσε γὰρ τὸ πλοῖον ἀποφορτίσει τὸν γόμον.

» Οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ.
Οὐ τοῦτό φησιν ὅτι τὴν προαίρεσιν διὰ τοῦ πνεύματος ἐποιοῦντο, ἀλλ' ὅτι διὰ τοῦ πνεύ-
ματος ἐδόκουν. οὐ γὰρ ἁπλῶς αὐτῷ τοῦτο δι' ἃ ἐβούλετο, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρή, φα-
» δόμενοι αὐτοί. Οτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευό
» μεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως.
» καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσευξάμεθα. καὶ ἀσπασάμενοι ἀλλήλους,
» ἐπέβημεν εἰς τὸ πλοῖον. ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. ἡμεῖς δὲ τὸν πλοῦν διά-
» νύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα. καὶ ἀσπασάμενοι τοὺς ἀδελ
» φοὺς, ἐμείναμεν ἡμέραν μίαν πρὸ αὐτοῖς. τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ περὶ τὸν
Παῦλον,

» Παῦλον, ἤλθον εἰς Καισάρειαν. καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ Εὐαγγε-
» λιστοῦ ὄντος ἑνὸς τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. Εξαρτίσαι τὰς ἡμέρας. τὸ ἐξαρ
τίσαι ἀντὶ τοῦ πληρῶσαί φησι. μετὰ γὰρ τὸ πληρῶσαι τὰς τεταγμένας ἡμέρας, ἐντε-
» ῦθεν ἐξῆλθε τὰ ἄζυμα, εἰς Τρωάδα ἦλθον διὰ ἡμερῶν πέντε. Τούτου δὲ ἦσαν θυγα-
» τέρες πάρθενοι τέσσαρες προφητεύουσαι. Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κα Κεφ. λ'.
» τῆλθέ τις ἀπὸ τῆς Ιουδαίας προφήτης ὀνόματι Αγαβος. καὶ ἐλθὼν πρὸς ἡμᾶς,
» καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, εἶπε.
» τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα οὗ ἐστὶν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν
» οἱ Ιερουσαλὴμ Ιουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. ὡς δὲ ἠκούσαμεν ταῦ-
» τα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ιερουσαλήμ.
» ἀπεκρίθη τε ὁ Παῦλος, Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρ-
» δίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ιερουσαλὴμ ἕτοιμος ἔχω
» ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου Ἰησοῦ. μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες,
» τὸ θέλημα τοῦ κυρίου γινέσθω. Σημειωτέον ὅτι τοῦ Διακόνου Φιλίππου ἦσαν αἱ θυ
γατέρες. ὥστε οἶμαι καὶ τῷ κοινωνήσαντι γάμων δεκανεῖν ἔξεστι. σημείωσαι δέ,
ὅτι αἱ προφήτιδες αἱ θυγατέρες αὐτοῦ πάρθενοι ἦσαν, καὶ ὅτι ἥσκουν δι' εὐλάβειαν
μᾶλλον τοῦτο, ὥστε καὶ προφητείας ἠξιῶσθαι. ὥστε δῆλον ὅτι πᾶσα σύνδεσμον ἐν
αὐταῖς ἡ παρθενία. ἡ γὰρ μὴ ἐν πᾶσα σύνδεσμον, οὐκ ἂν προσέθηκεν ὁ συγγραφεὺς, ὅτι
» καὶ πάρθενοι ἦσαν. Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι, ἀνεβαίνο- Κεφ. λα'
» μεν εἰς Ιερουσαλήμ. συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν ἄγον
» τες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ ἀρχαίῳ μαθητῇ. γενόμενοι δὲ ἡ-
» μῶν εἰς Ιεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί. τῇ δὲ ἐπιούσῃ εἰσῆλθε ὁ
» Παῦλος σὺν ἡμῖν πρὸς Ιάκωβον. πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπα-
» σάμενος αὐτοὺς ἐξηγεῖτο καθ' ἓν ἕκαστον, ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς
» διακονίας αὐτοῦ. οἱ δὲ ἀκούσαντες, ἐδόξαζον τὸν κύριον, εἰπόν τε αὐτῷ. θεωρεῖς
» ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ιουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ
» νόμου ὑπάρχουσι. κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως, τοὺς
» κατὰ τὰ ἔθνη πάντας Ιουδαίους λέγων, μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθε
» σι περιπατεῖν. τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν. ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.
» τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν. εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἀφ' ἑαυτῶν.
Ἡσυχάσαμεν. τοῦτέστι τὰς ὁδοιπορίαν λαβόντες. θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες. συμβουλεύουσιν γὰρ ἐπὶ τοσούτοις οὕτω οἱ περὶ τὸν Ιάκωβον. ὅθεν καὶ πειθουσιν. οἰκονομίας γὰρ ἦν ἡ συγκατάβασις, γε νομοθεσίας. γε ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ἀλλ' οἰκονομία. οἱ γὰρ ἐν Ιεροσολύμοις πεπεισμένοι ἀπὸ Ιου-
» δαίων, ὅτι ἔθη τὰ νομικὰ ἤθελον ἔτι φυλάττειν. Τούτοις παραλαβὼν, ἁγνίσθητι
» σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὰς κεφαλάς, καὶ γνῶσι
» πάντες, ὅτι ὧν κατήχηνται περὶ σοῦ γέ ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυ
» λάσσων. περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες, μη-
δὲν τοιοῦτον

» δὲν ποιοῦν τηρεῖν αὐτούς, ἢ μὴ φυλάσσεσθαι αὐτοὺς τὸ τε ἀλισγήματος, καὶ τὸ αἷμα,
Κεφ. λβ'. » καὶ πνικτὸν, καὶ πορνείαν. Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ
» ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμε-
» ρῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. ὡς δὲ ἔμελ-
» λον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν
» τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον. καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν, κράζον-
» τες. ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ
» τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων. ἔτι τε Ἕλληνας εἰσή-
» γαγεν εἰς τὸ ἱερὸν. καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον. ἦσαν γὰρ ἑωρακότες Τρόφι-
» μον τὸν Ἐφέσιον τὸν τῇ πόλει αὐτῷ. ὃν ἐνόμιζον, ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ
» Παῦλος. ἐκινήθη, τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ. καὶ ἐπιλαβόμενοι
» τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ. καὶ διὰ τοῦτο ἐκλείσθησαν αἱ θύραι. ζητοῦν-
» των δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι ὅλη συγκέ-
» χυται Ἱερουσαλήμ. ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέ-
» δραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύ-
» πτοντες τὸν Παῦλον. ἐγγίσας δὲ ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δε-
» θῆναι ἁλύσεσι δυσί. καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς. ἄλλοι δὲ
» ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ. μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυ-
» βον, ἐκέλευσεν ἀχθῆναι αὐτὸν εἰς τὴν παρεμβολήν. ὅτε δὲ ἐγένετο ἐπὶ τοῖς ἀναβαθ
» μοῖς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν, διὰ τὴν βίαν τοῦ ὄχλου. ἠκο-
» λούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζον. Τοῦτος παραλαβὼν ἀγνίσθητι ἐμοὶ αὐ-
τοῖς. ἐγὼ τὴν ἀπολογίαν ποιήσαι αὐτῷ συμβουλεύουσιν οἱ λόγῳ. τὸν οὖν φα-
σί. τὸς προσφερομένους ὑπὲρ αὐτῶν κατὰ τὸν νόμον θυσίας, σὺ πάρασχε, ἵνα λύ-
σῃς τὴν ὑποψίαν, καὶ δείξῃς, ὅτι οὐ μόνον οἱ Διδάσκαλοι ἔξω τοῦ νόμου, ἀλλ' ὅτι καὶ
αὐτὸς φυλάττῃς τὸ ἐν τῷ νόμῳ. ἵνα δὲ μὴ λέγῃ, ὅτι αὐτὸς ἔσπευδε μάθωσι, σπεύ-
δαλιφθῆναι, ἐπάγει λοιπόν. περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλα
μεν φυλάσσεσθαι μηδὲν τοιοῦτον τηρεῖν αὐτούς. ὥσπερ οὖν ἡμεῖς ἐκείνοις ἐπεστάλκαμεν, κρίναι
Ἰουδαίοις κηρύττοντες, οὕτω καὶ σὺ τοῖς ἔθνεσι κήρυττων, σύμπαρεξον ἡμῖν. συγκα
τάβασις γὰρ τοῦτό ἐστι, μηδὲν ὑποπτεύσης. καὶ τὸν ἐν Ἱεροσολύμοις δὲ τὸν ποιεῖς,
φορτὸν. ποίησον οὖν τοῦτο τοῦτο, ἵνα δείξῃ ἔξω ποιεῖν ἐκεῖνο. εἶτα ἐπείθη
» αὐτοῖς. καὶ ξυρᾶτο. καὶ πάντα τὰ Ἰουδαϊκὰ ἐπετέλεσεν. Αἶρε αὐτὸν. μέλ-
» λοντες ἀπάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ. εἰ ἔξεστί μοι
» εἰπεῖν πρός σε; ὁ δὲ ἔφη, Ἑλληνιστὶ γινώσκεις; οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων
» τῶν ἡμερῶν ἀναστατώσας, καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἀν-
» δρας τῶν Σικαρίων; Αἶρε αὐτὸν. εἶπε τοῖς Ἰουδαίοις πάντα λέγειν τῇ φωνῇ καὶ
τοῖς ὠσὶν ἀκούειν, ὡς καὶ κατὰ τὸ ὠρύομαι, αἶρε αὐτὸν, ἀντὶ τοῦ ἔπαρον αὐτὸν ἐκ τῶν ζῶν-
των. ἄλλοι δὲ οὕτω φασί. ρυτέον ὃ πρὸς ἡμῖν λέγουσι κατὰ τὴν Ρωμαϊκὴν σωπή-
θημεν. ἢ τοῖς σήμασιν αὐτὸν ἔβαλε. γὰρ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος. οὗτος ὁ Αἰγύπτιος,

ἄνθρωπός τις

ἄνθρωπός τις ἦν νεωτεροποιὸς καὶ στασιαστὴς καὶ ἀπατεὼν καὶ γόης. καὶ θέλων ὁ
Διάβολος κοινωνὸν ποιεῖν Παῦλον τῶν ἐκείνῳ πεσκημένων ἐγκλημάτων, ὥστε ἐ
πὶ τὸν Χριστὸν καὶ τὸν καιρὸν ἐκεῖνον, διήγειρεν αὐτὸν πρατταρύεσθαι τοῖς Ἰουδαί
οις. ἐπεδὴ δέφησιν ὁ χιλίαρχος, συεῖ ὁ Αἰγύπτιος, διὰ τὸν αὐτὸν ταύτης ἀ-
πηγαγε τῆς ὑποψίας, καὶ τὸ ἔθνος ἔπαυν, καὶ τὴν θρησκείαν. καὶ γὰρ ἀγαχοῦ ἔνομ-
ον ἑαυτὸν τοῦ Χριστοῦ καλεῖ. Σικάριοι δὲ λέγονται λῃσταὶ ξιφιδίοις χρώμενοι, πρα
σπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν Ακινάκαις, ἁπαμοιβέσι δὲ καὶ ὁμοίοις
ταῖς ὑπὸ Ρωμαίων καλουμέναις Σίκαις, ἀφ' ὧν ὁ τὴν προσηγορίαν οἱ λῃστεύοντες
ἔλαβον. ἄλλοι δὲ αἱρεσίν τινα παρὰ Ἰουδαίοις ἔφασαν εἶναι. τρεῖς γὰρ εἰσιν αἱρέσεις
γενικαὶ παρὰ Ἰουδαίοις, Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Εσσηνοί. οὗτοι τὸν βίον σε-
μνότερον ἀσπαζόμενοι φιλάλληλοί ὄντες ἐγκρατεῖς. διὸ δὲ Εσσηνοὶ προσαγορεύονται,
οὐκ οἶδα ὅσοι. ἄλλοι δὲ αὐτοὺς Σικαρίους ἐκάλεσαν, οὐκ οἶδα ζηλωτάς.

» Εἶπε δὲ ὁ Παῦλος. ἐγὼ ἄνθρωπός μέν εἰμι Ἰουδαῖος Ταρσεὺς, τῆς Κιλικίας οὐκ
» ἀσήμου πόλεως πολίτης. δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν.
» ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ
» λαῷ. πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει τῇ Ἑβραΐδι διαλέκτῳ. Ἄνδρες ἀ-
» δελφοὶ καὶ πατέρες ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. ἀκούσαντες δὲ 22
» ὅτι Ἑβραΐδι διαλέκτῳ προσφωνεῖ αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. καὶ φησιν. ἐγὼ
» μέν εἰμι ἀνὴρ Ἰουδαῖος γεγεννημένος ἐν Ταρσῷ τῆς κιλικίας, ἀνατεθραμμένος δὲ
» τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος κατὰ ἀκρί-
» βειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμε
» ρον. ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλα
» κὰς ἄνδρας τε καὶ γυναῖκας. ὡς καὶ ὁ Ἀρχιερεύς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυ-
τέριον. παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευό
μην ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσιν. ἐγέ
νετο δέ μοι πορευομένῳ, καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ
τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ. ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα
φωνῆς λεγούσης μοι. Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ἐγὼ δὲ ἀπεκρίθην, τίς εἶ κύ
ριε; εἶπέ τε πρός με. ἐγὼ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. οἱ δὲ ἐμοὶ ὄν-
τες, τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἐμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ
λαλοῦντός μοι. εἶπον δέ, τί ποιήσω κύριε; ὁ δὲ κύριος πρός με. ἀναστὰς πορεύου
εἰς Δαμασκὸν, κἀκεῖσοί λαληθήσεταί περὶ πάντων, ὧν τέτακταί σοι ποιῆσαι. ὡς
δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόμ-
των μοι, ἦλθον εἰς Δαμασκόν. Ανανίας δέ τις ἀνὴρ εὐσεβὴς, κατὰ τὸν νόμον μαρτυ-
ρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων, ἐλθὼν πρός με καὶ ἐπιστὰς, εἶπέ
μοι. Σαοὺλ ἀδελφὲ, ἀνάβλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. ὁ δὲ
εἶπεν. ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχείρισατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰ-
δεῖν τὸν Δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς

πάντας

» πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας. καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτι-
» σαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ κυρίου. ἐγένετο δέ
» μοι ὑποστρέψαντι εἰς Ἰερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με
» ἐν ἐκστάσει, καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι. σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσα-
» λὴμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. κἀγὼ εἶπον. κύριε, αὐ-
» τοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πι-
» στεύοντας εἰς σέ. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤ-
» μην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων
» αὐτόν. καὶ εἶπε πρός με. πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. ἤκουον
» δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆρα τὴν φωνὴν αὐτῶν λέγοντες. αἶρε ἀπὸ
» τῆς γῆς τὸν τοιοῦτον. οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. κραζόντων δὲ αὐτῶν, καὶ ῥιπτούντων
» τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος
» ἄγεσθαι εἰς τὴν παρεμβολὴν, εἰπὼν, μαστίζειν ἀνετάζεσθαι αὐτὸν, ἵνα ἐπιγνῷ δι' ἣν αἰ-
» τίαν οὕτως ἐπεφώνουν αὐτῷ. ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶσι, εἶπε πρὸς τὸν ἑστῶ-
» τα ἑκατόνταρχον ὁ Παῦλος. Ῥωμαῖον καὶ ἀκατάκριτον ὑμῖν μαστίζειν; καὶ τὸ χιλιάρχου πυθα-
νόμενος, ἀπῆλθε πρὸς τὸν Παῦλον, καὶ εἶπε πρὸς αὐτόν. τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστιν. προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ. λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, ναί. ἀπεκρίθη τε ὁ χιλίαρχος. ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος ἔφη. ἐγὼ δὲ καὶ γεγέννημαι. εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ, οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδε- Κεφ. λγ΄.
κώς. τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν
Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν. καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς, ἐ
ὅλον τὸ συνέδριον αὐτῶν. καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς. Ἀτενίσας 23
δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν. Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ
πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς
παρεστῶσιν

οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλ-
λουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσιν. ὁρᾷς τοὺς
φιλοσοφωτάτους Ῥωμαίους ἑαυτοὺς ἀποκαλοῦντας; οὕτως οὐ δεῖ μικρὸν καὶ Παῦ
λον Ταρσέα καὶ Ῥωμαῖον εἶναι. καὶ γὰρ ἐπεὶ τέλειον ἐδόκει, τὸ καλεῖσθαι Ῥωμαῖον,
καὶ σωφρονέστερόν τι τῶν ἄλλων ἐς λόγον δόξις ἐνομίζετο πᾶσθαι ὁ ταύτῃ καλούμε
νος τῇ ὀνομασίᾳ, πολλοὶ καὶ κατὰ πόλεις ἅμα, καὶ κατ' ἄνδρα ὄντες, ἐσπούδαζον
ταύτην ἑαυτοῖς τὴν ὀνομασίαν προσποιήσασθαι. καὶ ἀπὸ μὲν τῆς πατρίδος ἕκαστος
ὀνομάζετο, ὅσπερ ἔτυχε, τῷ ἰδίῳ καμάτῳ δηλῶν. Ῥωμαῖος δὲ πάλιν ἐκαλεῖτο,
ὡς ἀξιώματι ταύτην ἐπιγραφόμενος τὴν ὀνομασίαν. οὕτω γοῦν ὁ Παῦλος ἡνίκα
αὐτὸν ἔμελλον ἀνετάξειν καὶ τύπτειν, ταύτην προσεκομίζετο τὴν προσηγορίαν, δεδι-
ὼς μὴ καὶ ἀνακόπτειν αὐτοῖς τὰ γιγνόμενα ἐπιχειρῶν. φησὶ φασίν. ἐγὼ ταῦτα.
πῶς δὲ ἐγχωρεῖ ἐν τῷ Ταρσῷ γεγενῆσθαι Παῦλον ἐν Ῥώμῃ; ἐν Ταρσῷ μὲν γὰρ
γεγεννῆσθαι καὶ Ῥωμαῖον καλεῖσθαι, ταύτην ἑαυτῷ δι' τιμήν τινα τὴν ὁμοσπονδίαν
ἐπινοησάμενον, ἐδεῖχθη μηδὲν ἀδύνατον ὄν. γεγεννῆσθαι δὲ καὶ ἐν τῷ Ταρσῷ καὶ ἐν
Ῥώμῃ, πῶς οἷόν τε ἔσται; ἐν ποῦ φησὶ Παῦλος ὅτι ἐν Ῥώμῃ γεγέννηται; ναί φησιν. ἐ-
πεδείκνυτο γὰρ ὁ χιλίαρχος εἶπεν, ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκ-
τησάμην, ὁ Παῦλος φησιν, ἐγὼ δὲ καὶ γεγέννημαι. καὶ τί τοῦτο; ἦ γὰρ εἶπεν, ἐν
τῇ Ῥώμῃ γεγέννημαι. ἀλλὰ τί φησιν; αὐτόθεν δῆλον. ἦσάντες γὰρ τὴν πολιτείαν τὴν
χιλιάρχου, ἀφ' ἧς δὲ Ῥώμῃ ἀπὸ Ῥωμαϊκὴν πολιτείαν, ἐπήγαγεν, ἐγὼ δὲ καὶ γε-
γέννημαι. ἀφ' ἧς τῇ Ῥώμῃ. ἆρ' οὖν τοῦτο εἶπεν ὁ χιλίαρχος, ὅτι πολλοῦ κεφαλαίου
ἐκτησάμην, ἢ ἀφ' ἧς τῇ Ῥωμαϊκῇ πολιτείᾳ καὶ τιμῇ, ὅσπερ καὶ κτήσασθαι ἔλεγε.
πῶς οὖν ἐγεννήθη ἧς τῇ Ῥωμαϊκῇ πολιτείᾳ, ἐμὲ δὲ ἐν Ῥώμῃ ἐγεννήθη; ὅτι κτησαμένου
τοῦ πατρὸς αὐτοῦ τὴν τιμὴν ταύτην, καὶ ταύτῃ σεμνυνομένου ἐς πλοῦτον ὅμοιον,
ἐγεννήθη αὐτῷ. τὸ οὖν, ἐγὼ δὲ καὶ γεγέννημαι, φησὶν, ὅτι αὐτὸς μὲν πρόσφα
τον ἔσχε τὴν τιμὴν, αὐτὸς αὐτὴν κτησάμενος, ἐγὼ δὲ πατρικὴν φέρω τὴν δόξαν ἐ
σωσάμην. διὰ τοῦτό φησιν, ἐγὼ δὲ καὶ γεγέννημαι. ΚΑΙ ΑΛ-
» ΛΩΣ. Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; ἀκούσας
» δὲ ὁ ἑκατόνταρχος, προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων, ὅρα, τί μέλ
» λεις ποιεῖν. ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι. προσελθὼν δὲ ὁ χιλίαρχος, εἶπεν
» αὐτῷ. λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, ναί. ἀπεκρίθη τε ὁ χιλίαρχος. ἐγὼ
» πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος ἔφη. ἐγὼ δὲ
» καὶ γεγέννημαι. εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ, οἱ μέλλοντες αὐτὸν ἀνετάζειν.
» καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδε- Κεφ. λγ΄.
» κώς. τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν
» Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν. καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς, ἐ
» ὅλον τὸ συνέδριον αὐτῶν. καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς. Ἀτενίσας 23
» δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν. Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ
» πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς
παρεστῶσιν

» πρεσβῶσιν αὐτῷ, τύπτειν αὐτὸν τὸ στόμα. Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε. τύπτειν σε
» μέλλει ὁ θεὸς τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρὰ νόμον κελεύεις με τύπτεσθαι; οἱ δὲ παρεστῶτες εἶπον. τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς;
» ἔφη, τε ὁ Παῦλος. Οὐκ ἐψεύσατο Παῦλος Ρωμαῖον ἑαυτὸν καλέσας καίτοι Ιου-
δαῖος ὑπάρχων, ὡς καὶ αὐτὸς πρὸ ὀλίγου ἔφη. ἀπὸ γὰρ Αδριανοῦ σωζεσθαι πάντας εἶναι Ρωμαίους. μεγάλως γὰρ εἶχον τότε πρόνοιαν οἱ οὕτως ἀξιούμενοι καλεῖσθαι. ταῦτα δὲ φησιν ἵνα μὴ μᾶσι χθεὶς δίκαια φέρωμεν γένηται. ἦ γὰρ ἐμάσιξαν, καὶ πρέπτρεψαν αὐτὸ τὸ πρᾶγμα καὶ ἀπέκτειναν αὐτόν. νυνὶ δὲ ἡ καὶ μὴ δι' ἕτερον ἀφῆκε δι' αὐτὸ γε μόνον ἐκεμάσιξαν, ἀφῆκε καὶ ἀπέλυσαν. δείκνυσιν οὖν ὁ Παῦλος, ὅτι ὁ πατὴρ αὐτοῦ Ρωμαῖος ἦν. πρὸ γὰρ τῆς γεννηθῆναι τὸν Παῦλον, πεπολιτευμένης τῆς Κιλικίας ὑπὸ Ρωμαίοις, ἀνάγκη καὶ αὐτὸν ὡς ὄντα ὑπ' αὐτοῖς, Ρωμαῖον εἶναι. τέως δὲ καὶ ἀπὸ τῶν προφητείαν ἐδεσμεύθη τὸν Ιερουσαλήμ. Τί οὖν ἀπὸ τούτου γίνεται; λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ιουδαίους. ἦν ἄρα ψεύδος ἦν. ἐφορᾶτε γὰρ φησιν ὁ χιλίαρχος πῶς οὗτος Ρωμαῖός ἐστι, ρητέον ἀξιωματικῶς λύσις. τύπτειν σε μέλλει ὁ θεὸς τοῖχε κεκονιαμένε. ἄξιον ζητῆσαι πῶς ὁ αὐτὸς ἀπὸ τοῦ ἀνω, λοιδορούμενος βλασφημούμενος πρακαλοῦμεν, ἀνταῦθα φυμανίζον, ἀ μόνον λοιδορεῖ ἀπὸ καὶ ἐπαράται. καὶ φαμεν, ὅτι ταῦτα τὰ ῥήματα παῤῥησίας μᾶλλόν ἐστιν ἢ θυμοῦ. ἀ γὰρ ἐβούλετο δίκαια φέρωμεν φανῆναι τῷ χιλιάρχῳ. ἦ γὰρ αὐτὸς μὲν ἐφείσατο μάσιξαι, ὡς δὲ τοῖς Ιουδαίοις ἐκδοθεὶς μέλλοντα ὑπὸ τῶν οἰκείων τύπτεσθαι, μᾶλλον ἀν ἐκεῖνον θρασύτερον ἠργάσατο. τὸν δὲ ἀρχ ὡς φασί τινες πρὸς τὸν παῖδα ἀποτείνεται, ἀπὸ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα. διὸ ἀπολογεῖται δικαίως. ἤδως γὰρ ὅτι δεῖ καὶ θυμὸν δίκαιον παρίστασθαι, καὶ ἀγανάκτησιν δικαίαν καλύπτειν, ὥσπερ μεταμεληθεὶς λέγει. ἀρχιερέα ὄντα οὐκ ἤδειν ὅτι ἐστὶν ἀρχιερεύς, καίτοι ἤδως. ἐλεγε γὰρ καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον. ἀπὸ προστιθεῖται ἀγνοιαν ἀ βλάπτουσαν, ἀπὸ οἰκονομοῦσαν. ἔστι γὰρ καὶ μεταχρισμῷ χρήσασθαι ἰσχυροτέρῳ παῤῥησίας. πολλάκις γὰρ παῤῥησία μὲν ἄκαιρος ἔβλαψε τὴν ἀλήθειαν, μεταχρισμὸς δὲ δὴ
» καιρὸς κατώρθωσε τὸ προκείμενον. Οὐκ ἤδειν ἀδελφοί ὅτι ἐστὶν ἀρχιερεύς. γέ
» γραπται γὰρ, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. γνοὺς δὲ ὁ Παῦλος, ὅτι τὸ ἓν μέ
» ρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἐκραξεν ἐν τῷ συνεδρίῳ.

Τινές φασι μὴ ἤδέναι αὐτὸν ὅτι ἐστὶν ἀρχιερεύς, διὰ μακροῦ μὲν ἐπανελθόντα χρόνου, μὴ συγχωρούμενον δὲ Ιουδαίοις, ὁρῶντα δὲ αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλῶν ἑτέρων. οὐκ ἐπὶ γὰρ δῆλος ἦν ὁ ἀρχιερεὺς πολλῶν ὄντων καὶ διαφόρων. διὸ ὡς μὴ ἤδως, εὐλόγως ἀπολογεῖται ὡς κατηγορίας οὔσης, καὶ ἐπάγει. ἄρχοντα τοῦ λαοῦ
» σου οὐκ ἐρεῖς κακῶς. Ανδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι υἱὸς Φαρισαίου. περὶ
» ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. τὸν δὲ αὐτὸ λαλήσαντος, ἐγένετο
» στάσις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. Πάλιν ἀνθρωπίνως διαλέγεται, καὶ ἡ πάντα χοῦ τῆς χάριτος ἀπολαύει. καὶ ἐν τούτῳ, καὶ μετὰ ταῦτα ἐβουλήθη σχίσαι τὸ πλῆθος τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. ἐ γὰ ψεύδεται
γὰρ ὁ

» γὰρ ὁ τοιαῦτα. Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι, μὴ
» εἶναι ἀνάστασιν, μὴ δὲ ἄγγελον, μήτε πνεῦμα. Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμ
» φότερα. ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες γραμματεῖς τοῦ μέρους τῶν
» Φαρισαίων, διεμάχοντο λέγοντες. γέγραπται γὰρ κακὸν εὑρίσκομεν τῷ ἀνθρώπῳ τούτῳ.

Σαδδουκαῖοι πλούσιοι ὄντες, τάχα γὰρ τὴν θεὸν ἴσασιν. ὅθεν γὰρ ἀμάστατον βούλονται πιστεύειν εἶναι. Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα. ἐ μὲν πρία ἐστί. πῶς οὖν λέγει, ἀμφότερα; ἢ ὅτι πνεῦμα καὶ ἄγγελον ἕν φησιν, ἢ ὅτι ἡ λέξις γὰρ μόνον περὶ δύο λέγει, ὅπερ κυρίως δίκαιοι, τὸ, ἀμφότερα, σημαίνει περὶ πλῶν; ὥστε οὖν γε δεῖ ἐκ τῆς ἕξωθεν ἀκριβολέκτου κυριότητος κρίνειν τὰ τῶν ἀπλῶν
» καὶ ἀγραμμάτων ἁλιέων συγγραφάς. Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγ-
» γελος, μὴ θεομαχῶμεν. πολλῆς δὲ γνωμῆς στάσεως, βλαβεὶς ὁ χιλίαρ-
» χος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβῆναι καὶ ἁρ-
» πάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἀγαγεῖν εἰς τὴν παρεμβολήν. τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπι-
» στὰς αὐτῷ ὁ κύριος, εἶπε. θάρσει Παῦλε. ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ιε-
» ρουσαλήμ, οὕτως σε δεῖ καὶ εἰς Ρώμην μαρτυρῆσαι. γνωμῆς δὲ ἡμέρας, ποιή- Κεφ. λδ'.
» σαντές τινες τῶν Ιουδαίων συνωμοσίαν. Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ. διὰ τοῦτο ἐπὶ
μοῆσαι τὸ ἁρμῆνον. ἢ γὰρ λείπει τι αὐτῷ πρὸς ἀναπλήρωσιν τῶν ἀνθρώπων, ἵνα ᾖ οὕτως. ἦ δὲ πνεῦμα ἢ ἄγγελος ἐλάλησεν αὐτῷ, ἀδιάλυτον φησιν. ἢ ὡς ἀπὸ τῶν Φαρισαίων τὸ ῥῆμα λεκτέον. ἦ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος. ἀντὶ τοῦ, ἰδοὺ τὰ περὶ ἀναστάσεως λαλῶν, δῆλός ἐστιν ἢ διὰ πνεύματος ἁγίου, ἢ δι' ἀγγέλου κα
» τηχηθεὶς τὸν τῆς ἀναστάσεως λόγον. Ανεθεμάτισαν ἑαυτοὺς λέγοντες, μήτε
» φαγεῖν, μήτε πεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον. ἦσαν δὲ πλείους τεσσαρά
» κοντα οἱ ταύτην τὴν συωμοσίαν ποιησάμενοι. οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦ
» σι καὶ τοῖς πρεσβυτέροις, εἶπον. ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύ
» σασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον. νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρ
» χῳ καὶ τῷ συνεδρίῳ, ὅπως ἄγειον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διακρι
» νώσειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ
» ἀνελεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος
» καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ. προσκαλεσάμενος δὲ
» ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη. τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλιάρ
» χον. ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς
» τὸν χιλίαρχον, καὶ φησιν. ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον
» τὸν νεανίαν ἀπαγαγεῖν πρός σε ἔχοντά τι λαλῆσαί σοι. Παραλαβόμενος δὲ τῆς χειρὸς αὐ-
» τοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγ-
» γεῖλαί μοι; εἶπε δὲ, ὅτι οἱ Ιουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε, ὅπως αὔριον εἰς τὸ
» συνέδριον καταγάγῃς τὸν Παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ
» αὐτοῦ. σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσα
» ράκοντα. οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πεῖν ἕως οὗ ἀνέλωσιν
αὐτόν. καὶ

» αὐτ῀ μ. καὶ μῶ ἕτοιμοί ἐσι πεσδεχόμενοι πὼ ἀπὸ θῦ ἐπαγγελίαν. ὁ μὲν οὖν
» χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἔνε
» φάνισας πρὸς μέ. καὶ πεσκαλεσάμενος δύο τινὰς τῶν ἑκατονταρχῶν εἶπεν. ἑτοι-
» μάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβ-
» δομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτὸς, κλίνητε πα
» ρασῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα, γρά-
» ψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον. Κλαύδιος Λυσίας τῷ κρατίς ῳ ἡγε-
» μόνι Φήλικι χαίρειν. τὸν ἄνδρα τοῦτον συλλημφθέντα ὑπὸ τῶν Ιουδαίων, καὶ μέλλοντα
» ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην, μαθὼν ὅτι Ρωμαῖός
» ἐστι. βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν, δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν
» εἰς τὸ συνέδριον αὐτῶν. ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μη-
» δὲν δὲ ἄξιον θανάτου, ἢ δεσμῶν ἔγκλημα ἔχοντα. μηνυθείσης δέμοι ἐπιβουλῆς εἰς τὸν
» ἄνδρα μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ιουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σε, παραγεί-
» λας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἐρρῶσθαι. οἱ μὲν οὖν στρατιῶται
» κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ τῆς νυκτὸς
» εἰς τὴν Αντιπατρίδα. τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑ-
» πέστρεψαν εἰς τὴν παρεμβολήν, οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόν-
» τες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. ἀναγνοὺς δὲ ὁ ἡγε
» μὼν, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας,
» διακούσομαί σου ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. ἐκέλευσέ τε αὐτὸν ἐν τῷ
Κεφ. λέ'. » πραιτωρίῳ Ηρώδου φυλάσσεσθαι. μεθ' ἡμέρας δὲ πέντε κατέβη ὁ ἀρχιερεὺς Ανα
24 » νίας μετὰ τῶν πρεσβυτέρων, καὶ ῥήτορος Τερτύλλου τινός. οἵτινες ἐνεφάνισαν τῷ
» ἡγεμόνι κατὰ τοῦ Παύλου. κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος,
» λέγων. πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔ-
» θνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντη τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε
» Φήλιξ, μετὰ πάσης εὐχαριστίας. ἵνα δὲ μὴ ἐπὶ πολὺ σὲ ἐγκόπτω, παρακαλῶ
» ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ
» κινοῦντα στάσεις πᾶσι τοῖς Ιουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς
» τῶν Ναζωραίων αἱρέσεως, ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ἐκρατήσαμεν αὐ-
» τὸν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν. παρελθὼν δὲ Λυσίας ὁ χιλί-
» αρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, κελεύσας τοὺς κατηγόρους
» αὐτοῦ ἔρχεσθαι ἐπὶ σε. παρ' οὗ δυνήσασθε αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶ-
» ναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. συνέθεντο δὲ καὶ οἱ Ιουδαῖοι φάσκοντες ταῦτα
» οὕτως ἔχειν. ἀνένευσε δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν. ἐκ πολ
» λῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ
» ἀπολογοῦμαι, δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι ἢ δεκαδύο,
» ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ιερουσαλήμ. καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα
» διαλεγόμενον, ἢ ἐπίστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ
πόλιν.

» πόλιν. οὔτε παρασῆναί με δύνανται, περὶ ὧν κατηγοροῦσίν μου. Ανεθεμάτισαν
» ἑαυτὸς, ρυτέον ἐξωθεῖναι τῆς καθ' θεὸν πίστεως εἰκότον ἑαυτὸν, ἵνα μὴ ποιήσειαν τὸ δό
» ξαντα. εἴτε οὖν ἐψεύσαντο τὴν ὑπόσχεσιν ὡς καὶ ἐψεύσαντο, ἀνάθεμά ἐσιν. εἴτε
» καὶ ἐξελεγόμενοι αὐτῆς φοβοῦσα, πάλιν ὡς φονεῖς ἀνάθεμα ἑαυτὸς ἐποίουν, ἤγουν ὁ
» θεὸς ἐκ πρεσώπων οἱ ἀρχιερεῖς. τὸ ἀναθέματος οὖν διαπῦ νοουμένου, τὸ μὲν,
» ὡς τῆς πᾶσιν ἢ πολλοῖς ἀνεφίκτου, ἀθεῷ δὲ μόνῳ ἀναπεθεμένου, τὸ δὲ ὡς πάσιν
» τῇ κλίσει καὶ ταῖς ἀξίαις ὁμοίαμεν ἀψαύστου, καὶ θεῷ ἀλλοτρίου, ὡς τῷ διαβόλῳ
» ἀνακεκλημένου διὰ πὼ ἀμιγῆ τὸ καλοῦ ἀγιοτρίωσιν, τριούτῳ νῷ καὶ οὐ τρι ὑποβάλ-
» λοισιν ἑαυτὸς ἀναθέματι. τὸ τοῦ πολλάκις κατ' ἤ πασιν ἠρῆσθαι νομίζομεν
» κατάθεμα. τῷ γὰρ ὄντι τὸ τριοῦτον γκ ἀνατίθεται ἀγὰ κατατίθεται τῷ διαβόλῳ ὑ-
» ποπεμπόμενον καὶ συγκαταδικαζόμενον. Ομολογῶ δὲ τῷ θῷ, ὅτι κατὰ πὼ
» ὁδὸν, ἣν λέγουσιν αἵρεσιν, οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσι τοῖς
» κατὰ τὸν νόμον καὶ τοῖς προφήταις γεγραμμένοις, ἐλπίδα ἔχων εἰς τὸν θεὸν, ἣν καὶ
» αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδί-
» κων. ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς
» ἀνθρώπους διαπαντὸς. δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην, ἐλεημοσύνας ποιήσων εἰς
» τὸ ἔθνος μου καὶ προσφορὰς. ἐν οἷς εὑρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐ
» δὲ μετὰ θορύβου. τινὲς δὲ ἀπὸ τῆς Ασίας Ιουδαῖοι, οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κα
» τηγορεῖν, εἴτι ἔχοιεν πρός με, ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἴτι εὗρον ἐν ἐμοὶ ἀδίκη-
» μα, στάντος μου ἐπὶ τοῦ συνεδρίου, ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἐκέκραξα ἑστὼς ἐν
» αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν.

Οτι καὶ πὼ ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ θεῷ. με-
τὰ πὼ κλῆσιν τοῦ εἶναι ἀπόστολος Χριστοῦ λέγων λατρεύειν τῷ πατρῴῳ θεῷ δείκνυ
σιν ἕνα ὄντα θεὸν παλαιάς τε καὶ νέας, ὃν οἱ προφῆται καὶ ὁ νόμος κατήγγελαν, ὃν
ὁ Παῦλος ἐκήρυσσεν ἤτων, πιστεύων πᾶσι τοῖς κατὰ νόμον καὶ τοῖς προφήταις γε
γραμμένοις. καὶ τὸ σιωπώμενον δὲ καὶ παῦτα τὸν Χριστὸν ἡσηγαγλε, ἀπὸ τέως τῷ
τῆς ἀναστάσεως ὃν διαπρίβειν λόγῳ, ὃν οὔτι ἐξ ἀρχῆς διετρογοῦν. Τύπτυ γὰρ δι-
» χθέντος βύκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεδείκνυτο, ὅτι ἀνέστη. Ακούσας δὲ ταῦτα ὁ
» Φήλιξ ἀνέβαλεν αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών. ὅταν Λυσίας
» ὁ χιλίαρχος κατάβῃ, διαγνώσομαί τὰ καθ' ὑμᾶς. διατάξάμενός τε τῷ ἑκατοντάρ
χῳ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπη-
ρετεῖν ἢ προσέρχεσθαι αὐτῷ. μεθ' ἡμέρας τινὰς παραγενόμενος ὁ Φήλιξ σὺν Δρου
σίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ιουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον. καὶ ἤκουσεν αὐ
τοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως. διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρα-
τείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φήλιξ ἀπεκρίθη.
» τὸ νῦν ἔχον πορεύου, καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε, ἅμα δὲ καὶ ἐλ-
» πίζων, ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτὸν. διὸ καὶ
» πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. διετίας δὲ πληρωθείσης ἔλαβε Κεφ. λς'.
διάδοχον

» διάδοχον ὁ Φήλιξ Πόρκιον Φῆστον. θέλοντε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ
25 » Φήλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον. Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ
» τρεῖς ἡμέρας ἀνέβη ἐκ Καισαρείας εἰς Ἱεροσόλυμα. ἐνεφάνισάν τε αὐτῷ ὁ ἀρχιε
» ρεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου. καὶ παρεκάλουν αὐτὸν, αἰτούμε-
» νοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦν
» τες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη. τηρεῖσθαι τὸν Παῦ-
» λον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. οἱ οὖν δυνατοὶ ἐν
» ὑμῖν, φησὶ, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ.
» διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύ
» ριον καθίσας ἐπὶ τὸ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. παραγενομένου δὲ αὐ
» τοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα
» αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, ἀπologουμένου
» αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρ-
» τον. ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ,
» εἶπε. θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; εἶπε δὲ
» ὁ Παῦλος. Ἀκούσας ταῦτα ὁ Φήλιξ. σκηψάτου ὅτι οὐδὲν ὁ Φήλιξ τῶν πίστιν, ἀκ-
» ριβῶς κατηχηθεὶς ἐκ τῆς παλαιᾶς περὶ τοῦ Χριστοῦ, καὶ πρὸς χάριν Ἰουδαίων ἐκ
» πέλυσε τὸν Παῦλον, ἵνα καὶ δι' ἀδωροληψίαν, ὡς πραοτάτων ὁ λόγος ἔδοξεν. ἦ-
» δη δὲ καὶ ὡς ἔχων γυναῖκα Ἰουδαίαν, πρὸς ἧς συνεχῶς ἤκουε ταῦτα. αὐτὴ δὲ πρὸς
» τὸν μόνον σωφρονοῦσαν αὐτῷ, Ἰουδαία οὖσα Ἑλληνι. ἢ τάχα ἦν μὲν Ἰουδαία,
» γαμηθεῖσα δὲ αὐτῷ ἐλπίδι κρείττονι Ἑλληνίς. διὸ καὶ ἐλεγεν αὐτῷ πολλάκις πίστιν, πει-
» θουσα καὶ τὸν ἄνδρα πραοτέρως χρήσασθαι. Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστὼς ἔλεγε, οὐ
» δὲν εἰς κρίνεσθαι. Ἰουδαίοις οὐδὲν ἠδίκησα, ὡς σὺ κάλλιον ἐπιγινώσκεις. εἰ μὲν
» γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. εἰ δὲ οὐδέν
» ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπι
» καλοῦμαι. Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη. Καίσα
» ρα ἐπικέκλησαι; ἐπὶ Καίσαρα πορεύσῃ. Τὸ, ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰ-
» μι, ἔφη ὁ Παῦλος, βουλόμενος τὰς τῶν Ἰουδαίων χεῖρας ἐκφυγεῖν, φυτέσιν ἐν τῇ
» Ῥώμῃ θέλω ἀπελθεῖν πρὸ τῷ βασιλεῖ, κἀκεῖ δικάσασθαι. ἐκκαλοῦμαί σε φησί.
» τὸ γὰρ Καῖσαρ ὄνομα, Ρωμαῖοι, βασιλέα σημαίνει, ὡς κοινῷ ὀνόματι πάντας βασι
» λεῖς Ρωμαίων Καίσαρας μὲν καλεῖσθαι, καθὸ δὴ βασιλεῖς, ἴδιά μὲν καὶ ἰδικὰ αὐτῶν
» ὀνόματα εἶναι ταῦτα. ἐπὶ μὲν γὰρ τῆς τοῦ Χριστοῦ γεννήσεως ὁ τότε βασιλεύων Καῖ-
» σαρ Αὔγουστος ἐκαλεῖτο. ἔπαθε δὲ ἐπὶ Τιβερίου Καίσαρος. ὁ δὲ μακάριος Παῦλος
Κεφ. λξ΄. » ἐπὶ Νέρωνος Καίσαρος ἀναιρεῖται ἐν Ῥώμῃ. Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀ-
» γρίππας ὁ βασιλεὺς καὶ Βερενίκη κατῆντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν Φῆ-
» στον. ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ
» τὸν Παῦλον, λέγων. Ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος. περὶ οὗ
» γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰου-
δαίων,

» δαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην. πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις
» χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσω-
» πον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπologίας λάβοι περὶ τοῦ ἐγκλήματος. συνελ
» θόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ
» τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα. περὶ οὗ σταθέντες οἱ κατήγοροι, οὐδεμίαν
» αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ. ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμο-
» νίας εἶχον πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.
» ἀπορούμενος δὲ ἐγὼ τὸν περὶ τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς
» Ἱερουσαλὴμ κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ δὲ Παύλου ἐπικαλεσαμένου, τηρηθῆ
» ναι αὐτὸν. Ἀγρίππας ὁ βασιλεύς. ἤκουον καὶ αὐτὸς τοῦ ἀνθρώπου, ἔφη πρὸς τὸν Φῆστον. ἐβουλόμην καὶ αὐτὸς τὸν
» ἀνθρώπου ἀκοῦσαι. ὁ δὲ, φησὶν, ἀκούσῃ αὐτοῦ. τῇ οὖν ἐπαύριον ἐλθόντος
» τοῦ Ἀγρίππα καὶ τῆς Βερενίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀ-
» κροατήριον σὺν τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ
» κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος. καὶ φησιν ὁ Φῆστος. Ἀγρίππα βασιλεῦ,
» καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ τοῦτου πᾶν τὸ πλῆ-
» θος τῶν Ἰουδαίων ἐνέτυχόν μοι, τόν τε Ἱεροσολύμοις καὶ ἐνθάδε βοῶντες μὴ δεῖν
» ζῆν αὐτὸν μηκέτι. ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέ
» ναι, καὶ αὐτοῦ δὲ τούτου βουλομένου τὸν Σεβαστὸν, ἔκρινα πέμπειν αὐτόν. περὶ
» οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλι
» στα ἐπὶ σοῦ βασιλεῦ Ἀγρίππα. ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι.
» ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.
» Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη. ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. τότε ὁ 26
» Παῦλος ἀπologεῖτο ἐκτείνας τὴν χεῖρα. περὶ παντὸς ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων,
» βασιλεῦ Ἀγρίππα, ἡγημαι ἐμαυτὸν μακάριον, μέλλων ἀπologεῖσθαι ἐπὶ
» σοῦ σήμερον, μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητη-
» μάτων ἐπισταμένου. διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου. τὸν μὲν οὖν βίον τὸν
» μου τὸν ἐκ νεότητος, τὸν ἀπ' ἀρχῆς γενόμενον ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασι
» πάντες οἱ Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ
» τὸν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας, ἔζησα Φαρισαῖος. καὶ νῦν ἐπ'
» ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος
» ἧς ἦν τὸ δωδεκάφυλον ἡμῶν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταν-
» τῆσαι. περὶ ἧς ἐλπίδος ἔγκαλοῦμαι βασιλεῦ Ἀγρίππα ὑπὸ τῶν Ἰουδαίων.

Εἰς τὸν τοῦ Σεβαστοῦ δόγματον. Σεβαστὸν κατὰ χρηστικῶς τὸν βασιλέα καλεῖ, ὡσπερ καὶ Καίσαρα. ὃν πραιτωρίων καὶ κύριον καλεῖ, λέγων, περὶ οὗ ἀσφαλές τι

ζ γράψαι

» γράψαι τῷ κυρίῳ σχεδὸν ἔχω. Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει
» ρει; ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐ-
» ναντία πρᾶξαι. ὃ καὶ ἐποίησα ἐν Ἰερουσαλήμ. καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλα-
» καῖς κατέκλεισα, παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών. ἀναιρουμένων τε αὐτῶν,
» κατήνεγκα ψῆφον. Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς, ἠνάγ
» καζον βλασφημεῖν. περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδιώκων ἕως καὶ εἰς τὰς ἔξω
» πόλεις. ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς
» παρὰ τῶν Ἀρχιερέων, ἡμέρας μέσης, βασιλεῦ, κατὰ τὴν ὁδὸν εἶδον οὐρανόθεν.

Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; ὀλίγα τίθησι περὶ ἀναστά-
σεως λογισμούς, ἕνα μὲν τὸν ἀπὸ τῶν προφητῶν. καὶ οὐ πάντα προφήτην, οὐδὲ αὖ-
τὴν τῶν Ἰουδαίων τὴν δόξαν. ἄλλον δὲ τὸν ἰσχυρότερον, τὸν ἀπὸ τραγμάτων, ὅτι
διελέχθη αὐτῷ ὁ Χριστὸς ἀναστὰς ἐκ νεκρῶν. καὶ κατασιβυάζει καὶ τὴν ἀπὸ λο-
γισμῶν, τὴν πεπτέραν αὐτοῦ μανίαν διηγούμενος. πρῶτος λογισμός, Τί ἄπιστον εἰ ὁ
θεὸς νεκροὺς ἐγείρει; καὶ ἄλλος, μὴ τοιαύτη δόξα ἦν, εἰ μὴ ἀνατεθραμμένοι ἦ-
σαν ἐν Σύροις τοῖς δόγμασι; ὃν δὲ ἠσεφέρετο, τίς γὰρ ἂν ἐδέξατο τὸν λόγον; ὑπὲρ
τῆς αἱρέσεως ταύτης φησὶν ἐγκαλοῦμαι. καὶ αὖτε παρ' αὐτοῖς περισβύεται. διὰ
τοῦτο βύσσονται. διὰ τοῦτο λατρεύουσιν ἵνα τούτοις τύχωσι. καὶ τοῦτο ἐγὼ καὶ
» παγγέλλω. Ὑπὲρ τὸν λαμπρότητα τοῦ Ἡλίου περιλάμψαν με φῶς, καὶ τοὺς
» ζῶν ἐμοὶ πορευομένους. πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φω-
» νὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ. Σαοὺλ Σαοὺλ τί με
» διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἐγὼ δὲ εἶπον. Τίς εἶ κύριε; ὁ δὲ εἶπεν. ἐγὼ
» εἰμὶ Ἰησοῦς, ὃν σὺ διώκεις. ἀλλὰ ἀνάστηθι, εἰς πόδας σου. εἰς τοῦτο γὰρ ὤφθην σοι
» προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες. ὧν τε ὀφθήσομαί σοι, ἐξαιρού-
» μενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς
» αὐτῶν, τοῦ ὑποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν
» θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς
» ἐμέ. ὅθεν βασιλεῦ Ἀγρίππα. Ὑπὲρ τὸν λαμπρότητα τοῦ Ἡλίου. ὧν ἀναθεωρῶν
τὸ φωτεινότατον πράγων, καὶ μὴ δυνάμενος ἀντισῶσαι τῷ φωτὶ ἐκείνῳ τὸ τοῦ Ἰησοῦ
φῶς, καθὼς δύναται πᾶς ἐξαθῆσαι ἀκοὴ ἀνθρώπου λαλεῖν, ὑπερνικᾶν τὸ ἡλιακὸν φῶς
» ἐκεῖνό φησι. Οὐκ ἐλυόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ. Ὀπτασία ἐστὶν ἡ κα-
θαρὰ θέα ἢ ὑπερβαίνουσα ἄνθρωπον. ὃ περ τις ὢν σαρκὶ ὤν, διὰ τὸ ἀποκαλυφθῆ-
» ναι αὐτὸ τοῖς ὀφθαλμοῖς, οὐκ ἔστιν ἰδεῖν δυνατός. Ἀλλὰ τοῖς ἐν Δαμασκῷ
» πρῶτον καὶ Ἱεροσολύμοις, ἔς πᾶσαν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀ-
» παγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεὸν, ἄξια τῆς μετανοίας ἔργα
» πράττοντας. ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ Ἱερῷ, ἐπειρῶντο διε-
χείρισασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα,
μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλά
λησαν μελλόντων γίνεσθαι, καὶ Μωϋσῆς, ἢ παθητὸς ὁ Χριστὸς, ἢ πρῶτος ἐξ ἀνα-

στάσεως

» στάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι. ταῦτα δὲ αὐ-
» τοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη. Ὦρτε οἱ προφῆται ἐλάλη
σαν. ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι τούτου, ἐπάγει τοὺς προφήτας καὶ τὸν
Μωσέα λέγοντα, ἢ παθητὸς ὁ Χριστὸς, ἢ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, καὶ τὰ ἑ-
ξῆς. τὸ δὲ, ἢ, ἀντὶ τοῦ, ὅτι ἐστί. Μωσῆς φησὶν εἰπὼν ὅτι παθητὸς ὁ Χριστὸς, πρῶτος
ἐξ ἀναστάσεως. πρῶτος γὰρ οὗτος ἀνέστη, καὶ οὐκ ἔτι ἀποθνήσκει. οἱ γὰρ ἀναστάντες
διὰ τοῦτό εἰσιν ὑπὸ προφητῶν, καὶ οἱ διὰ τῶν προφητῶν, πάλιν ἀποθανοῦν, ἕως τῆς καθό-
» λου ἀναστάσεως μένοντες. Μαίνῃ Παῦλε. Τὰ πολλά σε γράμματα εἰς μανίαν
» περιτρέπει. ὁ δὲ, οὐ μαίνομαί φησι, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης
» ῥήματα ἀποφθέγγομαι. Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παρ-
» ρησιαζόμενος λαλῶ. λανθάνειν γὰρ αὐτὸν τι τούτων, οὐ πείθομαι ἐγώ. οὐ γάρ ἐστιν
» ἐν γωνίᾳ πεπραγμένον τοῦτο. πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς προφήταις; οἶδα ὅ
» τι πιστεύεις. ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη. Ἐπειδεῖ ἐν βραχεῖ πρὸς τὸν βασι-
λέα διελέγετο, ὡς περ ἐπαγθές τι ὁ Φῆστος, καὶ ἰδὼν τὴν παρρησίαν, ἀπὸ θυμοῦ
καὶ ὀργῆς, μανίαν φησίν. ὁ δὲ Παῦλος τὴν αὐτίαν διδάσκει, δι' ἣν πρὸς τὸν βασιλέα
τὸν λόγον ἀποτείνεται. εἶτα δείκνυς ὅτι πάντα τοῦ τῆς οἰκουμένης τόπου γέγονε τὸ
δόγμα, ἐπάγαγεν. οὐ γὰρ ἐν γωνίᾳ πεπραγμένον τοῦτο, τὸ περὶ σαυτοῦ λέγω, εἰ
» τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. ὁ δὲ Παῦ-
λος εἶπεν. Ἐν ὀλίγῳ. τουτέστι διὰ ὀλίγων ῥημάτων. οὐ βραχέσι λόγοις. οὐ διὰ ὀλί
γης Διδασκαλίας. χωρὶς πολλοῦ πόνου καὶ σωμασχολίας διαλέξεως. διὸ καὶ πρὸς αὐ-
τὸν καταλλήλως ὁ Παῦλος φησίν. εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ, καὶ τὰ ἑξῆς.
τοιοῦτόν ἐστι τὸ ἐμοὶ τοῦτο ἀπουδεῖ τὸ γενέσθαι πάντας Χριστιανούς. καὶ τοῦτό μοί ἐστιν εὐχὴ πρὸς
θεόν. ἐπεὶ ἕτοιμός ἐμι καὶ διὰ πολλῶν λόγων, καὶ δι' ὀλίγων τῶν ἐν Χριστῷ κηρύσ-
σειν πίστιν, καὶ μετὰ κόπου καὶ πόνου, καὶ ἐκτὸς πραγμα. κόπος γὰρ καὶ πόνος ἐν τῇ
διδασκαλίᾳ καὶ τῷ κηρύγματι γίνεσθαι μοι, ἀνίσον ἐστὶ κοπιᾶν καὶ μή, καὶ
πολὺν χρόνον τρίβειν κηρύττοντα καὶ ὀλίγον, μόνον εἴτινας ὁρῶ πρὸς τὸ Χριστὸν ἐπιστρέ
φοντας. ταῦτα δὲ ἐλεγεν ἅμα μὲν τὸ αὐτοῦ πρόθυμον καὶ διάπυρον ὑποδηλῶν, ἅμα δὲ καὶ κελεύοντος καὶ
ἅμα δὲ κελεύοντος, ὡς ἐβούλοιτο καὶ πλείονα ἀκοῦσαι, καὶ πολυτέ-
ρας διδασκαλίας ἀπολαῦσαι, ἢ μόνον γνῶναι ἀποκινῆσαι, ἀνίσως οὕτως ἐστὶ πρόθυμος,
ἕτοιμον καὶ τὸ πρόθυμον πρέχων, ὥστε καὶ δυσχεῖς ἔργον αὐτὸ ποιεῖσθαι, ἂν μόνον
» τυγχάνῃ τοῦ σκοποῦ. Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ ἢ μόνον
» σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους, οἱ ποῖός καὶ ἐγώ
» εἰμι. Τὸ δὲ ὀλίγῳ Ἀγρίππας μὲν ἀντὶ τοῦ πρὸ ὀλίγου μικροῦ δέοντος εἶπεν.
ὁ δὲ ἑτέρωτις ἄλλος θεῖα Παῦλος ἐκ τοῦ ἀνθρώπινα, τῇ προφορᾷ μᾶλλον
τῆς λέξεως ἢ τῷ σημαινομένῳ πρὸς τὸν τῶν λόγων σύμφερον χρησάμενος, τὸ, ἐν ὀλί-
γῳ καὶ ἐν πολλῷ, ἀντὶ τοῦ ἐν ὀλίγῳ λόγων ἀγῶνι, ἢ δέοι δὲ καὶ πλείονι, δύ
ξαίμην ἂν σε Χριστιανὸν γενέσθαι, προσηνεγκεν. ἵνα εἴπῃ, καὶ δι' ὀλίγων λόγων καὶ
διὰ πολλῶν εὐξαίμην ἂν σε Χριστιανὸν γενέσθαι. διὰ πάντων προθυμός ἐμι πάντα

πράπλων, ἀλλὰ τῆς σωτηρίας, ἵνα τῆς σῆς δὲ μόνον ἀλλὰ καὶ τῶν σωζομένων.

» Παρεκτὸς τῶν δεσμῶν τούτων. καὶ ταῦτα ἡπόνησε αὐτὸς, ἀνέστη ὁ βασιλεὺς ἐ ὁ ἡγε-
» μών, ἥτε Βερενίκη ἐ οἱ συγκαθήμενοι αὐτῆς. ἐ ἀναχωρήσαντες, ἐλάλουν πρὸς ἀλλή-
» λους λέγοντες, ὅτι μηδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. Α-
» γρίππας δὲ τῷ Φήστῳ ἔφη. ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, ἐμὴ ἐπε-
Κεφ. λή. » κέκλητο Καίσαρα. Ὡς δὲ ἐκρίθη, τοῦ ἀποπλεῖν ἡμᾶς τὴν Ἰταλίαν, παρε-
27 » δίδουν τέ τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ,
» σπείρης Σεβαστῆς. ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ μέλλοντες πλεῖν τοὺς κατὰ
» τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλο-
» νικέως. τῇ τε ἑτέρᾳ κατῆχθημεν εἰς Σιδῶνα. φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύ-
» λῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν. κἀ-
» κεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.
» τό, τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες κατῆχθημεν
» εἰς Μύρα τῆς Λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρινὸν πλέον εἰς
» τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες,
» ἐ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν
» τὴν Κρήτην κατὰ Σαλμώνην. μόλιστε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἴς τόπον τι-
» νὰ καλούμενον Καλοὺς λιμένας. ᾧ ἐγγὺς ἦν πόλις Λασαία. Ἱκανοῦ δὲ χρόνου
» διαγινομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς. Παρεκτὸς τῶν δεσμῶν τού-
» των. ὑπ᾽ ἀνεχόμενος ἑαυτῷ τὰ δεσμὰ ὑδὲ αἰσχυνόμενος, τότε ἔλεγε. τότε γὰρ
» ἦν αὐτῷ, εἰ ἴσως ἄλλο τι, ἄξιον δόξης καὶ καυχήματος, ἀλλὰ πρὸς τὰ ἐκείνων ὑπολή-
» ψεις ἀφορῶν, καὶ τὴν ἐκείνων ἀθυμίαν συγκαταβαίνων, ἠνώχλουν μοί φησι πάντας
» παρακρούεσθαι, χωρὶς τῶν δεσμῶν. Διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέ-
» ναι, παρῄνει ὁ Παῦλος λέγων αὐτοῖς. Ἄνδρες θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς
» ζημίας οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι
» τὸν πλοῦν. ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ
» τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. ἀνυθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παρα-
» σκευήν, οἱ πλείονες ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴπως δύναιντο καταντή-
» σαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ Λίβα καὶ κα-
» χῶρον. ὑποπνεύσαντος δὲ Νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες
» ἆσσον παρελέγοντο τὴν Κρήτην. μετ᾽ οὐ πολὺ δὲ ἔβαλε κατ᾽ αὐτῆς ἄνεμος Τυφωνι-
» κὸς, ὁ καλούμενος Εὐροκλύδων. συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμέ-
» νου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. νησίον δέ τι ὑποδραμόντες κα-
» λούμενον Κλαῦδα, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης. ἣν ἄραν-
» τες βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον, φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκ
» πέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο. σφοδρῶς δὲ χειμαζομένων ἡ-
» μῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο. καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου
» ἐρρίψαμεν. μήτε δὲ Ἡλίου μήτε ἄστρων ἐπιφαινομένων ἐπὶ πλείονας ἡμέρας,
χειμῶνός τε

» χειμῶνος οὐκ ὀλίγου ἐπικειμένου; λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡ-
» μᾶς. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν,
» εἶπεν. ἔδει μέν ὦ ἄνδρες πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης,
» κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ τὰ μὲν παρόντα ὑμᾶς εὐθυμεῖν.
» ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι τῇ νυ-
» κὶ ταύτῃ Ἄγγελος τοῦ θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λατρεύω, λέγων. μὴ φοβοῦ Παῦλε.
» Καίσαρί σε δεῖ παραστῆναι. Διὰ τὸ δὲ τὴν νηστείαν ἤδη παρεληλυθέναι. νηστείαν δὲ τῶν
τῶν Ἰουδαίων λέγει. μεταξὺ τὴν Πεντηκοστὴν ἐξῆλθον ἐκεῖθεν μετὰ πο-
λὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι πλανᾶσθαι ἐξ τὰ μέρη τῆς Κρήτης. ἰ-
δοὺ προφητεύει δὲ νῦν ὁ Παῦλος, ναυαγῆσαι λέγων αὐτοῖς. ἃ δὲ γέγονεν αὐτοῖς
μετὰ ζημίας ψυχῶν τὸ ναυάγιον κατὰ τὸν λόγον αὐτοῦ. τότε μὲν γὰρ ὅσον κατὰ τὴν
φύσιν τὸ πράγματος ἐλθεῖν ἀν, ἐμὴ ὁ θεὸς διέσωσε. διαὐτὸν γὰρ καὶ ἐκείνοις διε-
σωθῆναι ἐποίησεν. τὸ μὲν οὖν γλυκὸν μαυάγιον ἀπὸ τοῦ καιροῦ ἐλθεῖν, ἐπιδεὶ
μέγας ἦν ὁ χειμών. τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκμέσου ἐσώθησαν
οὕτω κινδύνων, αὐτός τε ὁ ἀπόστολος, καὶ διαὐτὸν οἱ λοιποί. ὥστε γ᾽ ἀληθεύεται. ὁ
δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο. γ᾽ πεσόχθεις ὑπὸ
τοῦ Παύλου λεγομένοις ὁ ἑκατοντάρχης, πλέον ἢ τοῖς ἐμπείροις ἔχουσι μᾶλ-
λον πρὸς τὸ πλεῖν, ἢ πράτῃ ἀπείρῳ ναυτικῆς. καὶ ἐκ τούτου δηλώσει, ὅτι γνώ-
μης ἐστὶ καὶ ὁ τύχης τὸ ἁμάρτημα. ὅτι μαρέσι καὶ φύσιν ἐκφυγεῖν κίνδυνον, αὐτὴ
ἡ πεῖρα δηλώσει μὴ κατακρίνειν ἑαυτὸν πρά, ὡς ἀναμφιβόλως τὸ πράγμα-
τος κίνδυνον φέροντος, πλὴν τύχης καὶ εἱμαρμένης ἐπὶ τῶν πρότερον κοιμωμένης, ἢ
γρηγορούσης μόν, μηδὲν δὲ δυναμένης ἀντιπράξασθαι καὶ τῆς προαιρέσεως τῶν
ἀνθρώπων, καὶ ἢν ὡς ἀν βούλωνται καὶ ἐφ᾽ ἑαυτοῖς πράγματα ἄγουσι καὶ φέρου-
σιν, ὡς καὶ οἱ ἐμὲ τῷ Παύλῳ ἐκδημοῦντες. οὕτω γὰρ καὶ προαίρεσιν ἔπραττον, ὅ
τι εὐθέως ἐπιτηδείου τυγχάνοντες ἀνέμου χαίροντες δίμυον τὸν πλοῦν. Ἰσέον δὲ ὅτι
τὸ ἀνθοφθαλμεῖν ἐπὶ πλοίου λέγεται γὲ ἐπὶ πωριολεξίας. τότε γὰρ ἐπὶ ἀνθρώπου
μόνου ἁρμόζει. ὥστε γ᾽ δεῖ πωριολεκτεῖν ἀπαιτεῖν ἀεὶ τὰ γραφικά.

» Καὶ ἰδοὺ κεχαρίσαται σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετά σου. διὸ εὐθυμεῖτε
» ἄνδρες. πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως ἔσται, καθ᾽ ὃν τρόπον λελάληταί μοι. εἰς νῆ-
» σόν δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομέ-
» νων ἡμῶν ἐν τῷ Ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς, ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ
» αὐτοῖς χώραν. καὶ βολίσαντες, εὗρον ὀργυιὰς εἴκοσι. βραχὺ δὲ διαστήσαντες, καὶ πά
» λιν βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε. φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους
» ἐκπέσωσιν. ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ἤυχοντο ἡμέραν γένεσθαι. τῶν
» δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν
» θάλασσαν, προφάσει ὡς ἐκπρῴρας μελλόντων ἀγκύρας ἐκτείνειν, εἶπεν ὁ Παῦ-
» λος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις. ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς
» σωθῆναι οὐ δύνασθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, ἐ εἴασαν

αὐτῶν ἐκτρεσεῖν. ἄχρι δὲ οὗ ἔμελλον ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων. τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι. Καὶ διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει. οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς ἀπολεῖται. εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ πάντων. καὶ κλάσας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς. ἦμεν δὲ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομήκοντα ἕξ. κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὸ θάλασσαν. ὅτε δὲ ἡμέρα ἐγένετο, τὸν μὲν γὰρ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο εἰ δύναιντο, ὠθῆσαι τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες, εἴων εἰς τὸ θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκλασαν τὴν ναῦν. καὶ ἡ μὲν πρῷρα ἐρείσασα, ἐμένεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων. Διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς. πρέπει γὰρ Παῦλος μεταλαβεῖν τροφῆς, καὶ αὐτὸς πρώτος μεταλαμβάνει, λόγῳ καὶ ἔργῳ πείθων. τοῦτο γὰρ ὑπάρχει, πρὸς τῆς ὑμετέρας σωτηρίας ἐστί, ῥυτέον τὸ φαγεῖν, μηδὲ τοῦτο τοῦ λιμοῦ διαφθαρῆτε. ἐγένετο γὰρ ἦμεν αὐτοῖς φροντὶς τροφῆς, ἅτε γὰρ πρὸ τῶν τοιούτων ὄντες τὸ κινδύνου. πόθεν δὲ γέγονεν αὐτοῖς δεῖλος τῶν συμπλεόντων ὁ ἀριθμός; ἡνίκα ἦν αὐτοῖς ἐρωτᾶν τὴν αἰτίαν διὰ ἣν πλέοιεν, καὶ μαθεῖν πάντα.

Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκκολυμβήσας διαφύγοι. ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος. ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν ἀποῤῥίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν. καὶ διασωθέντες, τότε ἐπέγνωσαν, ὅτι Μελίτη ἡ νῆσος καλεῖται. οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος. Τῶν δὲ στρατιωτῶν βουλὴ

βουλὴ ἐγένετο. πάλιν ἐκ τούτου δείκνυται, ὅτι τῷ Παύλῳ ἐχαρίσαντο, ὅτι καιρὶ βουλομένων τινὰς ἀναιρεῖν, ἵνα μὴ διασῴσῃ ἡ περιτεία Παύλου, οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ. Συνῳρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὸν πυρὰν, ἔχιδνα ἐκπλὰς θέρμης ἐξελθοῦσα, καθῆψε τῆς χειρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκπλὰς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους. πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασῳθέντα ἐκ τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασεν. ὁ μὲν οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον θεὸν αὐτὸν εἶναι. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον, ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ. ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας, φιλοφρόνως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι. πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. Τούτου οὖν γενομένου καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθένειας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο. οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς. καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. μετὰ δὲ τρεῖς μῆνας, ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Κεφ. λθ'. Ἀλεξανδρίνῳ. Ἐχιδνα ἐκπλὰς θέρμης ἐξελθοῦσα. Περὶ ἐχίδνης τῆς ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλοῦσα, καὶ τὸ χαῦνον τῆς ἁμαρτίας ἐχεύρυθοῦσα, ἀπεπήδησε πραυτέρα, καὶ κατὰ τῆς πυρᾶς ἤλατο, ὥσπερ Δίκαις ἑαυτὴν εἰς πραπομφὴν, ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι. ἡμεῖς δὲ τὰ θηρία δεδοικαμεν, ἐπιδὴ τῆς ἀρετῆς τὴν φαυλοτέραν ἐκτετμήκαμεν. ἰδόντες οὖν τότε οἱ βάρβαροι, καὶ ἐκφυγόντα τὸν ἀναμφίβολον θάνατον, θεὸν αὐτὸν ἐνόμισαν εἶναι, ὡς ἔχοντες ἔθος, πάντα τοιοῦτα τὰ πράδοξον θεὸν νομίζειν. ὥσπερ καὶ τοῖς παλαιοῖς θεοῖς ἀνόμαζον ἢ διίσχυσε τοιαῦτα, οἷος ἦν ὁ Ἡρακλῆς, ἢ διὰ μανίας ἔξις ἀνόντας τοὺς ὀρφανὰς, οἷος ἦν ὁ τῆς Σαμαρείας Σίμων.

Παρασήμῳ Διοσκούροις. καὶ κατὰ χθέντες εἰς Συρακοῦσας ἐπεμείναμεν ἡμέρας τρεῖς. ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον. καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου Νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτίολους. οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά. καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. κἀκεῖ θεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν.

Παρασήμῳ Διοσκούροις. ἔθος ἀεί πως ἐν ταῖς Ἀλεξανδρέων μάλιστα ναυσὶ πρὸς μετὴν ὥραν δεξιᾶτε καὶ εὐώνυμα γραφὰς εἶναι τοιαύτας. ἐπιδὴ δὲ ἦν ἡμῖν ὑπολολατρείας κρατούσης καὶ ἐκεῖνο καιροῦ γεγράφθαι τῇ νηῒ τοῖς Διοσκούροις, καὶ ἐκ τούτου νοεῖν ἀκόλουθον, ἀμόφυλον εἶναι, ῥυτέον ὑπολολάτρην. περὶ τούτου καὶ Ἡσαΐας ἔφη. περιαθήσονται ἐν πλοίῳ ἀμοφύλῳ, θάλασσαν ἅμα προμο- μεύσουσιν. Ἀχρὶς Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν. οἷσπερ ἰδὼν ὁ Παῦλος εὐχαρίστησε τῷ θεῷ, ἔλαβε θάρσος. ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε

Κεφ. μ΄.

ρις δεσμίοις τῷ φραγγελλίῳ. τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. ἐλθόντες δὲ μετὰ ἡμέρας τρεῖς συνεκάλεσατο τοὺς Ἰουδαίων πρώτους. συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς. Ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ρωμαίων. οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα.

Ἄχρις Ἀσσίου φόρου ἐς Τριῶν ταβερνῶν. Τόποι τινὰς ἐπισημαίνεται πρὸς τῆς Ρώμης, τὴν μὲν ἑκάστην τινὰ Ἀσσίου ἔχοντα, ὡς ἔοικε, καὶ φόρον ἐκείνου καλουμένην, ὡς μέχρι νῦν αἱ τῶν βασιλέων ἑκάστης πρὸς Ρωμαίους φόροι πρασαγορεύονται, τὸ δὲ τῶν ταβερνῶν, πανδοχείων τινῶν, ἢ καταπειλείων χρῆσιν ἀνιάτων, τῇ Ρωμαίων φωνῇ οὕτως ὀνομαζόμενα. Οὐχ ὡς τῶν ἐθνῶν μουσῶν χορὸν καταγορήσας. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι. ἕνεκεν γὰρ τῆς ἐλπίδος τῆς Ἰσραὴλ τὴν ἄλυσιν ταύτην περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶπον. ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν. ἀξιοῦμεν δὲ παρ' ἀκοῦσαι ἃ φρονεῖς. Εἰδὼς ὁ Παῦλος ὅτι ἄρτον ἤνυον ὅλως τὸ διακαθαι, καὶ μάλιστα πρὸς ἀπίστους, περὶ ἀμφοτέρων ἀπελογεῖτο, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. διὰ ταύτην γάρφησι τὴν αἰτίαν ἐβουλόμην ὑμᾶς ἰδεῖν, ὥστε μὴ ἔχειναί τινι κατηγορεῖν. καὶ τὸ πρισάμενα λέγει, ὅτι δὴ τὰς χεῖρας αὐτῶν διαφυγεῖν βουλόμενος ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, ἀχ ὡς ἑτέρους διδοὺς κακά, ἀπ' αὐτῶν φεύγων κακά. Γνεῖ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωσὸν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγεται. παρόντων δὲ αὐτῷ ἡμέραν, ἦκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωΐ ἕως ἑσπέρας. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν. Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν, λέγον. πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπόν. ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμενε δὲ ὁ Παῦλος διετίαν ὅλην ἰδίῳ μισθώματι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰς πορευομένους πρὸς αὐτὸν, κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ μετὰ πάσης παῤῥησίας ἀκωλύτως. Τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου καὶ τὰ ἑξῆς. τοῖς ὑπουργὸν λέγουσι τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ὁ Παῦλος ὑπαῦθα καιρίαν δίδωσι πληγήν. τὸν γὰρ κύριον τὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὃν εἶδεν Ἡσαΐας, ὧδε λέγει τὸ πνεῦμα τὸ ἅγιον. ὁμοούσιον γάρ ἐστι τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῆς ἴσης ἐξουσίας μετέχει. καὶ τὸν ῥηθέντα τὸν προφήτην ὡς θεόθεν ἀποφθεγγόμενον περὶ τῶν καθ' ἡμᾶς Ἰησοῦ λέγει πρασκευάζει, ἐπειπὼν ἤκουσεν ὁ λαὸς τῶν Ἰησοῦ λόγων καὶ οὐ συνῆκε, καὶ βλέπων ὑπ' αὐτοῦ γινόμενα τεράστια, ἐχ ὁρᾷ. ἐς μέλλοντα γὰρ χρόνον ἐγκλίνων τὸ ῥηθὲν, ἐμφαίνει τοῖς ἐς ὑστέρους χρόνους τῶν προφητευομένων ἀναφοράν. σκόπει δὲ τοῦ πνεύματος ἀκρίβειαν. οὐκ εἶπε, καὶ οὐ μὴ βλέψητε, ἀλλ' ὅτι βλέψητε, καὶ οὐ μὴ ἴδητε. οὐδὲ ὅτι οὐκ ἀκούσεσθε, ἀλλ' ὅτι ἀκούσετε καὶ οὐ μὴ συνῆτε. αὐτοὶ ἑαυτοῖς ἀφεῖλον, πρῶτον τὰ ὦτα βύσαντες, τοῖς ὀφθαλμοὺς καμμύσαντες, τοῦ καρδίαν βαρύναντες. οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ βαρέως ἤκουον. ἐποίησαν δὲ τοῦτο μήποτε ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτοῖς, ἵνα τελειωθῇ αὐτῶν λέγων τὴν πονηρίαν καὶ μετὰ παρρησίας ἀποφοράν. καὶ τοῦτο λέγει ἐφελκόμενος καὶ ἐρεθίζων, καὶ δεικνὺς, ὅτι οὐ μὴ ἐπιστρέψωσιν ἰάσεται αὐτούς.

Ἰσέον δὲ ὅτι μέχρι τούτου ἰσορρεῖ Λουκᾶς τὰ περὶ τὸν μακάριον Παῦλον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, καθ' ἑκάστην καιρὸν τὸ βιβλίον συγγραφόμενος, καὶ τὰ καθεξῆς ἥκιστα γινώσκων. χρὰ δὲ τὸ μαρτύριον τούτου ἐγκατέθετο τῇ βίβλῳ. καταλιπόντες γὰρ αὐτὸν ἐκεῖσε Λουκᾶς τε καὶ Ἀρίσταρχος ᾔεσαν. Εὐσέβιος δὲ τὰ μετέπειτα χρόνοις ἱστόρησεν ἀκριβῶς. Τότε μὲν ἐπὶ Νέρωνος ἀπολογησάμενον τὸν Παῦλον αὖθις ἐπὶ τὸ τοῦ κηρύγματος διακονίαν στείλασθαι, πρὸς Καίσαρος ἀπολυθέντα, καὶ εὐαγγελίσασθαι ἐφ' ἑτέρους δέκα ἔτεσιν. ἐς ἄκρον δὲ μανίας ὁ Νέρων ἀφικόμενος ἐπὶ τοῖς ἁγίων ἀποστόλων ἤρξατο σφαγαῖς. μετασταλάμενος γοῦν τὸν

οἵτε ἀπόστολοι αὐτῶν, ἐπισολὰς βυβλίνας ἐπικομιζόμενοι, ὑπέδυνε τὸν ὑδάτων νᾶπλοῦν, καὶ τὴν θάλασσαν ἐμπλέοντες, πάντα χοῦν γῆς διέτρεχον, τὸν περὶ τοῦ σωτῆρος ἡμῶν διαβάλλοντες λόγον. ἀποστόλοις δὲ ἔοικε καὶ νῦν ἔθος ἐστὶν Ἰουδαίοις ὀνομάζειν τὰς ἐγκυκλίους γράμματα πρὸς τῶν ἀρχόντων αὐτῶν ἐπικομιζομένους. Ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν, λέγον. πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπόν. ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμενε δὲ ὁ Παῦλος διετίαν ὅλην ἰδίῳ μισθώματι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰς πορευομένους πρὸς αὐτὸν, κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ μετὰ πάσης παῤῥησίας ἀκωλύτως. Τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου καὶ τὰ ἑξῆς. τοῖς ὑπουργὸν λέγουσι τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ὁ Παῦλος ὑπαῦθα καιρίαν δίδωσι πληγήν. τὸν γὰρ κύριον τὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὃν εἶδεν Ἡσαΐας, ὧδε λέγει τὸ πνεῦμα τὸ ἅγιον. ὁμοούσιον γάρ ἐστι τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῆς ἴσης ἐξουσίας μετέχει. καὶ τὸν ῥηθέντα τὸν προφήτην ὡς θεόθεν ἀποφθεγγόμενον περὶ τῶν καθ' ἡμᾶς Ἰησοῦ λέγει πρασκευάζει, ἐπειπὼν ἤκουσεν ὁ λαὸς τῶν Ἰησοῦ λόγων καὶ οὐ συνῆκε, καὶ βλέπων ὑπ' αὐτοῦ γινόμενα τεράστια, ἐχ ὁρᾷ. ἐς μέλλοντα γὰρ χρόνον ἐγκλίνων τὸ ῥηθὲν, ἐμφαίνει τοῖς ἐς ὑστέρους χρόνους τῶν προφητευομένων ἀναφοράν. σκόπει δὲ τοῦ πνεύματος ἀκρίβειαν. οὐκ εἶπε, καὶ οὐ μὴ βλέψητε, ἀλλ' ὅτι βλέψητε, καὶ οὐ μὴ ἴδητε. οὐδὲ ὅτι οὐκ ἀκούσεσθε, ἀλλ' ὅτι ἀκούσετε καὶ οὐ μὴ συνῆτε. αὐτοὶ ἑαυτοῖς ἀφεῖλον, πρῶτον τὰ ὦτα βύσαντες, τοῖς ὀφθαλμοὺς καμμύσαντες, τοῦ καρδίαν βαρύναντες. οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ βαρέως ἤκουον. ἐποίησαν δὲ τοῦτο μήποτε ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτοῖς, ἵνα τελειωθῇ αὐτῶν λέγων τὴν πονηρίαν καὶ μετὰ παρρησίας ἀποφοράν. καὶ τοῦτο λέγει ἐφελκόμενος καὶ ἐρεθίζων, καὶ δεικνὺς, ὅτι οὐ μὴ ἐπιστρέψωσιν ἰάσεται αὐτούς.

Ἰσέον δὲ ὅτι μέχρι τούτου ἰσορρεῖ Λουκᾶς τὰ περὶ τὸν μακάριον Παῦλον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, καθ' ἑκάστην καιρὸν τὸ βιβλίον συγγραφόμενος, καὶ τὰ καθεξῆς ἥκιστα γινώσκων. χρὰ δὲ τὸ μαρτύριον τούτου ἐγκατέθετο τῇ βίβλῳ. καταλιπόντες γὰρ αὐτὸν ἐκεῖσε Λουκᾶς τε καὶ Ἀρίσταρχος ᾔεσαν. Εὐσέβιος δὲ τὰ μετέπειτα χρόνοις ἱστόρησεν ἀκριβῶς. Τότε μὲν ἐπὶ Νέρωνος ἀπολογησάμενον τὸν Παῦλον αὖθις ἐπὶ τὸ τοῦ κηρύγματος διακονίαν στείλασθαι, πρὸς Καίσαρος ἀπολυθέντα, καὶ εὐαγγελίσασθαι ἐφ' ἑτέρους δέκα ἔτεσιν. ἐς ἄκρον δὲ μανίας ὁ Νέρων ἀφικόμενος ἐπὶ τοῖς ἁγίων ἀποστόλων ἤρξατο σφαγαῖς. μετασταλάμενος γοῦν τὸν

Παῦλον τριακοστῷ ἕκτῳ ἔτει τοῦ σωτηρίου πάθους, τρισκαιδεκάτῳ δὲ ἑαυτοῦ, ἐποίησε μαρτυρῆσαι ξίφει τὴν κεφαλὴν ἀποτμηθέντα. ἔστι γοῦν ἀπὸ τοῦ πρώτου ἔτους Τιβερίου Καίσαρος, δευτέρου δὲ ἔτους τοῦ σωτηρίου πάθους, ἐξ οὗ κηρύσσειν ἤρξατο, ἕως ἤκουσε δευτέρου τοῦ αὐτοῦ Τιβερίου, ἔτη τέσσαρα. καὶ τοῦ Γαΐου δὲ ὡσαύτως ἔτη τέσσαρα. οὗτος δὲ καὶ τοῦ Κλαυδίου ἔτη τεσσαρεσκαίδεκα. οὗ διαδεξάμενος Νέρων τῷ τρισκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἀρχῆς, τὸν ἀπόστολον ἀνεῖλεν. ἔστι γοῦν ὁ πᾶς χρόνος τοῦ κηρύγματος Παύλου ἤκουσι καὶ ἓν ἔτος. καὶ ἕτερα δύο ἔτη, ἃ διετέλεσεν ὁ τοῦ καὶ Καισάρεια δεσμωτηρίῳ. πρὸς δὲ τούτοις πάλιν, τὰ ὑπὸ Ῥώμῃ πρότερα δύο ἔτη, ἐν τοῖς τελευταίοις δὲ ἔτη δέκα, ὥστε εἶναι πάντα ἔτη ἀπὸ τῆς κλήσεως αὐτοῦ μέχρι τῆς τελειώσεως αὐτοῦ, τριάκοντα ἑπτά. ἀπὸ δὲ τοῦ σωτηρίου πάθους, τριάκοντα ἓξ. μεταξὺ δὲ τοῦ πωρίου ἀναλήψεως, μεθ' ἡμέρας πέντε ὀλίγας, πεζεύοντες οἱ ἀπόστολοι ἐξῆλθον εἰς διακονίαν Στέφανον ἐκ τοῦ ἀμφὶ αὐτὸν ἔπτα τὸν Στέφανον εὐθέως εὑρίσκομεν λιθαζόμενον, ἐπὶ Παῦλον συνευδοκοῦντα τῷ φόνῳ. ὃς μικρὸν ὕστερον εἰς Δαμασκὸν ὁρμᾷ, ὡς τοὺς ἐκεῖσε ὄντας ἁγίους ἀναιρήσων. κατὰ μέσην δὲ τὴν ὁδὸν ἡ κλῆσις αὐτῷ γέγονε παρὰ θεοῦ, ὡς μικρῷ πεσανάλωθῆναι τὸν ἕτερον ἐκεῖνον. εὐθέως δὲ ἤρξατο κηρύσσειν Ἑλλαβομένου Ῥώμαικαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, καὶ τῷ τρισκαιδεκάτῳ ἔτει Νέρωνος τελειοῦται, ξίφει τὴν κεφαλὴν ἀποτμηθείς.

Τέλος τῶν τῶν πράξεων.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗΣ.

Αὐτῷ αὐτὸς ὁ Ἰάκωβος ἐπιστέλλει τοῖς ἀπὸ δώδεκα φυλῶν διασπορᾶς πιστεύσασιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. γράφει δὲ διδασκαλικὴν τὴν ἐπιστολήν, διδάσκων περὶ διαφορᾶς πειρασμῶν, ποῖος μὲν ἐστιν ὁ ἀπὸ θεοῦ, ποῖος δὲ ὁ ἀπὸ τῆς ἰδίας καρδίας ὧν ἀνθρώπων. καὶ ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ δεῖ δείκνυσθαι τὴν πίστιν, καὶ οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ δικαιοῦνται. περὶ τε τῶν πλουσίων παραγγέλλει, ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ μᾶλλον καὶ ἐπαλείφωνται ὡς ὑπήφανοι. καὶ τέλος παμυθησάμενος μόλις τοὺς ἀδικουμένους, καὶ προτρεψάμενος αὐτοὺς μακροθυμεῖν ἕως τῆς παρουσίας τοῦ κυρίου, καὶ διδάξας περὶ ὑπομονῆς ἐκ τοῦ Ἰὼβ τὸ χρηστὸν αὐτῆς, παραγγέλλει πεισθῆναι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας, καὶ ἀπονεύξαι ἐπιτρέψαι τοὺς πλανηθέντας, ἐπὶ τὴν ἀλήθειαν. εἶναι γὰρ τούτου μισθὸν παρὰ τοῦ κυρίου, ἄφεσιν ἁμαρτιῶν. καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

BIBLIOTECA
UNIVERSITARIA
SALAMANCA

Κεφάλαια τῆς Ἰακώβου καθολικῆς ἐπιστολῆς.

α΄ Περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου. καὶ περὶ ταπεινοφροσύνης πρὸς πλουσίους. ᾧ ᾧ περὶ τῆς ἡμῖν πυρώσεως καὶ ὧν ἐξ αὐτῆς πασῶν, ὅτι οὐ παρὰ θεοῦ τὸ ἄτοπον. εἴπερ μὴ ἀγαθὸν ἡμῖν, παρ' αὐτῷ.

β΄ Περὶ πραότητος καὶ ἁγνείας καὶ πραξέως ἀγαθῆς μὴ διδασκῆς ἐπὶ μακαρισμῷ. καὶ περὶ ἐπιεικείας καὶ συμμετρίας λόγου.

γ΄ Περὶ τῆς πρὸς ἕκαστον ἀγάπης ἀπροσωπολήπτου καθ' νόμον.

δ΄ Ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ πατέρου ἰδικῶς, ἀλλ' ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος.

ε΄ Ὅτι ἡ προστατικὴ καὶ ἄπακτος γλῶσσα θανατοῖ τὸν κεκτημένον, ἧς κρατεῖν ἀνάγκη ἡμᾶς εὐφημίαν καὶ δόξαν τοῦ θεοῦ. ἐν ᾧ περὶ ἀναστροφῆς ἀγαθῆς ἐν πραΰτητι πρὸς ἀνθρώπους ἐκ φιλοδοξίας τῆς περὶ σοφίας ἀνθρωπίνης. καὶ περὶ θείας σοφίας. καὶ ὅτι ἐκ ἐριθυμίας καὶ φιλιδονίας, ἔρις ἐν ἀκαταστασία καὶ πᾶν φαῦλον γίνεται. καὶ περὶ μετανοίας εἰς σωτηρίαν. ἐν περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον.

ς΄ Ὅτι οὐκ ἐν ἀνθρώπῳ ἀλλ' ἐν θεῷ τὰ διαβήματα ἀνδρὸς κατευθύνεται. ᾧ ᾧ περὶ πλεονεξίας πλουσίων, καὶ τῆς ἐν κόσμῳ τρυφῆς αὐτῶν. καὶ περὶ δικαιοκρισίας τοῦ θεοῦ.

ζ΄ Περὶ μακροθυμίας καὶ ὑπομονῆς παθημάτων, καὶ περὶ ἀληθείας. ἐν ᾧ παραινέσεις ἰδικαὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως. καὶ ὅτι διακωλυτέον τὴν τοῦ πλησίον σωτηρίαν.

BIBLIOTECA
UNIVERSITARIA
SALAMANCA

Καθολικαὶ λέγονται αὗται, οἱονεὶ ἐγκύκλιοι. οὐ γὰρ ἀφωρισμένως ἔφθησεν ἑνί τινι ἢ πόλει, ὡς ὁ θεῖος Παῦλος, οἷον Ῥωμαίοις, ἢ Κορινθίοις προσφωνεῖ ταύτας τὰς ἐπιστολάς, ὁ ὢν τοιούτων τοῦ κυρίου μαθητῶν θίασος, ἀλλὰ καθόλου τοῖς πιστοῖς, ἤτοι Ἰουδαίοις τοῖς ἐν τῇ διασπορᾷ, ὡς καὶ ὁ Πέτρος, ἢ καὶ πᾶσι τοῖς ὑπὸ τὸν αὐτὸν πίστιν χριστιανοῖς τελοῦσιν.

ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ. Κεφ. α΄.

ΙΑΚΩΒΟΣ θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος ταῖς δώδεκα φυλαῖς ταῖς οὔσαις ἐν τῇ διασπορᾷ, χαίρειν. Θεοῦ μὲν τὸ πατρὸς, κυρίου δὲ τὸ υἱοῦ. ὥστε ἡ ἐξ ἴσου πατρὸς καὶ υἱοῦ δοῦλος, ὁμότιμός ἐστι τῷ πατρὶ καὶ ὁ υἱὸς, καὶ καθ' ὑπόστασιν καὶ καθ' ἐνέργειαν. ὑπὲρ πᾶν δὲ κοσμικὸν ἀξίωμα οἱ τοῦ κυρίου ἀπόστολοι τῷ δούλοι Χριστοῦ εἶναι καλλωπιζόμενοι, τὸ γνώρισμα ἑαυτῶν βούλονται ποιεῖσθαι καὶ λέγοντες καὶ πιστέλλοντες καὶ διδάσκοντες.

Πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες. Τὸν καθ' ὑπομονὴν λύπῃ καὶ τοὺς πειρασμοὺς θύραις, καὶ ἐπαινετὸν ὄντως καὶ χαρᾶς ἀξίους. δεσμὸς γὰρ οὗτοι ὑπομονῆς, καὶ αὔξησις ἀγάπης καὶ κατανύξεως. ὅθεν καὶ κεῖνο εἴρηται. τέκνον, ἡ προσέρχῃ δουλεύειν τῷ κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. καὶ ὁ χρυσὸς, ἐν τῷ κόσμῳ, φησὶ, θλίψιν ἔσχε τε, ἀλλὰ θαρσεῖτε. καὶ στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. οὐ γὰρ ἔστιν ἐκτὸς γυμνασίων οὔτε κοσμικῶν οὔτε ὧν καθ' ὑπὸν, στεφάνων ἀξιωθῆναι. μετρίως φρονῶν δὲ ἀδελφοὶ σὺν ἡμῖν οὐχὶ τέκνα καλεῖ. χαρὰς δὲ πάσης οἱ πειρασμοὶ πρόσκοποι τοῖς ἀποδοκίμοις, ὅτι τὸ δοκίμιον αὐτῶν διὰ τούτων γίνεται φανερόν. τὸ δὲ δοκίμιον εἰς ἔργον τέλεον πρακτέον. ἀμήχανον. ἢ τί τὸ ὧν πειρασμῶν ἔργον, πῶς εἰς πειρασμὸν ὁ Χριστὸς μὴ ἔσενε χθῆναι τῇ εὐχῇ διδάσκαλος ἡμᾶς τὸν θεὸν πρεσβεύεσθαι; φαμὲν οὖν ὅτι διττοί εἰσιν οἱ πειρασμοί. οἱ μὲν ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες, οἱ δὲ ἀπὸ θεοῦ γυμνασίας χάριν ἐπαναρρήσεως ἡμῖν ἐπαγόμενοι. διττοὶ δὲ οἱ ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες. οἱ μὲν γὰρ δι' ἀλόγιστον ἀνδρίαν, ὃ δὲ θράσος καλοῦμεν, ὃ δὲ φυλάττεσθαι ἀσκεῖ) ὁ κῆ, ὡς τὸν μὴ προθύμου ὄντος, μεταξὺ δὲ ἀγώνων τὴν προθυμίας ἀποσβεσθείσης, ἐν οὐκ εἰς ἀγαθὸν τοῖς χρησαμένοις τελευτησάσης. οἱ δὲ δι' ἁμαρτίαν ἐπαγόμενοι. ὡς τοῖς Σοδομίταις ὁ ὄλεθρος. τούτοις τοῖς πειρασμοῖς, ὅσα δύναμις, φευκτέον,

ἀναμαρτήτως

ἀναμαρτήτως βιοῦντας. ἐπεὶ τούτους ἀπὸ θεοῦ, ὡς τῷ Ἰὼβ, ὡς τῷ Ἀβραάμ, μὴ μόνον οὐ φευκτέον, ἀλλ' εἴπερ ἐδυνατὸν, διὰ τῆς ὑπομονῆς καὶ τῆς εὐχαριστίας ζηλωτέον. ὁ γὰρ θεὸς πράξων, ἐπ' ὠφελείᾳ καὶ ἀναρρήσει τὸν ποιεῖν οἶδεν. πράσμοις δὲ ποικίλοις εἴπε, διὰ τὸ τὸ ἴσον μὲν, ὡς ἔφημεν, ἀπὸ θεοῦ, τὸ ἴσον δὲ ἀφ' ἡμῶν εἶναι.

» Ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν. Δοκίμιον, τὸ κεκριμένον λέγει, τὸ δὲ δοκιμασθέν, τὸ καθαρόν. ὡς καὶ τὸ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῆς γῆς. πῶς δὲ τὸ δοκίμιον ὑπομονὴν κατεργάζεται. ἐκείνη γὰρ ἡ πίστις καθαρὰ ἐλέγχεται, ἡ ἐν ὑπομονῇ ἐκ καρτερίας ὧν ὑπενεχθέντων πειρασμῶν διατελοῦσα. πιστοῦ γὰρ ὡς ἀληθῶς ἔργον, τὸ μετὰ μακροθυμίας τε καὶ εὐχαριστίας, τὰς τοιαύτας ὑποφορὰς δέχεσθαι. ὁ τοιοῦτον καὶ ὁ Ἰωὴλ ἐπαινεῖ ἐπὶ πᾶσιν εὐχαριστῶν.

» Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Σκόπει. χρεῖαν τὴν ὑπομονὴν οὕτως, ὅτι ἔργον τέλειον ἔχει, ἀφ' οὗ πρακτικῶς ἔχετω. οὐ γὰρ προϋποκειμένου ἀρετὴν ἐξαγγέλλει, ἀφ' ἣν ἐγγινομένην, ὡς χρὴ γίνεσθαι νομοθετεῖ.

» Εἰ δέ τις ὑμῶν λείπεται σοφίας.

Τὸ αὐτὸν τῷ τελείου ἔργου τὴν σοφίαν λέγει. Αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ.

» Ἐπειδὴ οἶδε τὸ τῆς πίστεως δοκίμιον, καὶ τὴν ὑπομονὴν τὴν ἐν τοῖς πειρασμοῖς; οὐκ ὢν τις τῶν ἀνθρώπων καθόρθωμα, ἀλλ' ὢν καθὸ θεὸν σοφὸν, διὰ τοῦτο ἡ σοφίας αἴτησιν πορισμὸς τοῖς ταῦτα κατορθοῦν ἐπιτροπῶντας.

» Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος. Εἰ γὰρ πιστεύει αἰτείτω, ἡ δὲ διακρίνεται, μὴ δὲ αἰτείτω. οὐδὲ γὰρ λήψεται ἀπιστῶν ὅτι λήψεται.

» Ὁ γὰρ διακρινόμενος ἐοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.

Ὁ γὰρ διακρινόμενος ἀμφίβολος ὢν περὶ ὧν ἑαυτῷ αἰτήσεις, μικρὸν προσκαρτερήσας, εὐθὺς ἀναχωρεῖ. πάσχει δὲ τοῦτο ἐξ ὑπονοίας, ἀπαγορεύων ταχέως, ὅτι μὴ παρὰ πόδας ἐπακολουθήσει τοῖς αἰτήμασι, ὡς διὰ μεγάλα οἰόμενος περὶ ἑαυτοῦ, ἐφ' οἷς δικαίως ἀξιοῖ ἔσεσθαι τῶν αἰτήσεων. Τοῦτο δὲ ἀπειναγίας ὁ ταπεινόφρων.

» Μὴ γὰρ οἰέσθω ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ κυρίου.

Ὁ μετ' ὑποψίας αἰῶν διακαδὶ καὶ ὀλιγωρίας. ἆρον σεαυτὸν τὴν διψυχίαν, καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ θεοῦ λέγων ἐν σεαυτῷ, ὅτι, πῶς δύναμαι αἰτῆσαί τι παρὰ τοῦ κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης καρδίας ἐπίχεε τὸν νοῦν, καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως. καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μίσει ἐγκαταλίπει, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆσου πληροφορήσει. οὐκέτι γὰρ ὁ θεὸς ὡς οἱ ἄνθρωποι, οἱ μνησικακοῦντες ἀλλήλοις, ἀλλ' αὐτὸς ἀμνησικακός ἐστι, καὶ πολυσπλαγχνίζεται ἐπὶ τοῖς ποιήσιν αὐτοῦ. Ἀνὴρ δίψυχος, ἀκατάστατος. Δίψυχον ἄνδρα τὸν ἀνεπίστευτον, τὸν ἀσύνετον λέγει, τὸν μήτε τὰ μέλλοντα πάγιος, μήτε τὰ παρόντα ἀσφαλῶς ἠδρασμένον, ἀλλὰ τῆδε κἀκεῖσε ἀγόμενον καὶ φερόμενον, καὶ ποτὲ μὲν τῶν μελλόντων, ποτὲ δὲ τῶν παρόντων ἀντεχόμενον. τὸν δὲ τοιοῦτον

καὶ κλύδωνι

καὶ κλύδωνι ἀνεικάσει θαλάσσης ἔχοντι τὸ ἔδαφος καὶ πάσιμον, καὶ ἀντέχοντι γῆς ἢ αὐτῷ παραμένοντι, ἀλλ' ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, ἀπορυῆσόμενον. σκόπει δὲ ὅτι ἔοικεν, χόρτῳ ἐοικέναι τὸν τοιοῦτον ἀλλ' ἄνθει χόρτου, τὸ τελέως ὀλιγοχρόνιον διὰ τὸ ἄνθους δηλοῦν. ἐπειδὴ δὲ ὧν καλῶν ἁπάντων μαιεύτειραν οἶδε τὴν ταπεινοφροσύνην, καὶ ἄνευ ταύτης οὐδὲν κατορθούμενον ὧν ἀπευδαίων, διὰ τοῦτο ἐπιφέρει, τὸ, καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς καὶ τὰ ἑξῆς. πῶς δὲ δίψυχος εἰρηται καὶ διὰ τί; ὡς μήτε πρὸς τὴν παροῦσαν ζωὴν, μήτε πρὸς τὴν μέλλουσαν ἠδρασμένος. ψυχὴ γὰρ καὶ ἡ ζωὴ λέγεται. ὡς ἐν τῷ, πάντα ὅσα ἔχει ἄνθρωπος

» δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. Ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Ὁδοὺς, τὰς ψυχικὰς λέγει κινήσεις, αἷς ἐλπίδες ἐπαιωρῶνται εἴτε χρηταὶ εἴτε καὶ μή, καθ-

» ὡφίσει καὶ ὁ Δαυὶδ, καὶ πάσας τὰς ὁδούς μου προεῖδες. Καυχάσθω δὲ ὁ

» ἀδελφός. Ἐπειδὴ κλύδωνι ἀνέμου τὸν διακρινόμενον ἀπεικάζει, ὃς μετεωρίζεται μὴ τοῖς πνεύμασιν ἐξογκούμενος, πάθος δέ ἐστιν ὑψωθῆναι κατασορεῖ ταύτε ἐκ κοιμίζει, ταὐτὸν δὲ τοῦτο ἐστὶ διακρινόμενος πάσχει, ἐξ ὑπερηφανίας καὶ ὑπεροψίας πρὸς ὄγδοον ὧν δεόντων ἐπιχειρίζων τὰς ἑαυτοῦ αἰτήσεις, διὰ τοῦτο ἐπιφέρει τὸ, καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς, τοιοῦτόν τι λέγων. ὁ βουλόμενος αἰτεῖν τι, πρῶτον μὲν αἰτείτω τὰ δέοντα, ἐν οἷς ὄγδοα ἀσχάσει ὧν αἰτημάτων. ταῦτα δέ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ καὶ ἡ δικαιοσύνη. ἔπειτα καρτερείτω περὶ τῶν τοιούτων αἰτήσεων, ἀλλὰ μὴ ἐπ' ὀλίγον εὐέλπιδος, εὐθὺς ἀναχωρείτω, (ἀλαζόνος γὰρ τοῦτο,) ἀλλὰ περιμενέτω τὴν λῆψιν τοῖς ταπεινώσει προσ-

» καρτερῶν. Ὁ ταπεινὸς, τῷ ὕψει αὐτοῦ. Ἐκτὸς καθὸ θεὸν ταπεινοῦ δεῖ πᾶν ἀγαθὸν ἡμῖν περιγίνεται. πλούσιον δὲ τὸν καταφρονούμενον λέγει, ὃν καὶ

» ταπεινὸν καλεῖ, ὡς ἐν τῷ ἐπαίρεσθαι καταβαλλόμενον. Ὁ δὲ πλούσιος ἐν τῇ

» ταπεινώσει αὐτοῦ. ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλε γὰρ ὁ ἥλιος ζὺν τῷ

» καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. Ἀκόλουθον ἦν εἰπεῖν, ὁ δὲ πλούσιος αἰσχυνέσθω τῇ ταπεινώσει αὐτοῦ, ἀλλὰ τὸ ἀνεπαχθέστερον μεταδιώκων, παρῆκεν αὐτό. Καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλε-

» τοῦτο καὶ ὁ πλούσιος. Πρόσωπον κατὰ χριστικὸς εἴρηκε. τὸν γὰρ ἐπὶ μόρου λέγεται ἀνθρώπου, ἐπὶ δὲ ὧν ἄλλων ζώων, οὐ. ἀλλ' ἐπὶ μὲν ὧν τετραπόδων,

» εὐγνώμονος πρόσωπον λέγεται. ἐπὶ δὲ ὧν πτηνῶν, ῥάμφος. Ἐν ταῖς πορείαις

» αὐτοῦ μαρανθήσεται. Πορείας δὲ πλουσίου, τὰς ἐν εὐπραγίᾳ διεξόδους καλεῖ, εἴτουν διοικήσεις, ὧν μεταξὺ, ἀνελπίστως κομίζεται τὴν ἐπὶ τὴν δυσχίαν μετα-

» βολήν. Μακάριος ἀνὴρ ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος λή-

» ψεται τὸν Στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

Εοικεν ὁ μακάριος οὗτος ἀσφαλέστερον χρισάμενος τῷ περὶ πειρασμῶν λόγῳ, ἐν οἷς φησι. πᾶσαν χαρὰν ἡγεῖσθε ὅταν πειρασμοῖς περιπέσητε. εἶτα τῆς τοῦ κυρίου μνησθεὶς ἐνοχῆς, ἵνα μὴ εἰς πειρασμὸν ἐμπεσεῖν ἡμᾶς ἐξιλεουμένους τὸ κρεῖττον παρεγγυᾷ, ἐπαναλαμβάνει διὰ τῶν προκειμένων τὸν λόγον, σαφηνίζων τίς

μὲν ὁ ἀπὸ

μεν ὁ ἀπὸ θεοῦ πειρασμὸς, ὃς καὶ πειθαρχείας πρόξενος, τίς δὲ ὁ παρ' ἡμῶν αὐθαίρετος. σαλῶ καλῶς ἔχει τὸν μὲν κύριον καὶ θεὸν Ιησοῦν Χριστὸν πρὸς τὸ ἀσθενέστερον τῆς ἀνθρωπίνης ἀποσκοπήσαντα φύσεως, τὴν ὑπὲρ ἡμῶν ἀνενέγκασθαι ταῖς πειρασμῶν ὑποβάθραις, ἀτελέστερον ἔτι τῶν μαθητῶν Διακριμένων. ὃ δὲ ἐν ἄλλοις πεποίηκε πολλοῖς, τὰ τελειότερα τείνων ὑπορθέμενος. ἐπεὶ δὲ τῇ διὰ τῆς ἀναστάσεως αὐτοῦ ἐπιγνώσει, καὶ τῇ εἰς οὐρανοὺς ἀναλήψει, ἐπερρώσθη ἡ ἀθενὴς ἡμῶν φύσις, μηκέτι τοῖς πειρασμοῖς δεδικέναι ὁ ἀδελφὸς αὐτοῦ κατὰ σάρκα ἡγεῖται, ἅτε οἷαστε οὖσης λοιπὸν τῆς τοῦ κυρίου παθέσιν ἐπιῤῥωσθείσης, καταπαλαίειν πᾶσαν ἐπερχομένην ἐπήρειαν. διττῶν δὲ ὄντων, ὡς ἔφαμεν, τῶν πειρασμῶν, συμφέρει καθ' ἑκάτερον ἡ ὑπομονή. ἐπὶ μὲν οὖν τοῦ θεοῦ, ὅτι ἀναῤῥήσεως μετὰ ταῦτα τυγχάνομεν, ὡς ὁ Αβραάμ. ἐπὶ δὲ τῶν ἀφ' ἡμῶν, ὅτι ὑπομένοντες μετὰ εὐχαριστίας, οἱονεὶ ἀντίσηκωσιν ταῖς ἡμαρτημένων. ὁ γὰρ ἐπιγνώμων τῶν ἑαυτοῦ, ἀρχὴν ἑαυτῷ κατεβάλετο σωτηρίας, καὶ εἰς χαρακτῆρα δικαίου ἑαυτὸν ἀφωμοίωσεν, εἴπερ ἀνὴρ δίκαιος, ὧν πρωτολογίας
» ἑαυτοῦ κατήγορος. Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ θεοῦ πειράζομαι.
» ὁ γὰρ θεὸς ἀπείρατος ἐστὶ κακῶν. πειράζει δὲ αὐτὸς οὐδένα. ἕκαστος δὲ πειράζεται,
» ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἑλκόμενος καὶ δελεαζόμενος. εἶτα ἡ ἐπιθυμία συλ-
» λαβοῦσα τίκτει ἁμαρτίαν. ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.
» μὴ πλανᾶσθε ἀδελφοί μου ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα
» τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων.

Εἰ δὴ τοί οἱ πειρασμοὶ, τί νῦν πάντα πειρασμὸν ἐκβάλλει τίς ἀπὸ τοῦ θεοῦ αἰτίας; ἀλλὰ σπόπει. χὴ εἶτε πειραθεὶς, ἀλλὰ πειραζόμενος. τὸν γὰρ ἑαυτῷ δηλ. πλημμέλειαν καὶ ἀπολασίαν ἐκποιείζοντα τις πειρασμὸς, ὥστε μὴ δύνεκεῖ σάλῳ εἶναι, τοῦτο λέγει μὴ ἀπὸ θεοῦ πειράζεσθαι, ἀλλ' ἀπὸ τῆς ἰδίας ἐπιθυμίας. ὁ γάρ τοι τὸν ἐπενεχθέντα νικήσας πειρασμὸν, ἀσφαλέστερον ἑαυτὸν κατέστησας, δυσάλωτος ἔτι καθίσταται πειρασμοῖς, μάλιστα τοῖς ἀφ' ἑαυτοῦ κινουμένοις. πρὸς γὰρ φιλοσοφωτέραν ἀποκλίνας ζωὴν, ῥυέφραξε τὴν τοῖς πειρασμοῖς ναύουσαν πηγήν. καὶ μὴ ἀνέσει λοιπὸν τῶν πειρασμῶν διατελεῖ. ἀπείρατος δὲ ὁ θεὸς κακῶν, κατὰ τὴν φρικτὴν, (καὶ ὧν θυραθέν ἐστιν ἡμῖν,) τὸ θεῖόν τε καὶ μακάριον, οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἑτέροις παρέχει. πρεπὴ γὰρ φύσιν καὶ πρεπέστατον πάντα πάντως. πρεπὴ δὲ ἀλλοίωσις ὁρᾶται καὶ μεταβολὴ, τὰ τῆς φύσεως ἡμῶν προσπαίροντα. ἐπιθυμία δὲ καὶ ἁμαρτία καὶ ὁ ἐκ τούτων ἐπιφυόμενος τῇ ψυχῇ θάνατος, βαθμοί τινες τῆς ἀνθρωπίνης καθεστήκασιν ἀπωλείας. ἡ γὰρ ἐπιθυμία χώραν λαβοῦσα παραδοχῆς, καὶ μονὴν ἀνευροῦσα ῥᾳδιουργάσατο τὴν ἁμαρτίαν. ἥτις ἀποτέκει θάνατον, οὐ μὴ διανοίας αὐτὴν ἐκείζωσαντες, δευτέρας ἡμῖν ζωῆς ἀνευρήσομεν ἀρχήν. ἐπεὶ οὖν ἀποχρώντως ἔδειξε τὴν θείαν φύσιν, μήτ' αὐτὴν οἱανδήποτε οὖσαν πειράζεσθαι, μήτ' ἄλλοις τοῦτο παρέχουσαν, (λέγω δὲ πειρασμοὺς ῥυπαροὺς, τοὺς τὸ εὐσταθὲς τῆς ψυχῆς λογισμοὺς ταράσσοντας καὶ συγχέοντας.

καὶ συγχέοντας. οἰκεῖ γὰρ ἀπὸ θεοῦ, μάλιστα καταστηματικοὶ τῆς ψυχῆς, λαμπρύνοντες ταύτην, καὶ τοῖς πολλοῖς τὸ ἀπόῤῥητον αὐτῆς ἐκπομπεύοντες κάλλος.) δηλ. τοῦτο ἐπάγει τὸ, πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, τοῦ πατρὸς τῶν φώτων ἐστὶν, ὡς τῶν πρωτογενῶν ἐπαγομένων οὐτε τὸ τέλειον, ἢ μὴ καὶ πολὺ τὸ ἀτελὲς ἔχοντων, οὐτε τῶν ψυχὴν λαμπρυνόμενων. πῶς γὰρ τέλειον, τὸ ἀπὸ τῶν ἐκ προκοπῆς τὸ τέλειον λαμβανόντων, ἐ μόγις καὶ μόλις τῷ πολλῷ τὸ ἐκ μνέσεως αἶσχος ἀποκαθαιρομένων, εἶτα πρὸς τὸν λαμπρότητα τὸν θείαν ἀφικνουμένων;
» Γαρ ὦ γκύλλαγὴ, ἢ προπῆς ἀποσκίασμα. Αὐτὸς γὰρ βοᾷ δηλ. τὸ προφήτου. ἐγὼ εἰμι, καὶ γκὴ ἀλλοίωμαι. τὸ δὲ, προπῆς ἀποσκίασμα, ἀντὶ τοῦ γδὲ μέ-
» χρις ὑπομονίας τινὸς ὑποβολή. Βουλητεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας.
Τὸ βουλητεὶς, εἶπεν, ἵστησιν ἢ αὐτομάτως ὑποστῆναι τοῦτο τὸ πᾶν ληρωῦτας. ἐπηδὴ γὰρ ἀνωτέρω εἶπε, πρὸ ὧν γκὴν πάλλαγὴ, καὶ ἐδόξεν ἐκτύπου ἀναλλοίωτον τὸ θεῖον, ἐπάγει τὸ, βουλητεὶς ἀπεκύησεν ἡμᾶς. ἢ γὰρ μεννητὴ ἡμῖς, δῆλον ὅτι καὶ σημειωτέον. πῶς γὰρ ἀναλλοίωτον τὸ ἐκτὸς μὴ ὄντος δὲ ἀλλοιώσεως ἧς τὸ εἶναι πρεπτόν; εἶτα ἐπηδὴ εἶπεν, ἀπεκύησεν ἡμᾶς, ἵνα μήτις ὑπολάβῃ ὁμοίως ἡμῖν καὶ τὸν ὑὸν ἀποτεκεῖν αὐτὸν, καὶ μεθ' ἡμῶν καὶ τὸν υἱὸν μεγαλυνθῆναι, ἐπάγει τὸ λόγῳ ἀληθείας. πάντα γὰρ κατὰ τὸν θεῖον Ιωάννην, δηλ. τοῦ υἱοῦ ἐγένετο. ὥστε ἢ δηλ. τοῦ τῆς ἀληθείας λόγου ἡ πρόοδος ἡμῖν, οἱ τὸ εἶναι ἔχοντες ἀπὸ τοῦ λόγου, γχόμο
» μενεῖς τῷ ὑφ' οὗ μεγόναμεν. Εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.
Αν τοῦ πρώτους καὶ τιμιωτάτους. πῖσμα δὲ αὐτὸν τὴν ὁρμὴν πῖσιν φησί.
» Ωστε ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς
» εἰς τὸ λαλῆσαι. Τὸ, ταχὺς, γχὶ εἰς φιλω ἀκρόασιν πορτίζησιν ἀκοὰς ἐνεργὸν καὶ μετὰ τὸ ἀκοῦσαι πρὸς τὸν μεταχείρισιν τῶν ἐνθυμημένων ἀφορμῶσαν. ἢ γὰρ τὸν μετὰ σπουδῆς ὑπάρχοντα τοῖς λεγομένοις τὸν ἀκοὴν, καὶ πρὸς τὸν ἐργασίαν τούτων, ἕτοιμον πρέξοντα ἑαυτὸν, ὥσπερ ἀπὸ ἐναντίας, τὸν μετὰ βραδυτῆτος πρός τι δηλ. τιθέμενον τὴν ἀναβολὴν, καὶ πάμπαν ἀργόμενον ἐσθότε τῆς ἐγχειρήσεως. Διὸ ἢ μὲν τῶν θείων διδασκαλίας, ταχυτῆτα ῥυτέλλεται, ἢ δὲ τῶν ἀσφαλῆ τὸν μεταχείρισιν ἐχόντων, τὸν βραδυτῆτα. ταῦτα δέ ἐστι, τὸ λαλῆσαι, τὸ ὀργισθῆναι. ὅτε μὲν ἀπεμνησθῆς λαλιᾶς, ὅτε δὲ περίσκεπτος ὀργὴ γκὴ εἰς ἀγαθὸν ἐσθότε οἶδεν ἀποτελευτᾶν. διὸ καὶ τις ἀνὴρ θεῖος φησίν. ὁ λαλήσας μετέγνω πολλάκις, ὁ δὲ σιωπήσας γδέποτε. ὁ μακάριος δὲ. πάλιν Δαβὶδ. ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. ρυτέσι, μὴ ὀργιζόμενοι δύθεως ἐ τοῦ ὑποβαλλομένου ἐκ τῆς ὀργῆς ἐπάγετε μανίαν. σύμφωνα τούτοις καὶ τὸ πρόπτα. τό, τε πρὶ τὸ λαλῆσαι ἀργόν, τό, τε πρὶ τὸ ὀργισθῆναι νωθρὸν, τῇ πρὶ ταῦτα μελλήσῃ ἐπανήγαγε τὸ μεταχθριούμενον πρὸς τὸ δέον ἐ τὸ δύθες. ἐ ἢ παντελῶς τοῦ πρὶ ταῦτα ἀξέλυσεν ὁρμὴν δηλ. τῆς κεκριμένης ἡσυχίας, ἢ κὶ τὸ προσῆκον τοῦ πράγματος ποιήσασθαι τὴν διέξοδον τούτων ἐσκήσατο, μάλιστα τῆς ὀργῆς. ἥτις ἀλογίστως προσενεχθεῖσα τῆς τοῦ θεοῦ δικαιοσύνης ἀποστερεῖ. διὸ ἐ τὴν αἰτίαν ἐπάγει τούτῳ, τὸ, ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ γκατεργάζεται.

ἢ γὰρ

ἡ γὰρ δικαιοζύνη ἐστὶν ἕξις ᾗ ψυχὴ τ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμητική, ὀργὴ δέ, καθ' ὃν ἁμαρτάνοντα, ἀπολλύσι καὶ φρονίμοις, πῶς ἃ αὖτη ἡδέα τῶ ἄγαν ἐμπαίθειαν σπουδῆς ἐν νοῶ, ὡς καὶ φρονίμοις ἀπολλύναι, τῶ κεκριμένως ἀπονέμουσαν
» ἑκάστῳ τὸ κατ' ἀξίαν συζήσειν; Βραδὺς ἁγ ὀργήν. ὀργὴ γὰρ ἀνδρὸς δικαιοζύνην
» θεοῦ ἁ κατεργάζεται. Τὴν βραδυτῆτα δίχως βούλεται ᾗ ἐργεῖσθαι πῶ ἡμῶν εἰ ἐστε τὸ λαλῆσαι, καὶ τὸ ὀργισθῆναι. οἶδε γὰρ ἡ μέλλησις καὶ ἀτοχὴν ἐργάζεσθαι
» τῆς ὁρμῆς. Διὸ ἀποθέμενοι πᾶσαν ῥυπῖαν καὶ περισσείαν κακῖας.
Τῇ ῥυπῖᾳ προσέχθησι καὶ τὸ περισσείαν κακῖας, τῶτο βουλόμενος πᾶσῆσαι, τὸ, ἡ καὶ τινι πολλάκις πίπτωσί τις ῥυπῖᾳ, ταχέως αὐτῆς ὑπεξίστασθαι, ἀλλὰ μὴ τῇ καθ' αὐτὸ τιμωρῇ τε καὶ ἐγχρονίσει δὲ τῆς σωνηθείας βεβαιότερον καὶ δυσεκνιπτότερον τὸ κακὸν ἀπεργάζεσθαι, πεφυκότων ὧν σωεχέστερον ἰμῖν καὶ πιπτότερος
Κεφ. β'. » ἐπτελουμένων, ἧς φύσιν ἀποκαθιστᾶν τὸ τελούμενον, ἵνα φύσεως ἕξιν αὐτῷ πε-
» ποιοῖεν. Εν πραΰτητι δέχεσθε. Εν πραΰτητι γὰρ, οὐ γὰρ ᾧ θορύβῳ καὶ ταραχῇ ἡ τῆς διδασκαλίας γίνεται παράδοχή. Τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. Εμφυτον λόγον καλεῖ, τὸν διακριτικὸν τῶ βελτίονος καὶ τῶ χείρονος. καθ' ὃ καὶ λογικοὶ ἐσμὲν καὶ λεγόμεθα. Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταί. Επιδὴ οἶδε καὶ τοὺς ἀπουσῆ ἐπακούοντας τῶ λόγου πολλάκις τὴν θερμότητα καὶ ᾧ αὐτῷ τῷ ἀκροᾶσθαι ἀποσβεννύντας, διὰ τῦτο μῶν ἐπιφέρει ταῦτα, δυνάμενα ταῦτα πρακελευόμενος. μὴ ᾧ τῷ ἀκροᾶσθαι μόνον τὴν ἀπουδὴν ἐπιδείκνυσθε, ἀλλὰ πολὺ μᾶλλον ᾧ τῷ ποιεῖν. τὸ δὲ, παραλογιζόμενοι ἑαυτοὺς, ἀντὶ τῦ ἐξαπατῶντες. Παραλογιζόμενοι ἑαυτοὺς. ὅτι
» εἴτις ἀκροατὴς λόγου ἐστὶ, καὶ ὁ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτῦ. Πρόσωπον γενέσεως, τὸ διὰ τῦ νόμου λέγειν ἑαυτὸν ἐγνωκέναι. Διὸ καὶ τῷ προθέσει ἐπήγαγε τὸ, γενέσεως. διὰ γὰρ τῦ νόμου μανθάνοντες οἷοι γεγόναμεν, κατανοοῦμεν οἷοις γνωμῶσιν ὁ πνευματικὸς ἡμᾶς ἀποτελεῖ νόμος διὰ τ λουτροῦ τ παλιγγενεσίας. εἶτα μὴ ἐμμένοντες τῇ τοιαύτῃ θέᾳ διὰ τῆς πράξεως, καὶ τὰ χαρίσματα ἐπιλανθανόμεθα. ὁ γὰρ πράξεσιν ἑαυτὸν ἐκδὺς πονηραῖς, οὐδὲ ὅτι δύναται πρὸς τὸ θεοῦ μιμνήσκεσθαι ἡ γὰρ ἐμμιμούμενον, ὅτι ἠθετήθη καὶ ἐδικαιώθη καὶ ἡγιάσθη, ἃ πνευματικά ἐστι χαρίσματα, οὐκ ἀν ἑαυτὸν πρόδοτον τοῖς ἀτελέστοις ἔργοις τῶ χάριν. Εν ἐσόπτρῳ. κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε. καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. Απὸ τοῦ σωήθους τύπου ἐσόπτρου, ἐπὶ τὸ νοητὸν ἔσοπτρον διαβιβάζει τὸν λόγον, μηδὲν ἐπενέγκας ὧν ἡς πράσσειν ἀφορίζόντων τὸ ἡρμῆσθον, οἷον, ἵνα εἴπῃ οὕτως. εἴτις ἀκροατὴς λόγου καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτῦ ἐν ἐσόπτρῳ. ὡς γὰρ ἐκεῖνος κατενόησεν ἑαυτὸν ἐπελήλυθε, εὐθέως ἐπελάθετο ὁποῖος ἦν, οὕτω καὶ οὗτος ὁ διὰ τ Μωσέως νόμου κατανοήσας τὸ, διὰ τί γέγοιεν, ὅτι πρὸς δόξαν θεοῦ, καὶ τὸ κατ' εἰκόνα γεγένθαι τῦ ποιήσαντος θεοῦ, μὴ τὸ κατανοῆσαι, οὐδὲν ὧν κατανοηθέντων ἐργάσατο, ἀλλ' ὡσάυτως τῷ πρώτῳ πρὶ τῶν κατανόησιν διετέθη.

νόησιν διετέθη. οὕτως οὖν τῷ λόγῳ χρήσασθαι δέον, ἃ κέχριται. Ὁ δὲ μάτην ποιεῖ ὁ τῦ κωρίου μαθητὴς Ιάκωβος, ἀλλὰ σῶν τοῖς ἅπασι φθέγγεται, ὡς τὸ σωτετμημένου μαθητὴς λόγου, καὶ ἅμα σωάγων τὸν ἀκροατὴν, καὶ σωτείνων ἐς τὸ
» μὴ πρέργως τύτων ἀκούειν. Ο δὲ πρακύψας ἐς νόμον τέλειον τὸν τῆς ἐλευθε-
» ρίας, καὶ παμείνας. Σκόπει ὅτι πρακύψας εἶπεν, ἀλλ' ἃκ ἐπελθών. ὁ γὰρ πνευματικὸς νόμος τὸ ἐφιστὸν παντα χοῦ καὶ μεγαλεῖον ἔχων, καὶ ἀπ' αὐτῆς τῆς βραχείας ὀπτυχίας οἶδεν ἐφέλκεσθαί τε καὶ τελειοποιεῖν. καὶ ἅτε τὸ τέλος ἔχων καὶ πρὶ πάντα ἀνελλιπῶς, τῦ ῥᾳδιάζειν πρί τι ὧν ἀν αὐτῷ ἀπαλλάξας τὸν ῥυπογχάνοντα, καὶ παμένειν ποιοῦσι τοῖς τετελεσμένοις. ἐς νόμον τέλειον. ἐπιδὴ μέγα ἐφρόνουν Ιουδαῖοι ᾗ ταῖς τῦ νόμου παρατηρήσεσι, καὶ τούτους τὸ πᾶν τῆς πρὶ θεὸν εὐσεβείας καρπῶσθαι ὤοντο, καὶ πρὶ τούτας ἀσχολούμενοι μόνας, αὐτοῖ μὲν τὸ τέλος ἑαυτοῖς πρὶ ποιοῦσι κείνας ἐλογίζοντο, πρὸς δὲ τοὺς ἄλλους ἀνθρώπους ὑπερφάνως καὶ ὀνειδιστικῶς διέκειντο, ὡς δῆλον ἀπὸ τῦ ᾗ εὐαγγελίῳ Φαρισαίου καὶ ὧν κατὰ τῦ τελώνου ἀποφθεγξαμένου, τούτῳ τῶ οἴησιν κατασκέλλων ὁ μακάριος Ιάκωβος τὸ προκείμενόν φησι. μνησθεὶς γὰρ ποιητὰ ἔργων καὶ μακαρίσας αὐτὸν, ἐπανορθοῦται εὐθὺς καὶ τὸ ὀντῶς ποιήσει πρὸς τοὺς πολλοὺς ὑπφυόμενον κακὸν, καί φησι. μὴ ὑπολάμβανε ὁ ἀπὸ τῆς ποιήσεως τὸν νόμου λαχὼν τὸν μακάριον, ὡς μόνη ἡ ποίησις ἔχει καὶ τὸ ἀποδεκτὸν πρὰ θεῷ. ἃ γὰρ. ἀλλ' ἐκεῖνος ὁ μὴ τὰ ποιῆσαι, μὴ ἀβρονειδιστικῶς ὢν ἄλλων μὴ δὲ ἀφιλανθρώπως πρὸς τοὺς ὁμοζυγεῖς διακείμενος. τὸν τῆς ἐλευθερίας. ἡ τοῦ νόμου τέλειον, ἐπήνεγκε, τὸν τῆς ἐλευθερίας, τῶ ἐλευθερίαν ἐπίσημον αὐτῦ ποιούμενος. ὁ γὰρ καθ' Χεισὸν νόμος, τῆς πρὶ πᾶν τὸ σαρκικὸν ἀπαλλάξας δουλείας, σαββατισμῶν, καὶ πρισμῆς, καὶ τῆς ποτὲ τοῖς ἄλλοις ἀγνισμοῖς λατρείας, ἐν ἐλευθερίᾳ τύπων καὶ ἀνέσει τὸν προσιόντα καθίστησι. καὶ διὰ τὸ ἐλεύθερον, ἐ τὸ ἀπὸ τῆς ἐλευθερίας ἰδ δῦ, καὶ προσκτικὸν ἠργάσατο τύτον, καὶ τῆς λυμαινομένης ἅπασι τοῖς καλοῖς ἀποπλαξεν ἐπισμονῆς. γδεν γὰρ οὕτω πρὶ χαθαίτινος σπεύδει, ὡς τὸ ποτὲ τὸ πραῦμα ἐνθεωρούμενον ἀνεῖν τε καὶ ἐλευθέρᾳν. προσέτι καὶ
» μακάριον ἀποφῆναι τὸν τιοῦτον. Οὗτος γὰρ ἀκροατὴς ἐπισμονῆς γενόμε-
» νος, ἀλλὰ ποιητὴς ἔργου. οὗτος μακάριος ᾧ τῇ ποιήσει αὐτῦ ἔσαι.

Τῇ ἀκροάσει σωῆψε τὸν ἐπισμονήν. ὡς ᾗ ᾧ δεῖ τῆς ποιήσεως ἰδ ἀκρόασις, γδεν πρᾶγμα μὴ καὶ τὸν ἐπισμονὴν ἐπακολουθῆσαι, ὡς καθ' ὑπέργον
» γὰρ ἐνεργῶς τῆς ἀκροάσεως γνομένης. Εἴτις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χα-
» λιναγωγῶν γλῶσσαν αὐτῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτῦ, τύτου μάταιος ἡ θρησκεία. Η θρησκεία, πλέοντι δοκεῖ τῆς πίστεως ἔχειν. κρυφίων γὰρ τινων γνῶσιν τὸ ὄνομα ἐπαγγέλλεται, καὶ βεβαιότητα ὧν καθ' τὴν πίστιν ᾗ θεωρουμένων. Διάπερ τῦτο καὶ νῦν ὁ μακάριος Ιάκωβος τῇ λέξει ταύτῃ ἐχρήσατο, θρῆσκος ἡγῶν, ὥσπερεὶ ἔλεγε. γνώσην ἑαυτὸν οἶει ὧν ᾗ τῷ νόμῳ ἀπορρήτων καὶ ἀκειβῆ φύλακα; πῶς; ὅταν μὴ τὴν γλῶσσαν μὴ ἡσυχάμενος χαλιναγωγῆν, καταλαλεῖς τὸ πλησίον, καὶ ὑποροπικῶς διαβιοῖς γδένα ὧν ἀπορομένων οἰκτείρεις; τὸ

νόμου μήτε τὸν παραλαλοῦντα προσεμένου, ἀλλὰ ἐκ τοῦ μέσου ἐκβάλλειν κελεύοντος, καὶ τῷ ὑπὲρ τὸν νόμον τὸ ἑαυτοῦ κτῆνος ἐμποδὼν ἔχοντι παραλαμβανομένῳ ἐκβαλεῖν κελεύοντος. εἴσω δῶμεν θρῆσκος εἶναι βούλει, μὴ δῶτε τὴν γνῶσιν τοῦ νόμου· ἀπελέγχουσα τὸν θρῆσκον, ἀλλὰ δῶτε τὴν ποίησιν. τοῦτο δέ ἐστι τὸ τοῦ πλησίον οἰκτείρειν. ὁ γὰρ ἐς τὸν πλησίον οἰκτίρμος, ἀφομοίωσίς ἐστι πρὸς τὸν θεόν. γίνεσθε γάρ φησιν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. ἀλλὰ καὶ ὁ οἰκτιρμὸς μὴ ἐν προσωπολημψίᾳ ἔστω. ἐπεὶ μὴ δὲ ὁ θεὸς ἀπομεμερισμένος τὰς ἑαυτοῦ ποιεῖται ἐνεργείας, ἀλλὰ διαφάλτως πάντας, πλουσίους καὶ πένητας, πονηροὺς καὶ ἀγαθοὺς ἐνεργετεῖ. τὸ δὲ, χαλιναγωγῶν, οἱονεὶ κατάγχων, καὶ μὴ ἐξ οἰήσεως ὡς ποιητὴς νόμου ἀπαιῶν τῶν σωτηρίων αὐτοῦ. τοῦτο γὰρ ἡ καρδία βούλεται σημαίνειν. ὡς δῶ τῷ, καρδίαν σωτηριμμένῳ ἐκ τεταπεινωμένῳ. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρί, αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας δῶ τῇ θλίψει αὐτῶν. Ἴσως ἐρεῖτις. ἡ τίς καθ' Χεισὸν διαθήκης διδάσκαλος ὁ Ἰάκωβος, πῶς νῦν δὲ καταργεῖ τὸ τοῦ νόμου, ἀλλὰ μᾶλλον βεβαίρει, τοῖσ δῶ τῇ τούτου θρησκείᾳ ἀποδεχόμενος, ἐ μὴ ἐπιτιμῶν τούτοις καὶ ὧν τοῦ νόμου ἀπανισῶν παρατηρήσεως, πρὸς οὓς ἐρουμεν ἐκεῖνο, ὡς ἡσυχαγωγικώτερον αὐτοῖς νῦν διαλέγεται, καὶ συγκαταβαίνει τῇ τούτων ἀσθενείᾳ. ἵνα μὴ ἐκπροθύρων ἀνατρέπων τὸν νόμον, ὀπίσω χωρεῖν ποιήσῃ τῇ καινότητι ὧν διδαγμάτων ναυτιῶντας, καὶ πρὸς ἀπείθειαν ἀποκλίναντας. οἰκονομικώτερον δὲ μεταχειρισάμενος τὸ πρᾶγμα, καὶ ὑπενδοὺς ὅσον αὐτὸν ἐκβλασφῆσαι ἐς τὸν καινὸν διαθήκων τοὺς νομικοὺς δεισιδαίμονας. (τί γὰρ σαββατισμὸς, ἢ νηστεία, ἢ ἀποχὴ βρωμάτων ἐς τὸν καθ' Χεισὸν παραβλάψει πίστιν;) καὶ τούτοις προσεκτικώτερος αὐτοὺς τοῦ ἑαυτοῦ λόγου λαβών, οὕτως ἠρέμα καὶ καθ' μικρὸν ὧν μὲν ἀφίστασθαι παραινεῖ ὧν τοῦ νόμου, ὡς ἐγκότων μὲν ἀνωφελῶν δὲ, καὶ ὡς πρὸς δουλείαν ἐ πρὸς ἐλευθερίαν μετακαλούμενον τὸν δῶ Χεισῷ. σοφῶς γε ρόῳ ταῖς βραχείαις ὑπαλλαγαῖς χρησάμενος, ὅτε μὴ δυσανασχετοῦντας ἔχε τοῖς λεγομένοις, ὅτε καὶ προσήκοντα καὶ Χεισιανοῖς παραίθεται. Ἁπλοῦν ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. Κόσμον δῶ τοῦτον τὸν δημώδη καὶ συρφετὸν ὅλον ἀκουσίου, τὸν κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ φθειρόμενον.

Ἀδελφοί μου μὴ δῶ προσωπολημψίας ἔχετε τὸν πίστιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χεισοῦ τῆς δόξης. ἐὰν γὰρ ἐισέλθῃ ἐς τὸν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος δῶ ἐσθῆτι λαμπρᾷ, ἐισέλθῃ δὲ καὶ πτωχὸς δῶ ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου. Μὴ οὐ προσκολλήσεις. ὁ γὰρ δῶ προσωπολημψίας τί ποιῶν, πολλοῦ πάλου, πολλῆς κολάσεως ἑαυτὸν ἀναπίμπλησι, τὸ ὁμολογεῖς δὲ τιμάζων, καὶ πρὸς ἐκείνῳ ἑαυτὸ, εἶναι ἢ πρὸς τὸ ὅμοιον ἐπίδῃξις, καὶ πρὸς ἑαυτὸ πάντως) τὸ παράπτωμα. Καὶ γε διεκρίθητε δῶ ἑαυτοῖς.

Ο, καὶ, ζῆλος πέλει. ἀντὶ τοῦ, τὸ διακεκριμένον ὑμῶν διεφθείρατε, μὴ δὲ μίαν συζήτησιν

συζήτησιν ποιησάντες πότερον τιμητέον, τὸν πένητα μὲν ἀπουσιάζον δὲ, ἢ τὸ πλούσιον μὲν ῥάθυμον δὲ, ἀμφοτέρους καὶ ἐν προφορᾷ πλημμελῶς ἐτιμήσατε δὲ τὸν πλούσιον, τὸν δὲ πένητα ἐτιμάσατε δῶ τὴν πενίαν. Καὶ ἐλήλυθε κατὰ διαλογισμῶν πονηρῶν. Τουτέστιν ἄδικοι κριταί, τῇ πονηρίᾳ ἐκ προσωπολημψίας προσθέμενοι. ὁ, ἐ, ζῆλος πέλει ἐνταῦθα ὡς εἴρη), σωμάθως ἀρχαϊζούσης φράσεως. ἐπεὶ ἀποδόσεως ἐστὶ τοῦτο τὸ ἀνωτέρω ἐρημώσου, πλὴν ὁ ζῆλος. ἔστι γὰρ οὕτως. ἐὰν γὰρ ἠθέλησεν ἐς τὸν συναγωγὴν ὑμῶν, ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, ἠθέλησε δὲ καὶ πτωχὸς δῶ ῥυπαρᾷ ἐσθῆτι καὶ ἐξῆς, ἀδιεκρίθητε ἐν ἑαυτοῖς, ἐ ἐλήλυθε κατὰ διαλογισμῶν πονηρῶν, τοῦτέστι τὸ διακεκριμένον ὑμῶν διαφθείραντες γεγόνατε δῶ ἐκλογῆς ὧν πονηρῶν διαλογισμῶν, τὸν μὲν τιμήσαντες, τὸν δὲ ἀτιμάσαντες, καίτοι τῆς φύσεως τῆς αὐτῆς δῶ πάχουσης ἀμφοτέροις. Ἀκούσατε ἀδελφοί μου ἀγαπητοί. ἀχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. ἀχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, ἐ αὐτοὶ ἕλκουσιν ὑμᾶς ἐς κριτήρια; Ἐπειδὴ ἡ πενία δυσχερές ἐστι τοῖς πολλοῖς ἐ μόνον ἀκουσθῆναι, ἀλλὰ τῷ ἐπὶ τὸν κόσμον, εὐθέως ἐπήγαγε πλουσίους. περὶ τί δὲ πλουσίους; περὶ τὸν πίστιν καὶ δῶ τὴν πίστιν. ἐ γὰρ οὕτως ἔχει. τὸ γὰρ περὶ τὸν κόσμον ἀπορίαν ὧν πενήτων, ἐνεργοτέρους αὐτοὺς ἐ πρακτικωτέρους ὧν πλουτούντων, ἐπὶ δ' αὖ προσέλθωσι τῇ πίστει, ποιεῖ. διὸ καὶ ὁ κύριος τοὺς τῇ μαθητὰς ἐπελέξατο, οἷς ἐ κληρονόμοις τῆς βασιλείας ἀνέδειξεν. Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; ἡ μὴ τοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε. ἡ δὲ προσωπολημπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου, ὡς παραβάται. Τὸ καλὸν ὄνομα. ὄνομα καινὸν, τὸ κατὰ τὴν προφήτων φάσκοντα, τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ τὴν γραφήν. τὸ δευτερονόμιον λέγει. Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. ὁ γὰρ εἰπὼν, μὴ μοιχεύσῃς, εἶπε δὲ, μὴ φονεύσῃς. εἰ δὲ γε μοιχεύσῃς, φονεύσῃς δὲ, γέγονας παραβάτης νόμου. οὕτως λαλεῖτε, ἐ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. Τοῦτο περὶ ἀγάπης εἴρηκε, δι' ἣν ἐ πάντα τὸν πρὸ τούτου κατέτεινε λόγον ἐς τὸ σπεύδειν. τὸ δὲ, μοιχεύσεις, μὴ φονεύσεις, ὑποδείγματος εἵνεκε χάειν. σπόδρα δὲ ὅτι ἐ τὰ ὑποδείγματα ἐκτὸς ἐς ἀγάπην σωτελοῦντος ἐσὶ νόμου. ὁ γὰρ τέλειον ἀγαπῶν τὸν πλησίον, οὔτε μὴ μοιχεύσει, μὴ δὲ φονεύσει. ἐ χρεοῦ γὰρ τοῦτα οὕτω διαπιθέντος τὸν πλησίον. ἐπεὶ ἡ μὴ τὸν, μὴ δεῖς ἀν ἀνῶν βοθείη, μὴ δενὸς ἔχοντος τὸ διὰ πασῶν τὸν ἐντολῶν ἀνελλιπές. ὁ γὰρ ἀγαπῶν, φέρε, κατορθωκὼς, θυμοῦ ἐδότε ἡπατὸν. ἐ ὁ ἐλεήμοζήν πρὸς θίομος, βασκανία, ἡ τύχοι, ἠμαύρω). ὥστε μὴ πεὶ πάντος εἴρη), τὸ κατὰ τὰς ἀρετὰς ἀνελλιποῦς, ἀλλὰ περὶ ἀγάπης, ὡς μὴ χρὴ προσποιεῖσθαι τὰς ἐλλιπῶς τὸν ἀνθρώπων, ἀλλ' ὁλοτελῶς. τὸ δὲ περὶ τὸν ἄλλων ἀρετὸν φαμὲν. ὃς γὰρ μὴ διὰ τέλους τὸν σοφρονικῶν, φέρε, ἢ τὸν δικαίων ἀντέχῃ), ἀλλ' ἐλλιπέστερον χρήσῃ), οὗτος κωλεύων περὶ

τῶ μετα χειρίσιν, τῷ παντὶ τῆς ἀρετῆς ἐλυμήναρ σώματι. ὅλον ὅων τὸν νόμον τοῦ πρὶ τῆς ἀγάπης ἀκουσέον, πρὶ οὗ προηγουμένως αὐτῷ ὁ σκοπός. νόμου δὲ ἐλευθερίας, τὸν ἀπροσωπόληπτον φησιν, ὃς ἐστιν ὁ τοῦ Χριστοῦ. οὐχ ἁπροσωπόληπτος, οὐκ ἐλεύθερος οὐδὲ δοῦλος. ᾧ γὰρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται.

» Ἡ γὰρ κρίσις ἀνέλεως τῷ μὴ ποιήσαντι ἔλεος. κατακαυχᾶται δὲ ἔλεος κρίσεως.

νοις. ἀφ' οὗ καὶ τὸ διαιωνίζον κέκτηται. ὃ καὶ μεῖζον τῆς ἐν γῇ κληρονομίας. καὶ πρὸς τούτοις, σωτήρησις καὶ φρουρὰ ὧν πιστευόντων. ἐπεὶ καὶ τὸν προσήυξαν ὁ κύριος ἡμῶν. τήρησον αὐτοὺς πάτερ ἅγιε. ἁγιασμὸς καὶ ἐν δυνάμει. καὶ τίς ἡ δύναμις; τὸ μὴ ἔχειν τῆς τοῦ κυρίου ἀπροκαλύψεως. ἡ γὰρ μὴ δυνατὴ ἡ φρουρά, ὅτε ἂν πρέπειν μὴ χρῄζουσιν. ἐπεὶ οὖν τοιαῦτα καὶ τοσαῦτα τὰ διδόμενα, ὅδεν ἀπειθὴς καὶ ἀγαλλίαμα πρακολουθεῖν τοῖς λαμβάνουσι. πλὴν ἐπειδὴ τὸ διδασκάλου ἐπαγγελία ὅτε χαρὰν ἁγιὰ λύπην ἡσυχεῖται ὡς τῷ κόσμῳ φάσκουσα ὅτι θλῖψιν ἕξετε, προστίθησι τῷ ἀγαλλιάματι τὸ ὀλίγον. καὶ ἐπειδὴ τὸν λυπηρὸν, ἐπάγει τὸ, ἄρτι σύμφωνα λέγων τῷ ἑαυτοῦ καθηγεμόνι. κἀκεῖνος γὰρ, ἐν τῷ κόσμῳ φησὶ θλῖψιν ἕξετε, ἀλλὰ λύπη ὑμῶν ἐς χαρὰν γενήσεται. ἢ οὖν τὸ, ἄρτι, διὰ τὸ ἀγαλλίαμα πρόσκειται, ὡς τὸ μέλλοντος διαδέχεσθαι ἀγαλλιάματος ὄντος ἐπ' ὀλίγον ὄντος ἀπὸ πολὺ μακρόντε καὶ ἄπορον. ἢ τὸ, ὀλίγον, πρὸς τὸ ἀφερόμενον λυπηρὸν λογιστέον, ἵνα ᾖ οὕτως. εἰ δέον ἐστὶν ὀλίγον ἄρτι λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς. ἀλλὰ διὰ τὸ ὧν πειρασμῶν, πόρρωθεν ἐπεποίκε, διὰ τοῦτο ἐπήγαγε τὸν ὧν πειρασμῶν αἰτίαν, ὅτι διὰ τούτων τὸ δοκίμιον ὑμῶν φανερώτερον γίνεται καὶ τιμιώτερον χρυσίου. ἐπεὶ καὶ αὐτὸ δοκιμαζόμενον πυρὶ μᾶλλον ἀνθρώποις ἀπολύεται. προσπίπτουσι δὲ καὶ τὸ, εἰ δέον, διότι οὔτε πᾶς πιστὸς πράζεται διὰ θλῖψεως, οὔτε πᾶς ἁμαρτωλὸς. ἀλλ' ὅδε ἐυπινεῖται ἑκάτερος τούτων ἐς ἀεί. ἀλλ' οἱ μὲν θλιβόμενοι δίκαιοι, ἐς προσθήκην Στεφάνων πάσχουσιν, οἱ δὲ ἁμαρτωλοὶ, ἵνα ὧν ἁμαρτημάτων δίκην ἐκτίσωσιν. ὅ πάντες δὲ δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐταινεσὴν νομίσας, μισήσῃς τὴν ἀρετὴν, ὅδε πάντες ἁμαρτωλοὶ θλίβονται ἵνα μὴ ἡ ἀνάστασις ἀπιστηθῇ, ὡς πάντων ἐντεῦθα τὰ ἑαυτῶν ἀπολαμβανόντων.

Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς, ἐς ὑμᾶς τοὺς θεῷ δυναμένοις θεοῦ φρουρουμένοις διὰ πίστεως ἐς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. Εἰ δὲ οὐρανοῖς ἡ κληρονομία, μυθώδης ἡ χιλιοέτης ἀποκατάστασις. δὲ ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ. τὸν ἑξῆς οὕτως. λυπηθέντες ἄρτι, εἰ δέον ἐστί. φυτέσιν γὰρ καὶ τὸν δεῖ, (ἅ γὰρ πάντες οἱ ἅγιοι θλίβονται,) δὲ ἐσχάτῳ καιρῷ ἀγαλλιάσεσθε, τὸ γὰρ, ἀγαλλιᾶσθε, ἀντὶ μέλλοντος εἴληπται. ἢ καὶ κατὰ τὸ ῥηθὲν, ὡς κάτω ὑπεμνημάτισαι.

Εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὃν ἅ εἰδότες ἀγαπᾶτε. ἐς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ ἐ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

Τὸν αἰτίαν ὧν καὶ πάσχουσι τῶν δικαίων διὰ τούτων δηλοῖ, ἅμα μὲν προμυθούμενος αὐτοῖς, ὡς στηριφανεστέρων αὐτῶν ὑπὸ ὧν θλίψεων γινομένων, ἅμα δὲ καὶ παρασκευαστέρους ποιῶν διὰ τὸ προσθεῖναι τὸ ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τὸ τότε καιροῦ τῆς ἐπιδείξεως ὧν πόνων, πολλῷ τῷ δύκλειαν τοῖς ἀγωνισμένοις

θ

γωνισμένοις πρὲ ὀμῶν. προσέθηκε δέ τι καὶ ἄλλο ἐφελκυστικὸν πρὸς τὼ ὑπομονὼ
τῶν θλίψεων. τί γάρ; τὸν, ὃν γὰρ ἴδόντες, ἀγαπᾶτε ἄρτι. ἢ γὰρ γὰρ ἴδόντες αὐτὸν
ὀφθαλμοῖς σαρκὸς ἐκ μόνης ἀκοῆς ἀγαπᾶτε φησὶ, σπουδεῖτε ὅσην ἀγάπην ἐπιδείξε-
σθε ἰδόντες αὐτὸν, καὶ ταῦτα νῦν δόξῃ ἀπεκαλυπτόμενον. ἢ γὰρ τὸ πάσης αὐτῆς οὔ-
τως ὑμᾶς ἐπεπόθησαν, τί ἆρα δι' αὐτὸν ὑμᾶς ἐν μέσῃ ἀνυποβλήτου λαμπρότητος
ἐπιφανείᾳ αὐτῆς; ὅτε καὶ ὑμῖν πάσχει τὸν ἕνεκα σωτηρίαν ψυχῶν. ὡς οὖν τοιούτῳ
ἐμφανίζεσθε, μέλλοντες καὶ δόξης τοιαύτης ἀξιωθῆναι, ἰσόρροπον τούτου νῦν ἐπι-
δεξάμενοι καρτερίαν, τὸν πᾶν ἔξετε τὸ πεπεδεγκὸς σκοπόν.

» Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χά
» ριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦ
» μα Χριστοῦ προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας.
» οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν αὐτὰ, ἃ νῦν ἀνηγγέλη ὑμῖν.

Εἰς ἣν περὶ ψυχῆς σωτηρίας ἐμνήσθη, αὐτὴ δὲ ἄδηλος καὶ ζητουμένη τὼ ἀ-
κοὼ, τοὺς προφήτας παίει καὶ ἐξετικότας καὶ ἐρευνησαμένους περὶ αὐτῆς. καὶ γὰρ ἐξέ
τησαν, ὥσπερ Δανιὴλ περὶ τῶν μελλόντων, ὃς καὶ διὰ πάντα, ἀνὴρ ἐπιθυμιῶν ἐ-
κλήθη ὑπὸ τοῦ χρηματίζοντος αὐτῷ ἀγγέλου. καὶ τί ἐξέτησαν ἐπαίει, εἰς τίνα ἢ
ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα. εἰς τίνα μὲν, τὸν ἐπὶ σωτελείᾳ, ποῖον
δὲ, τὸν ὅτε ταῖς διαφόροις ἀκμαλωσίαις τῶν Ἰουδαίων πρὸς παντελῆ θεοσέβειαν ἀ-
προκλινάντων, ἐνεπράδεκτοι κατέστησαν εἰς τὸ καθ' Χριστὸν μυστήριον. σπουδεῖ δὲ ὅτι
πνεῦμα Χριστοῦ ἐρικῶς θεολογεῖ τὸν Χριστόν. ἐδήλου δὲ τοῦτο τὸ πνεῦμα τὰ παθή
τοῦ Χριστοῦ διὰ μὲν Ἡσαΐου ἑπτά. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. διὰ δὲ Ἱερεμίου.
δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ. πῶς δὲ ἀνάστασιν διὰ Ὡσηέ. τῇ
ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐναντίον αὐτοῦ, καὶ διώξομεν τοῦ γνῶναι τὸν κύριον,
ὡς ὄρθρου πρόϊμον εὑρήσομεν αὐτόν. ἀπεκαλύφθη δέ φησι Τύπος, ὁ δι' ἑαυτοῦ
ἅμα δι' ὑμᾶς. δύο δὲ ταῦτα διὰ Τύπου ἐργάζεται τῶν λόγων, τό, τε προμηθὲς τῶν
προφητῶν ἐνδεικνύμενος, καὶ τὸ ὅτι προεγνωσμένοι ἦσαν θεῷ πρὸ καταβολῆς κόσ-
μου οἱ νῦν κληθέντες εἰς τὸν καθ' Χριστὸν πίστιν. διὰ μὲν οὖν τὸ τῶν προφητῶν
προμηθὲς ἐπάγει αὐτοῖς μὴ ἑαυτοῖς διακονεῖσθαι τὰ ὑπὸ τῶν προφητῶν αὐτοῖς
προφερόμενα, ὅτι μὴ δι' ἑαυτοὺς σώφρονες πατρικῶν τρόπων καταφρονοῦνται. ἢ γὰρ
αὐτὰ μηδὲν ὀνήσασθαι μέλλοντες ἐξέτησαν καὶ εὗρον, καὶ εὑρόντες βιβλίοις ἐγκα-
τέθεντο, ὥσπερ τινὰ κλῆρον ἡμῖν πραγματεύσοντες, ὃν οὐ σιγήσουσι φησὶ Δί-
καιοι, περὶ τοῦ καταφρονητικῶς ἔχοντες. διὰ τί δὲ μὴ δι' ἡμᾶς τοῖς εὐαγ-
γελιζομένοις ὑμᾶς ταῦτα πρὸ φανοῦ τιθέντες κενὸν ἀποφαίνετε τὸ εὐαγγέ-
λιον ἡμῶν. διὰ μὲν οὖν τὸ προμηθὲς τῶν προφητῶν, ταῦτα. διὰ δὲ τὸ προε-
γνῶσθαι ὑπὸ θεοῦ φοβεῖ μὴ ἀναξίοις ἑαυτοὺς τῆς τοῦ θεοῦ προγνώσεως ἀποφῆ-
ναι, μὴ δὲ ἀναξίοις τῆς ὑπὸ Τύπου κλήσεως, ἅμα κατεπείγεσθαι ἀμείλικτος ἐς τὸ
» ἀξιωθῆναι τῆς δωρεᾶς τοῦ θεοῦ. Διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς.

Εἰ καὶ αὐτοὶ καὶ οἱ προφῆται ἐν πνεύματι ἁγίῳ ὑπηρέτησαν οἱ μὲν τὼ προ-
φητείαν,

φητείαν, οἱ δὲ τὸ εὐαγγέλιον, γράμ τούτων τὸ διάφορον πρὸς τοὺς προφήτας. δεῖ
γίνων τῶν αὐτῶν ἀπουδαιῶ ὑμᾶς, φησὶν, ἡσυχάζειν, ἵν καὶ οἱ κατὰ κόσμου τῶν προφη-
τῶν, ἵνα μὴ τῇ τῶν ἀπιστησάντων τοῖς προφήταις ὑποβληθῆτε τιμορίᾳ. ἐπισκο-
πεῖν δὲ ὅτι διὰ τούτων τὸ τῆς τριάδος μυστήριον ὁ Πέτρος ἀπεκαλύπτει. ὑὸν
καὶ πνεῦμα, διὰ τὸ ἅγιον, πνεῦμα Χριστοῦ, τὸν δὲ πατέρα διὰ τὸ ἁπτὸν, ἀπ' οὐ-
ρανοῦ. τὸ δὲ, ἀπ' οὐρανοῦ, μὴ τροπικῶς λαβεῖν ἀμὰ καὶ ὑπερόχως πεπιγουμένου
» θεοῦ. Ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι
» παρακύψαι. Τὸ δὲ τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς γεγονόσφισι. τὸ δὲ, εἰς ἃ ἐπιθυ
μοῦσιν ἄγγελοι, ἀντὶ τοῦ, ἃ καὶ ἄγγελοι ἐπεθύμησαν. τουτέστιν ὧν τὼ γνῶσιν καὶ
τὼ ἔκβασιν καὶ αὐτοὶ οἱ ἄγγελοι ἐπεθύμησαν. διὸ καὶ νομοθετῶν ὧν τοιούτων, ἐκ
Κεφ.β. παρχαρείας ἦσαν τὸ, δόξα θῷ ὑψίστοις. Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν νήφοντες τελείως, ἐλπίσατε ἐπὶ τὼ φερομένῳ ὑμῖν χάριν θῷ ἀποκα
» λύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον θῷ
» τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀμὰ καθ' τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι
» θῷ πάσῃ ἀναστροφῇ γένηθητε. διότι γέγραπται, ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.

Αἰτιολογικῶς δὲ τῶν πεπετεμμένων ἡ παράκλησις. ἤτων γὰρ ὅτι οἱ προφῆ-
ται διηκόνησαν ὑμῖν τὰ τῆς σωτηρίας ὑμῶν, ταῦτα οὕτως ἴσως θαυμαστὰ, ὡς καὶ
ἀγγέλοις ἐράσμια κατασῆναι. καὶ ὅτι ἐράσμια καὶ αὐτοῖς ταῦτα, ἐδείξαν ἀφ' ὧμ
ἐκ προχαρείας θῷ τῇ γενήσει Χριστοῦ, τὸ, δόξα θῷ ὑψίστοις ἐμελῴδιω θεῷ. ἤ-
τοὼν δὲ ταῦτα, ἐπάγει τὸ αἴτιον τούτων καὶ φησιν. ἐπεὶ οὖν τοιαῦτα τὰ διηκο-
νημένα ὑμῖν πᾶσι καὶ ἐράσμια καὶ προθητὰ μόνον ἀνθρώποις ἀμὰ καὶ ἀγγέ-
λοις, διὰ τὸ μὴ δὲ ὑμεῖς ἀμελῶς πρὸς αὐτὰ διατεθῆτε, ἀμὰ σωτείναντες ἑαυ
τοὺς καὶ ἀνδρικῶς διατεθέντες. τὸ γὰρ διὰ τὸ ἀναζώσασθαι τὰς ὀσφύας διηλοῖ. ὃ
καὶ ὁ Ἰὼβ προσάσεται πρὸς τὸ θεοῦ. ὀσφύας δὲ ποίας ἐσήμανεν, ὅτι τὰς τῆς διά
νοίας λέγει. οὕτως οὖν προεσκευασμένοι φησὶ νήφοντες τελείως ἐλπίσατε ἐπὶ τὼ
φερομένῳ ὑμῖν χάριν, αὕτη δὲ ἐστὶν ἣν καὶ πρόβραχέως φησὶ, καθ' τὼ δευτέραν
τοῦ κυρίου παρουσίαν. σπουδῇ δὲ ὅτι ὑγιὰ ὅλως εἶτε, νήφοντες, ἀμὰ τελείως, ὡς τοῦ
νόμου ἐπιμυδραὶ αὐτοῖς νῆψιν πρασχομένου καὶ ἁγιαγωγικῶ. συσχηματισμὸν δὲ
τὼ συμπεριφοράν φησι τὼ πρὸς τὰ παρόντα. τοῦτο δέ ἐστιν ὅ, τινες ὧν ἀνοήτων καὶ
νῦν φασιν, ὅτι πρὸς τὸ πράγματα διαγένου. ταῖς οὖν τοιαύταις ματαιότησιν ἀ-
πειπαμένοις κελεύει, εἴτε ὃν γνῶσει, εἴτε καὶ ὃν ἀγνοίᾳ ταύταις πρὸ Τύπου ἐνε
σχέθησαν. ἀμὰ νῦν γοῦν τῷ καλέσαντι συσχηματιζόμενοι ἁγίῳ ὄντι, ἅγιοι καὶ
» αὐτοὶ γίνεσθε. Καὶ ἡ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ
» τὸ ἑκάστου ἔργον. Ἐκ πολλῶν ποιησάμενος τὼ πρόκλησιν, πρῶτον διὰ τῶν ἐ-
πιθυμητικῶς πρὸς αὐτὸ διακειμένων ἀγγέλων, εἶτα ἀπὸ τῆς γραφικῆς, εἶτα ἀπὸ τῆς
ἀναγκαίου. ἐπεὶ γὰρ τὸν θεὸν ἐπικαλοῦνται πατέρα, ἀνάγκη τοὺς ἐπιχειμένους
τῆς ἐθισίας, ἄξια τοῦ πατρὸς ποιεῖν. καὶ τέταρτον. ὅτι μυείᾳ ἐλάβον ἀγαθὰ, διὰ
τοῦ καταβληθέντος ὑπὲρ αὐτῶν τιμήματος, ὃ τοῦτο δηλοῖ τὸ τοῦ Χριστοῦ αἷμα, ὅτι πρὸ

ἀγ Ἐλυτρον ἐδόθη ὧν δι' ὑμᾶς τῆς ἁμαρτίας ἑαυτὸς πεπρακότων τῷ πονηρῷ,) κελεύει δι' ὅλης πάντες τὴν ζῆν ξένοικον κεκλῆσθαι τὸν φόβον, ἵν' τὸν πρεσκαταρτικόν, (οὗτος γὰρ τὴν τιμωρίαν ζημίαν ἔχει,) ἀλλὰ τὸν τελειωτικόν. φόβος γὰρ ἀεὶ τοῖς τελείοις θῆσιν ἁγίοις μήτι ἐλλείπωσιν ὧν οἷα ἥκοις τοῖς τελείοις ἐπακολουθεῖν. σπόπει δὲ ὅτι ἱερεμίου ὑπὸ Χριστοῦ, ὅτι ὁ πατὴρ κρίνει ἕκαστα, ἀλλὰ τὸν κρίσιν παραδέδωκε τῷ υἱῷ, φησὶν ὁ Πέτρος τὸν πατέρα κρίνειν φησί. πρὸς ὃ ἐροῦμεν, ὡς ἐπιδιὰ καὶ τὸν εἰρηκεν ὁ Χριστός, ἵν' δύναται ὁ υἱὸς ποιεῖν ἕκαστα, ἂν μήτι βλέπῃ τὸν πατέρα ποιοῦντα, τὸν δὲ τὸ συμφυὲς τῆς ἁγίας τριάδος πίστησι, καὶ ὅτι ἕκαστα μερισμοῖς αἱ τῆς ἀρχίας ἐνέργειαι τοῖς καθ' αὐτὰ θεωρουμένοις προσώποις, ἀλλὰ ταυτότης πᾶσα ἐκεῖ καὶ σύμφωνοια ἀρνηαία καὶ ἀστασίαστος, εἶπεν, ἀδιαφόρως τὸν πατέρα κρίνειν, ὡς ὅτι οὐ ἐρεῖτις καθ' ἑνὸς ὧν τριῶν θεωρητέως ἐκ τελεῖσθαι, κοινοῦ τοῖς πᾶσι καὶ ὄντος καὶ λογιζομένου, ἀλλ' ὡς τὸ ἰδιον πολλάκις τέκνα καλοῦντος τοὺς ἀποστόλους, καὶ τῷ παλαιῷ ἡπόντος, τέκνον ἀφέωνται σοι αἱ ἁμαρτίαι σου, καὶ τῇ αἱμορρόῃ, θυγάτερ, πίστις σου σέσωκέ σε, ἕκαστον ἀποφαίνομ καὶ αὐτὸν πατέρα καλεῖσθαι ὧν γεννᾷ, ὧν μεταδόσει ἐγέννησεν ἀ-
» νώτητος. Ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες, ὅτι οὐ
» φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατρο
» παραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.

Καθὸ τὸν τὸν τελειωτικὸν φόβον εἴρηται καὶ τῷ μακαρίῳ Δαυίδ, τὸ, φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι ἔκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐ-
» τόν. Προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχά-
» των ὧν χρόνων δι' ὑμᾶς, τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς θεὸν, τὸν ἐγείραντα αὐτὸν ἐκ νε-
» κρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν ἐλπίδα εἶναι εἰς θεὸν, ζῶσης ψυ-
» χὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος. Τῷ τοῦ Χριστοῦ θανάτῳ συνῆψε καὶ τὴν ἀνάστασιν. ἐυλαβεῖται γὰρ τὸ πρὸς ἀπιστίαν ὧν νεοφύτων ἐυμετάβολον, διὰ τὸ τῶν παθῶν τοῦ Χριστοῦ ἐπρεπέστερον. ἀπ' ὅτι καὶ ἡ νεαρὸν τὸ κατὰ Χριστὸν μυστήριον, ἐστὶ καὶ τοῦτο τοῖς ἀνοήτοις θορυβεῖ, ἀπ' ἄνωθεν καὶ πρὸ καταβολῆς κόσμου, καὶ προνοητικῶς θεῷ καθὸ τὸν ἐυκαιρον αὐτῷ χρόνον ταμιευόμενον, ἐφανερώθη μὲν καὶ τοῖς πρὶ ρυτῶν ζωτήσασι προφήτας, ὡς ὀλίγον καθ' ὅπιν εἴρηκε, καὶ νῦν δὲ προδηλότερόν φησιν, ὅτι τὸ πρὸ καταβολῆς κόσμου ἐγνωσμένον δηλονότι θεῷ νῦν ἐφανερώθη, ἤτοι ἐστελέσθη, διηνύθη. καὶ διὰ τίνας ἐστὶ τελέσθη προστίθησιν, ὅτι δι' ὑμᾶς. δι' ὑμᾶς γὰρ φησιν ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. διὰ τί δὲ δι' ὑμᾶς, ἵνα φησιν ἡγνικότες ἑαυτοὺς ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα ἔχητε εἰς θεόν. καὶ διὰ τί ἡγνικότες; ὅτι τῷ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀφθάρτου ζωῆς ὑμῖν προκαταρξαμένῳ πιστεύσαντες, ὀφελέτε ἐστὲ καὶ αὐτοὶ καθὸ τὸν καλέσαντα ὑμᾶς ἄφθαρτον, τὸν καινότητι ζωῆς πρὶ πατῆσαι. διὰ δὲ τὸν πατέρα καὶ οὗτος καὶ Παῦλός φησιν ἐξαναστῆσαι τὸν κύριον ἐκ νεκρῶν, μὴ θορυβηθῆς. ἀσαγωγικώτερον γὰρ χρώμενοι τῇ διδασκαλίᾳ νῦν ταῦτα-

φασιν.

φασιν. ἐστὶ ἄκουσον χρισοῦ μὲν λέγοντος ἑαυτὸν ἐληλῦθαι, δι' ὃν φησιν, λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἀλλὰ καὶ Λουκᾶς, ὃς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν. καὶ πάλιν αὐτὸς ὁ Χριστός. ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. οἰκονομικώτερον οὖν τῷ πατρὶ ἐαθότε ἀνατιθέασι τὴν τοῦ ὑιοῦ ἀνάστασιν, ἵνα μίαν ἐμφάνωσι πατρὸς καὶ ὑιοῦ τὴν ἐνέργειαν. τὸ ἑξῆς οὕτως. προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων ὧν χρόνων δι' ὑμᾶς τοὺς πιστεύοντας εἰς θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόντα αὐτῷ δόξαν, ἵνα ἡγνικότες τὰς ψυχὰς ὑμῶν. (τὸ γὰρ, ὥστε, ἀντὶ τοῦ, ἵνα, εἰλήφθαι.) ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας τὴν πίστιν ὑμῶν ἔχητε, καὶ τὴν ἐλπίδα εἰς θεόν. μεταλαμβάνει γὰρ καὶ τὸ, εἶναι εἰς τὸ ἔχειν, διὰ τὸ, ἵνα. κειμένου γὰρ τοῦ, ὥστε, καὶ βάρβαρον καὶ ἀδιανόητον τὸ ῥη-
» τόν. Εἰς φιλαδελφίαν ἀνυπόκειτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγα-
» πήσατε ἐκτενῶς, ἀναγεγεννημένοι γὰρ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου
» διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα. Τὸ ὅλον οὕτως. ἵνα τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα ἔχητε εἰς θεὸν ἡγνικότες τὰς ψυχὰς ὑμῶν ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας. τουτέστι πεκαταρτίσαντες ἑαυτοὺς εἰς ὑπακοὴν ἀληθείας διὰ πνεύματος. ἔστι γὰρ καὶ ὑπακοὴ ἡ πονηρᾶς καὶ ψευδέσιν, ἥτις ἐ διὰ πνεύματος, τουτέστιν ἐ πνευματική. ἐστὶδὲ ὁ εἰς ὑπακοὴν ἁγνισμὸς, ἤτοι ἡ παρασκευὴ, ἡ γυμνασία, ἡ μελέτη, πολλοὺς καὶ ἄλλους φιλεῖ συνεργοὺς ἐπισπᾶσθαι, ἃ μέλλοι πνευματικὴ οὖσα καὶ ἄφθονος εἶναι. τοῦτο δὲ ἔργον φιλαδελφίας, τὸ ὧν εὐρημένων τινὶ ἀγαθῶν καὶ τῷ πλησίον μεταδιδόναι. διὰ τοῦτο ἐπάγει τὸ, εἰς φιλαδελφίαν ἀνυπόκειτον. ἐπάγει δὲ ἀπροστατικῶς. ἰδίωμα γὰρ τοῦτο ὧν μακαρίων Ἀποστόλων. ὡς ἔχει καὶ πρὸ τῷ μακαρίῳ Ἰακώβῳ τὸ, τίς σοφὸς ἐν ὑμῖν καὶ ἐπιστήμων. καὶ τὸ, ἄγε νῦν οἱ λέγοντες σήμερον καὶ αὔριον. καὶ πολλὰ ἕτερα τοιαῦτα. ὅτι δὲ οἱ πνευματικοὶ ὀφείλουσι ὧν εὐρημένων ἀγαθῶν ἀλλήλοις κοινωνῆ πάσῃ μεταδιδόναι, μάθοις ἂν ἀφ' ὧν καὶ ὁ ἕτερος φησί. καταναῶ μὲν ἀλλήλους εἰς προξυσμὸν ἀγάπης. τοῦτέστιν εἰς
» παράθεξιν, εἰς διέγερσιν. Διότι πᾶσα σὰρξ, ὡς χόρτος, καὶ πᾶσα δό-
» ξα ἀνθρώπου ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε, τὸ δὲ
» ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Εἰπὼν, ἀναγεγεννημένοι γὰρ ἐκ σπορᾶς φθαρτῆς ἀλλὰ ἀφθάρτου διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα, πρατίθησιν ὀξυδενωτικῶς ἐ τὸ τῆς ἀνθρωπίνης δόξης εὐφθαρτον, ἐ δίον ἦσεῖν, ἀνύπαρκτον. ταύτῃ τις ἀκροαζόμενος ὑποληχνεύων ὧν προβεβλημένων ὑπ' αὐτοῦ ἔχεται, ὡς ὧν μὲν τὸ ἐσὼς ἐχόντων καὶ διαιωνιζόντων, ὧν δὲ φθανόντων τῇ φθορᾷ τῶν ὑποστάσιν. χόρτος ἐνταῦθα, καὶ ἄνθος χόρτου, τὸ καὶ τὸ χόρτου πρὸς ὕπαρξιν ἀσθενέστερον εἰς πίστιν τοῦ λόγου παράγεται. οἷς καὶ Δαυὶδ τῶν καθ' ἡμᾶς ἀπεικάζει ζωήν. οὕτω δὲ τὴν δόξαν ἡμῶν ἐυτελίσας ἀναλαμβάνει πάλιν καὶ διδάσκει σαφέστερον, τί ἐστὶ τὸ ἀναγεννῆσαν αὐτοὺς διὰ λό-

γου ζῶντες θεοῦ καὶ μένοντες εἰς τὸν αἰῶνα. καί φησι. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς. εἰς τὸν αἰῶνα δὲ μένειν αὐτὸ διαβεβαιοῦται, συμφώνως τῷ κυρίῳ. καὶ γὰρ καὶ αὐτός φησιν. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. Δεῖ δὲ εἰδέναι ὅτι τὸ, εἰς φιλαδελφίαν ἀνυπόκριτον, οὕτω χρὴ προφέρειν. ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, εἰς φιλαδελφίαν ἀνυπόκριτον. αἱ γὰρ ἐκβάσεις τῶν πραγμάτων ἐπακολουθεῖν ἐώθασι τοῖς διὰ αὐτὸ πραγματευομένοις. ἐπεὶ οὖν τὴν ἐκ καθαρᾶς καρδίας ἀλλήλων ἐκτενεῖ ἀγάπην ἡ ἀνυπόκριτος ἐπακολουθεῖ φιλαδελφία, καλῶς ἔχει, ἡγεῖσθαι μὲν τὸ ἐκ καθαρᾶς καρδίας, ἕπεσθαι δὲ τὸ εἰς φιλαδελφίαν. ἐπισημαντέον μὴν ὅτι καὶ τὸν, εἰς, πρόθεσιν μεταλαμβάνει εἰς τὸν, διά, ἵνα ᾖ, διὰ φιλαδελφίαν. Ἀπρεπέμνοι οὖν

Κεφ. γ'. πᾶσαν κακίαν καὶ πάντα δόλον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας τὰς καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε, εἴπερ ἐγεύσασθε, ὅτι χρηστὸς ὁ κύριος. πρὸς ὃν προσερχόμενοι λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ θεῷ ἐκλεκτὸν, ἔντιμον. καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ. διὸ καὶ περιέχει ἐν τῇ γραφῇ. ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον. καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. Τῆς πνευματικῆς ἀναλυτικῶς τὴν ὑπεροχὴν πρὸς τὸν καθ' σάρκα γέννησιν ἐνδείξαμενος, καὶ τῆς θνητῆς δόξης τὸ εὐτελὲς παραστήσας, ὅτι μὲν γέννησις φθαρτὴ καὶ εὐπαρά, μὴ δὲ δόξα κατ' οὐδὲν ὧν ἐαείμων ἐλασσημάτων διαφέρουσα, γέμει καὶ τὸν τοῦ κυρίου λόγον πάσχειν ταῦτα. πᾶσαν μὲν ὑπερλυπὴν ἀπεῖναι τὰχέως παύεσθαι, ἀλλ' οὐχὶ καὶ τὸν λόγον τοῦ θεοῦ. ἀλλὰ τὸ διαιωνίζον τοῦτον ἀεὶ ἔχειν καὶ ἐν ἐπαγγελίας ἀψευδεῖς. τοῦτο γὰρ αὐτῷ βούλεται ἡ προθήκη, τὸ εὐαγγελισθέντος εἰς ὑμᾶς. ταῦτα διὰ ὧν ἀνωτέρω προεξυφάνας, ἀφέπεται λοιπὸν τὸ ἐποφελὲς λαμβάνων καὶ πρὸς τὴν χρείαν σωτεῖνον, τοῦ ἠθικοῦ λόγου τὴν διδασκαλίαν πρεῖται καὶ φησιν, ἀπρεπέμνοι οὖν πᾶσαν κακίαν, τοσαῦτα καὶ τοιαῦτα. Διὸ λίγων τούτων ὠφελιμῶν. τοὺς γὰρ ἀφθάρτῳ ἀναλυνηθέντας ζωῇ, τοῖς τῆς κακίας ἀλίσκεσθαι βρόχοις οὐ δίκαιον, οὐδὲ τὸ μὴ ὄν, τοῦ ὄντος προτιμᾶν. οὐδὲ γὰρ τὸ κακὸν οὐσία. ἀλλὰ πρὶ τὸ πλημμελὲς τῆς γενητῆς οὐσίας φερόμενον. πολὺ δὲ διαλλάττον ζωῆς οὐ πρόσταγμα, πρὸς τὸ μόνον παρυφιστάμενον. οἱ δὲ αὐτοὶ καὶ δόλου ἐλεύθεροι ἀπφανθῆναι ἄξιοι φησι, καὶ ὑποκρίσεως καὶ φθόνου, καὶ πάσης καταλαλιᾶς. ὅτε γὰρ δόλος καὶ ἡ ὑπόκρισις, πόρρω ἀληθείας καὶ τοῦ εὐαγγελισθέντος ὑμῖν λόγου. ὡς τοῦ μὲν δόλου ἐπ' ἀπωλείᾳ ὄντος ἀπατωμένων χωροῦντος, τῆς ὑποκρίσεως δὲ θατέρου τι τοῦ ὄντος προϊούσης, ὧν ἀπεναντία ὁ ἀπαχήσας ὑμᾶς σωτήριος λόγος ὁρᾶται προβαίνων. φθόνος δὲ καὶ καταλαλιὰ ποίαν ἔξω χώραν θῶ ὑμῖν, οἳ τῷ τῆς φιλαδελφίας ἀῤῥήκτῳ σωδέσμῳ σφιγόμενοι, ὑπ' ὀδόντος ὧν διὰ πάντων βλαβερῶν διωάσθε; φθόνος δὲ καὶ καταλαλιὰ, ὅτι διαστάσεως αἴτια καὶ μισαδελφίας, ἐκεῖνος ἀγνοεῖ, ὁ καὶ τὸν Κάϊν καὶ τὸν κατ' αὐτὸν

καὶ αὐτὸν παραγωδίαν ἀγνοήσας, ὃς διὰ τὸν φθόνον ἐκ τῆς ἀδελφικῆς ἀπερράγη συναφείας, καὶ δόλον ἐνεκίασε καὶ ὑπόκρισιν καὶ φόνον. ἀλλ' ὀδὲ καταλαλιᾶς ὁ φθονῶν καθαρεύει, εἴπερ ἱκανοὶ τοῖς λόγοις οἱ σύγγονοι πεισθῆναι τοῦ Ἰωσὴφ, μυρία κατ' αὐτοῦ πρὸς τὸν πατέρα κατειπόντες. διάγει τοίνυν τὸ φησι, τοὺτων ἀπαλλαττόμενοι καθαρεύοντες, ὡς ἀρτιγέννητα βρέφη πρέσβιτε. (τῶν γὰρ τοιούτων εἶναι καὶ τὴν βασιλείαν ὁ κύριος ἀπεφήνατο.) καὶ τῷ ἀδόλῳ λόγῳ τρεφόμενοι αὐξηθῆτε εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. γευσάμενοι γὰρ, φησὶ διὰ μεταφορίσεως τῶν κατὰ τὸ εὐαγγέλιον πεφαντασμένων ἱερῶν ἐνταλμάτων, αἰσθησάμενοι τὸ τῆς Διδασκαλίας χρηστόν. αἴσθησις γὰρ παντὸς λόγου πρὸς γνῶσιν εὐαρμοστέρα, ὅτι καὶ τὸ εἰς πεῖραν ἥκον, τοῦ διὰ λόγου πάντος χαριέστερον. γευσάμενοι φησὶν τῆς τοῦ κυρίου χρηστότητος, καὶ αὐτοὶ τὸ τῆς χρηστότητος ἀγαθὸν εἰς ἄλλους ἐπιδεικνύμενοι, καὶ ὡς λίθῳ ζῶντι ἀναθέμενοι ἑαυτοὺς τῷ ἀκρογωνιαίῳ, τῷ ἀποδοκιμασθέντι μὲν ὑπ' ἀνθρώπων, παρὰ δὲ θεῷ τιμίῳ καὶ ἐκλεκτῷ καὶ ὄντι καὶ διὰ τῶν προφητῶν καταγελωμένῳ, συσφίγγεσθε πρὸς ἑαυτοὺς, διὰ ἀγάπης ἑνούμενοί τε συναρμολογούμενοι εἰς τὸν τοῦ πνευματικοῦ οἴκου συμπλήρωσιν, μηδὲν τῆς τῶν ἀνθρώπων φροντίζοντες ἐξουδενώσεως. ὅτι μηδὲ ὁ ὑπὸ τούτων ἀποδοκιμασθεὶς ἀκρογωνιαῖος χριστός. καὶ συναρμολογηθέντες δὲ, εἰς οἶκον πνευματικὸν ἑαυτοὺς καταρτίσαντες, εἰς ἱεράτευμα ἅγιον ἀποφήναντες, ἀνενέγκατε θυσίας πνευματικὰς, τοῦτ' ἀλόγων θυμάτων μᾶλλον εὐαρεστουμένας θεῷ. μὴ γὰρ οἴεσθε τὸν πρὸς ἀλλήλους σύνδεσμον τὸν διὰ τῆς ἀγάπης κρατυνόμενον μὴ ἐσχηκότες, ἀμώμους ἀναφέρειν θυσίας θεῷ. αἴροντες γὰρ φησιν ὁσίοις χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμῶν. πῶς γὰρ ὁ διὰ πρεσευχῆς ἑαυτὸν ἀπευδῶν ἑνοῦν τῷ θεῷ τεύξεται τοῦτου, αὐτὸς ἑαυτὸν διὰ ὀργῆς καὶ διαλογισμῶν πονηρῶν τοῦ ἀδελφοῦ ἀπορρῶν; Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν. ἀπειθοῦσι δὲ, λίθον οὐ ἀποδοκιμασθέντα οἰκοδομοῦντες, οὗτος ἐλενήθη εἰς κεφαλὴν γωνίας. καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου. οἱ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθησαν. ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. οἵποτε γὰρ λαὸς, νῦν δὲ λαὸς θεοῦ. οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύοντες, δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν. πρὸς τὸ ἡήτορ θεοῦ τὸ, τίθημι, ἡ τιμὴ δηλονότι ἀναφέρεται. πρὸς γὰρ τοὺς ἀπειθοῦντας τοῦτο καὶ νῦν φησιν ὁ θεός. τίθημι ὑμῖν ἐν Σιὼν λίθον προσκόμματος, ὃς καὶ πέτρα σκανδάλου, καὶ λίθος προσκόμματός ἐστι τοῖς ἀπειθοῦσιν, οἳ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες τῷ λόγῳ δηλονότι, εἰς ὃ καὶ ἐτέθησαν. ἔσται οὖν τὸ ὅλον οὕτως. ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον ἔντιμον, ἐκλεκτόν. καὶ ὁ πι-

στεύων ἐπ' αὐτῷ γ' μὴ καταισχυνθῇ, ἐντιμον ὑμῖν τοῖς πιστεύουσιν, ἀπιθοῦσι δὲ, λίθον προσκόμματος. οὗ λίθον ἀπεδοκίμασαν μὲν οἱ οἰκοδομοῦντες. οὗτος δὲ ἐγενήθη εἰς κεφαλὴν γωνίας, σωτὰς μὲν τοῖς πιστεύουσιν εἰς αὐτὸν, λίθος δὲ προσκόμματος πέτρις, οἳ προσκόπτουσι τῷ λόγῳ τοῦ εὐαγγελίου ὃ καὶ ἐτέθησαν. οὐχ ὡς αὐτὸ τὸ θεοῦ εἰς τοῦτο ἀφωρισμένοις εἶρηται. ὀδεμία γὰρ αἰτία ἀπωλείας, πρὸ τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι βραβεύεται, ἀλλὰ τοῖς ἑαυτοῖς σπεύσι κατηρτισμένοις ὀργῆς, καὶ ἡ ἀπείθεια ἐπακολούθησε, καὶ εἰς ἣν προσκέκευασαν ἑαυτοῖς τάξιν ἐτέθησαν. ἡ γὰρ αὐτεξούσιος ὁ ἄνθρωπος γέγονε, καὶ οὐκ ἔστι βιάζεσθαι τὸ αὐτεξούσιον, οὐκ οὖν ἄκοπι μέμψαιτό τις λόγῳ τῷ τοιούτης λήξεως ἀξιώσαντι τυχεῖν, ἧς δι' ὧν αὐτὸς ἔργων ὁ ταῦτα δράσας ἑαυτῷ ἐμηχανήσαντο. ἀκρογωνιαῖος δὲ λίθος εἶρηται ὁ Χριστὸς, ὡς τοῖς δύο μέρεσι τοῖς τὸν πατρικὸν οἶκον ἀπαρτελοῦσιν, ἥτοι τοῖς ἐξ ἐθνῶν καὶ Ἰουδαίων δι' οὗ τὸ αὐτὸ σωσάντων ἐπαφῆς, καὶ εἰς μίαν συσφίγγων ἁρμολογίαν, ὧν μὲν τοὺς ἀνωφελεῖς ἀφανίξων θυσίας, ὧν δὲ τὴν δαιμονιώδη μεταπιθεὶς εἰς εὐσέβειαν δαιμονίαν. ὑμεῖς δὲ γένος ἐκλεκτόν. διαβαλὼν τὴν ὧν ἀπειθούντων καταστροπὴν, καὶ ὅτως αὐτοῖ ἑαυτοῖς πρώτοις κατεσάθησαν ἀπειθείας, νῦν μεταβαίνει πρὸς ἔπαινον ὧν κατορθωκότων, καὶ φησιν. ὅτι ὑμεῖς γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ὥσπερ ἐλεγεν. ἐκεῖνοι μὲν δι' σκληρότητα καὶ ἀπείθειαν, προσέκοψαν τῷ ἀκρογωνιαίῳ, οὐχ σωκοδομήθησαν. ὑμεῖς δὲ οὕτως. ἀλλὰ δι' εὐπειθειαν σωκοδομήθητε εἰς βασίλειον ἱεράτευμα, ὡς γένος ἐκλεκτὸν, ὡς ἔθνος ἅγιον. τελῶ ἵνα μὴ τῷ χωρὶς ὢν ἐπαίνῳ ἐκλύσητε αὐτοὺς, ἀλλ' ὡς τε καὶ ἵνα μὴ ἀπεκληρωτικῶς δέξωσιν ἔχειν τὸ ἅγιον ἔθνος καὶ ὅσα ἑξῆς, καὶ ὅτι διὰ τὸ Ἀβραὰμ εἶναι γένος καὶ μηδέποτε προσκόψαι, ταύτης ἠξιώθησαν τῆς τιμῆς, ἐπάγει κατασέλλων αὐτῶν τὸ φρόνημα καὶ φησιν. ὅτι μὴ μέγα ἐπὶ τῷ γένει φρονεῖτε. οὐ γὰρ διὰ τὸν Ἀβραὰμ ἐξελέγητε εἰς βασίλειον ἱεράτευμα. οἱ γὰρ ἐξ αὐτοῦ προελθόντες δι' Ἰσαὰκ μόνου εἶχον τὴν ἱερατείαν πρὸς τὴν βασιλείαν. ἡ διὰ τὸν Ἀβραὰμ μόνον ἔθνος ἐστὶ καὶ γένος ἐκλεκτὸν, καὶ εἰς βασίλειον ἱεράτευμα ἀφωρισμένοι. ἀλλὰ γὰρ τούτων ἐχρημάτισεν Ἀβραὰμ, ἀλλὰ διὰ Χριστόν. ὃς καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἐχρημάτισε, καὶ βασιλεὺς σωτὴρ δίκαιος καὶ σώζων, καὶ ἐπὶ πολλοῖς ἐθνεσικοῖς ὄνου. ἐξ αὐτοῦ μόνου τοῦ ἀμφότερα ἐσχικότος διὰ τὸ ἁγίου ἀναλωνηθέντες βαπτίσματος, ἐκτὸς καὶ γένος ἐκλεκτὸν χρηματίζετε, καὶ βασίλειον ἱεράτευμα. τοῦτο δὲ ἐλέω αὐτοῦ τοῦ ἐκ σπόρου ὑμᾶς εἰς τὸ θαυμασικὸν αὐτοῦ καλέσαντος ἔχετε φῶς. διὸ διὰ τῶν τοῦ φωτὸς ἔργων ὑμῶν, τοῖς ἁγίοις ἀνθρώποις ἐξαγγέλλετε τὰς ἀρετὰς αὐτοῦ. τοῦτο μὲν ὅτων, φησὶν, ἐκπλῆς ἐκείνου ἔχετε φιλανθρωπίας. ἐστὲ, τέλει εἰς ὑμᾶς ἦκον, λαὸς ἐστὲ, οἵποτε γὲ λαός. καὶ ἠλεημένοι, οἱ γὲκλεημένοι. ἀντιπαθέστερον δὲ τὸν λόγον ποιῶν, ἐξ Ὡσηὲ πιστοῦται τὸν λόγον τοῦ ὀνειδισμοῦ. ἐξαγγέλλετε τριγαροῦν διὰ ἀγαθοεργίας τὰς ἀρετὰς αὐτοῦ. πῶς δὲ ἐξαγγέλλουσιν; αὐτὸς ὁ κύριος διδάσκει δι' ὧν φησὶν. οὕτω λαμψάτω τὸ φῶς

τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. λαὸς δὲ εἰς περιποίησιν, ἀντὶ τοῦ εἰς κτῆσιν, ἢ εἰς κληρονομίαν. πάντες μὲν γὰρ κτίσμα θεοῦ. κτῆμα δὲ, μόνοι οἱ διὰ τῆς ἑαυτῶν ἀγαθοεργίας τοῦτο ἐξιωμένοι. ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε. διὰ τοῦτό φησιν, ἐξελέγητε, ὅπως διὰ τῆς εὐπειθείας, διὰ τῶν ἀγαθῶν ὑμῶν ἔργων, κήρυκες χρηματίσητε τῆς ἀρετῆς τοῦ καλέσαντος ὑμᾶς. ἀγαπητοί, παρακαλῶ. τὸ ἑξῆς οὕτως. ἀγαπητοὶ παρακαλῶ ὑμᾶς ὡς παροίκους ὄντας καὶ παρεπιδήμους τοῦ κόσμου τούτου, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς ὑμῶν. ἔθος γάρ ἐστι τοῖς διδασκάλοις μετὰ τὸν δογματικὸν λόγον, τὸν ἠθικὸν ἄγειν. ὃ καὶ νῦν ὁ μακάριος οὗτος ποιεῖ. ἀγαπητοὺς δὲ αὐτοὺς γὲ ἀγαπωμένους καλεῖ. διὰ πάντα γάρ ἐστιν ἐπιτήδειοι. οἱ γὰρ διά τι, ἀγαπώμενοι λέγονται γὲ ἀγαπητοί. τὰς δὲ σαρκικὰς ἐπιθυμίας στρατεύεσθαί φησι κατὰ τῆς ψυχῆς. ἐπείπερ καὶ κατὰ τὸν μακάριον Παῦλον, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος. αἱ γὰρ τῆς σαρκὸς ἐπιθυμίαι περὶ τὴν ἀπόλαυσιν στρεφόμεναι ὧν ἀληθῶν, σωτολοῦσι τὸν λογισμὸν, καὶ ἀνδραποδίδη τὴν ψυχὴν ἀπολοῦσι. παρακαλῶ δέφησι καὶ τοῦτο, τὴν ὑπὲρ τῆς ἔθνεσιν ὑμῶν ἀναστροφὴν ἔχειν καλήν. μετέλιπεν γὰρ τὸ ἔχειν ἐς τὸ ἔχοντες. καταλαλοῦσιν δὲ ἡμῶν τὰ ἐθνικοὺς. καὶ εἴτις βούλεται τοῦτο μαθεῖν, ἐκ τῶν Εἰρηναίου τοῦ Λουγδούνου τῆς κελτικῆς ἱστοροῦμεν, περὶ Σαΐκτου καὶ Βλανδίνης ὧν μαρτύρων γεγράφεται μάθοι ἂν ἀκριβῶς. ὡς δὲ διὰ βραχέων πραχθέντα, ἔστι ταῦτα. Χριστιανῶν γὰρ καὶ πλουσίων δούλους Ἕλληνες συλλαβόντες, εἶτα μαθεῖν τι πρὸ τούτων δίκην ἀπαρρήτων περὶ χριστιανῶν ἀναγκάζοντες, οἱ δοῦλοι οὔτε μὴ ἔχοντες ὅτως τοῖς ἀναγκάζουσι καθ' ἡδονὴν εἰπεῖν, πρόσωπον ἥκουον ὧν διαστῶν, τὴν θείαν μετάληψιν αἷμα καὶ σῶμα εἶναι Χριστοῦ, αὐτοὶ νομίσαντες τῷ ὄντι αἷμα καὶ σάρκα εἶναι, τοῦτο εἰρῆσθαι τοῖς ἐκπύστοις. οἱ δὲ λαβόντες ὡς αὐτόχρημα τοῦτο τελεῖσθαι χριστιανοῖς, καὶ δι' αὐτοῦτο τοῖς ἄλλοις Ἕλλησιν ἐξεπόμπευον. καὶ τὸν Μάρτυρας Σάγκτον καὶ Βλανδίναν ὁμολογῆσαι διὰ βασάνων ἠνάγκαζον. οἷς εὐσόχως Βλανδίνα ἐπαρρησιάσατο, ὡς οὐ ἠρνῆσα, τούτων ἀνάσχοιντο οἱ μὴ δι' ὧν ἐφειμένων κρεῶν δι' ἄσκησιν ἀπολαύοντες. ἡμέραν δὲ ἐποποιεῖ, τὴν καθ' κόσμον ἐξέτασιν καλεῖ. ἐξετάσεως γὰρ ὑπ' αὐτῶν τοῦ βίου ἡμῶν γενομένης, εἶτα πρὸς τὸ ἐναντίον τῆς ὑπολήψεως ὧν πραγμάτων ἐυρισκομένων, αὐτίτε πρὸς οἷς αἰσχυνόν-
» ται ἐπανορθοῦνται, καὶ ὁ θεὸς δοξάζεται. Ὑποτάγητε οὖν πάσῃ ἀνθρω-
» πίνῃ κτίσει διὰ τὸν κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐ-
» τοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν, ὅτι οὕ-
» τως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν ὧν ἀφρόνων ἀνθρώ-
» πων ἀγνωσίαν. Κτίσιν ἀνθρωπίνην τὰς ἀρχὰς λέγει τὰς χειροτονητὰς ὑπὸ ὧν βασιλέων, ἢ καὶ αὐτοὺς τοὺς βασιλεῖς, καθότι καὶ αὐτοὶ ὑπὸ ἀνθρώπων ἐτά-

χθησαν ὑπὲρ ἐτέθησαν. οἶδε γὰρ ἡ γραφὴ καὶ τὼν θέσιν κτίσιν καλεῖν, ὡς ἓν τῷ, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον. ἀντὶ γὰρ τοῦ θῆται, ὑπὲρ κατατάξῃ. φησὶν οὖν. ὑποτάγητε τοῖς κοσμικοῖς ἀρχουσιν, ὑποτάγητε δὲ διὰ τὸν κύριον. τὸ δὲ, διὰ τὸν κύριον, ὡς ὁ κύριος προσέταξε. Τί δὲ ὁ κύριος προσέταξεν; ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. ὥστε ὅτι αὐτὸς ἔξω προστάσσωσι τοῦ θεοῦ, παρὰ τὼν διάταξιν οὐ τοῦ θεοῦ, οὐκ ὑπακουτέον αὐτοῖς. τοῦτο δὲ ὅλως καὶ ὁ κύριος ὁ γύρου μαθητὴς ὑπετέλλετο, ἵνα μὴ ἐκωσὶ λέγειν Ἕλλωες, ὡς ἀνατρωτὼν φέρει τὸ βίου ὁ χριστιανισμὸς, καὶ ἀταξίας ἐστὶ καὶ συγχύσεως αἴτιος. προστίθησι δὲ τὸν κύριον, καὶ διὰ τοῦτο πίστεως. ἦκός γὰρ τινας αὐτῶν ἐρεῖν, ὅτι τῶν ὧν γράφων ἡμᾶς βασιλείας ἀξιῶν καὶ μέγα ἡμῖν ἀξίωμα διὰ γύρου προτιθεὶς, τί πάλιν ἡμᾶς ἐυτελίζῃς, κοσμικοῖς ἀρχουσιν ὑποτάσσων ἡμᾶς. ἔστις οὖν ταῦτα ἐρεῖ, μαθέτω φησὶν, ὡς οὐκ ἐμὸς ὁ λόγος τοῦ προστάγματος γύρου, ἀλλὰ τοῦ κυρίου. ἔδοξε δὲ καὶ αὐτὸς ὁ Πέτρος, ποῖσι καὶ ποίοις ἀρχουσιν ὑποτάσσεσθαι δεῖ, ὅτι τοῖς τὸ δίκαιον ἐκδικοῦσιν. ἐπιφέρει δὲ καὶ τὼν αἰτίαν, ὅτι καὶ τοῦ θεοῦ τὸ θέλημα, ἐξ ἡμῶν τὸ τοὺς τῆς ὑποταγῆς τῆς πρὸς τοὺς ἀρχοντας, καλοκαγαθίας ἐστὶ δεῖγμα. καὶ τὸ τελέον, τοὺς ἀπίστους αἰσχύνῃ. ἐνῶ γὰρ ὡς ἀλαζόνων ἡμῶν καταλαλοῦσι καὶ αὐθαδῶν καὶ ἀνυποτάκτων ὁρῶντες ἡμᾶς καὶ ζῶ πρὸς καὶ πρὸς ἀπίστοις ὧν οἷς δεῖ, μᾶλλον φιμοῦνται καὶ κατασχύνονται. Ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὼν ἐλευθερίαν, ἀλλὰ καὶ ὡς δοῦλοι θεοῦ. πάντας τιμήσατε. τὼν ἀδελφότητα ἀγαπᾶτε. Τὸ ἑξῆς οὕτως. ὑποτάγητε ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὼν ἐλευθερίαν, ἀλλὰ καὶ ὡς δοῦλοι θεοῦ. μὴ μόνον ἄρχοντας, ἀλλὰ καὶ πάντας τιμήσατε, τὼν ἀδελφότητα μὲν ἀγαπῶντες, τὸν δὲ θεὸν φοβούμενοι, τὸν δὲ βασιλέα τιμῶντες. τὸ δὲ, ὡς ἐλεύθεροι, ὁ μὲν χρυσοῦς Ἰωάννης οὕτως ἀνέῳξεν ἡμῶν, ὅτι ἵνα μὴ λέγωσιν, ἠλευθερώθημεν ἀπὸ τοῦ κόσμου, γέγονα πολῖται γεγόναμεν, καὶ σὺ πάλιν ὑποτάσσῃς ἡμᾶς τοῖς ἄρχουσι, καὶ ὑπακούειν πεπρέσωκε γύρου χάριν φησὶν, οὕτως ὑπακουιτέον ἐλεύθεροι, τουτέστιν ὡς πιστεύσαντες τῷ ἐλευθερώσαντι, καὶ προστάξαντι τοῦτο ποιεῖν. οὕτω γὰρ ἂν δόξειε τοῖς κακὸν γνώμην κακίας, τουτέστι τὸ ἀπλοῦς καὶ ἀνικοῦν ἔχειν προκάλυμμα τὼν ἐλευθερίαν, δῆθεν ἀναίνεσθε τὼν ὑπακοὼν. ἔστι δὲ καὶ καθ' ἑτέραν ὑπόνοιαν ἐρεῖντι πρὸς αὐτὸν. ἐλεύθερός ἐστι καθ' ἑαυτὸν, ὁ μηδενὶ ὧν ἀθέτων ὑπείκων. ἐπεὶ τίνων τὸ ἐν ὑποκείσει διαβιοῦν, οὐκ ἐλευθέρου ἀλλὰ πάθεσιν ὑποκειμένου, ἤτοι ἀρετσκείας, ἤτινος ἀλλης αἰσχρᾶς ἡδονῆς, δι' ἃ καὶ μὴ τοῦ φαίνεσθαι ὅπως ἐστί τις κατασχηματίζεται, οἷς καὶ δουλεύειν ἀνέχεται, (ξένον δὲ τοῦ καὶ θεοῦ θεραπόντων ἀμότριον,) προστάττει νῦν τὼν ὑποταγὴν τοῖς ἄρχουσιν ὡς ἀληθοῦς καὶ ἀδόλου ἐνδείκνυσθαι τρόπου. ἀλλὰ μὴ δυσμενῶς ἔχοντας πρὸς αὐτὸν, ὡς κατηναγκασμένην τὼν ὑπακοὼν ἐνεργεῖν. καὶ τίς ῥᾳθυμίας ὑποικουρούσης ἡμῖν κακίας, τὸ ἄδολον δῆθεν καὶ ἀπλοῦν τοῦ τρόπου ποιεῖσθαι προκάλυμμα

καλύμμα, φαινομένου τὼν ὑποταγὴν, ἀλλ' ὄχι καὶ ἐκ διαθέσεως ταύτην ἐπιτελοῦντας. Τὸν θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε.

Σκέψει τὼν ἀκρίβειαν, πῶς. τῷ μὲν θεῷ τὸν φόβον φησὶν ἀπονέμειν, τῷ βασιλεῖ δὲ τὼν τιμὴν. ὥστε ἡ τῷ θεῷ τὸν φόβου ἀπονεμητέον τῷ δυναμένῳ καὶ ψυχὼ καὶ σῶμα ἀπολέσαι, ὄκ ἂν ὑπείκομεν βασιλεύσιν ἐπὶ τοῖς ἀθέτων παρακαλοῦσιν ἡμᾶς. ὁ γὰρ τὸν θεὸν φόβος, νικᾶν οἶδε καὶ τὼν τοῦ βασιλέας τιμὴν. μᾶλλον δὲ καὶ τῆς τιμῆς αὐτοὺς ἀποστερήσει ὁ ὑπ' αὐτῶν εἰς κακὰ βιαζόμενος, καθ' ὃν ἡ πρῶτα ἄμον. ὀφουδένωται ὀνώπιον αὐτοῦ πονηρευόμενος. Οἱ οἰκέται ὑποτασσόμενοι. Προσυπακουτέον τὸ ἦτε, ἵνα ᾖ. οἱ οἰκέται ἦτε ὑποτασσόμενοι. ὁμοίως καὶ ἐπὶ τῶν. αἱ γυναῖκες.

Ἐν παντὶ φόβῳ, τοῖς δεσπόταις, ὃ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. τοῦτο γὰρ χάρις, ἡ διὰ συνείδησιν θεοῦ ὑποφέρουσα λύπας πάσχων ἀδίκως. ποῖον γὰρ κλέος ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' ἐὰν ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε. τοῦτο γὰρ χάρις παρὰ θεῷ. εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁμαρτίαν ὄκ ἐποίησεν, ὄκ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ὃς λοιδορούμενος, ὄκ ἀντελοιδόρει, πάσχων ὄκ ἠπείλει. Ἐν παντὶ φόβῳ. τὸ φόβου πολλαχῶς λεγομένου. λέγεται γὰρ φόβος, καὶ ὁ ζῶν ἐπιτίμιος. ὃν οὗτος νῦν διὰ συνείδησιν φησὶν, ὃς καὶ εὐλάβεια καλεῖται. λέγεται φόβος καὶ ὁ παθητικὸς, τουτέστιν ὁ διὰ κολάσεως πεῖραν τισὶν ἐγγινόμενος. ὃν καὶ τὰ θεῖα φοβεῖται. λεγομένου πάλιν φόβου καὶ τοῦ προκαταρκτικοῦ, ὃς τοῖς τῷ κυρίῳ προσερχομένοις ἐπακολουθεῖ, διὰ τὸ συνειδέναι ἑαυτοῖς πολλὰ ἐπὶ πταισίαν ἐκκαλούμενα, ὃν καὶ ἡ ἐν εὐαγγελίοις πόρνη φοβηθεῖσα προσῆλθε χῷ. ἀλλὰ καὶ τὸ τελεωτικοῦ φόβου πάλιν λεγομένου, ὃς πᾶσι τοῖς ἁγίοις ἀεὶ πάρεστι, διεδίοσι μήτι ἐλλείπωσιν ὧν ἦκός ἐστι πρᾶξαι τοῖς εἰς τελείαν ἀγάπω ἀναληφθεῖσι. τοσαυτάχως τὸ φόβου λεγομένου, ἡ μὲν καὶ διὰ πάντων τούτων δίκαιον τοὺς δούλους τοῖς ἰδίοις προσφέρεσθαι δεσπόταις, ὄκ ἂν ἀπαγορέυσειεν ὁ τῷ παντὶ φόβῳ ὑποτάσσεσθαι τοὺς δούλους τοῖς δεσπόταις παραινῶν νῦν. ὅτε γὰρ προκαταρκτικὸς, ὅτε τελειωτικὸς καλῶς ἂν αὐτοὺς διαθεῖεν προσόν. ὁ μὲν τὸ μήποτε διὰ πλημμέλειαν ὑπολίσθησεσθαι παθεῖσι τῶν ἀνικέτων, ὁ δὲ τὸ μηδὲν ἀδικεῖν συνοισθῆναι τῷ ἑαυτῶν καταπράξασθαι δεσπότῃ. νῦν γοῦν φόβον τὸν διὰ συνείδησιν, τουτέστι τὸν ζῶν ἐπιτίμητὸν ὀρθοῦ λόγου γινόμενον φησιν, ὃς ἐστιν, ὁ ὂν τῷ μηδὲν ἁμαρτάνειν, πρὸ ὧν σκολιῶν δεσποτῶν τοῖς ἑαυτῶν ἐναγόμενος οἰκέτας. τοῦτον οὖν τὸν φόβον ἐπαίνων ἀξιῶν παρεγγυᾷ καταδέχεσθαι μεθ' ὑπομονῆς. ἐπεὶ τίς γε δι' ἁμαρτίας, ἤτοι ἐνεργηθείσας, ἢ καὶ μὴ πρὸ χθὲς φυλασσομένους, φόβον ἔχοντας ὑπομένειν, εἶτα δι' αὐτὰς πάσχοιεν, ἐυγνωμόνων μὲν καὶ τῶν δούλων, καὶ πρὸς διόρθωσιν ἀ-

ποινούντων,

πονευόντων, ἀλλ' οὕτω τοσαύτης φιλοσοφίας, ὅσης τῷ μηδὲν ἑαυτῷ συνειδότι κακὸν ἐγκαρτερεῖν εὐχαρίστως. τὸν γὰρ μέγα, τὸν καὶ παρ' ὀλίγοις ἐπιτελούμενον. τὸν καὶ πρὸς θεῷ τυγχάνων ἀποδοχῆς, ὡς τοῖς τοῦ χριστοῦ παθήσιν ἀναπληρούμενον. ἐπεὶ δὲ αὖθίς φησιν. ὅτι καλὸν ὑπομένειν οἰκείας ἐπάσχειν ἁμαρτίας. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν. ἀνὴρ ὑπὲρ ἡμῶν καὶ ὧν ἡμετέρων ἔπασχεν. ἀνὴρ ὧν ἀνομιῶν τοῦ λαοῦμου, ἤγουν διὰ τὰς ἀνομίας τοῦ λαοῦ, ἦλθεν εἰς θάνατον, φησὶν ὁ προφήτης. ἐπαινετὸν μὲν οὖν τὸν φόβον πίθεται. ἀναπείθει καὶ τοῖς ἄλλοις φόβοις τοὺς δούλους βούλεται προεικοτεῖσθαι. καὶ δῆλον ἀφ' ὧν φησιν, ὃν παντὶ φόβῳ. ὑπερφυῶς δὲ ἀντέθηκε τοῖς ἄλλοις φόβοις τὸν διὰ συνείδησιν φόβον, καὶ μόνου τούτου εἶναι τὸ ἀξιέπαινον, ἀληθεστάτῳ ἀποφήναι λόγῳ, ὡς ὧν μὲν ἐχόντων τὸ παράπτιον τοῖς ὧν δεσποτῶν εἰς αὐτοὺς ὀργῆς, τὸ δὲ μηδὲν μεμέμου.

» Παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν
» ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. Τὸ μὲν γὰρ, παρεδίδου τῷ κρίνοντι δικαίως, τῷ θεῷ φησιν, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. τοῦτο γὰρ τὸ δίκαιον. ἀνὴρ ἴσως ἐρεῖτις. πῶς φησὶ νῦν ὁ Πέτρος τὸν κύριον λοιδορούμενον μὴ ἀντιλοιδορεῖν, μὴ δὲ πάσχοντα ἀπειλεῖν; καὶ τί ὁρῶμεν αὐτὸν, καὶ κύων ἐνεοὺς καλοῦντα τοὺς Ιουδαίους, καὶ τυφλοὺς τοὺς Φαρισαίους. καὶ τῷ Ιούδᾳ ἀπειλοῦντα δι' ὧν φησι. καλὸν ἦν αὐτῷ εἰ γὰρ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. καὶ ἀνεκδότερον ἦσαι Σοδόμοις, ἢ τῇ πόλει ἐκείνῃ. καὶ ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ. καὶ ἄλλα μυρία. ἐροῦμεν οὖν, ὅτι μὲν τοῦτο λέγει, ὅτι οὐκ ἐλοιδόρησεν ὁ κύριος ἢ οὐκ ἠπείλησεν, ἀλλὰ λοιδορούμενος οὐκ ἀντελοιδόρει, οὐ δὲ τῷ πάσχειν ἠπείλει. ἀλλ' εἴ τι καὶ ἐλοιδόρησεν, οὐκ ἀντεξαγόμενος τοῖς λοιδοροῦσιν, ἀλλ' ἐπιπλήττων καὶ διασύρων τοὺς ἀνεπιτρόφους. λοιδορηθεὶς δὲ καὶ λοιδορούμενος Δαιμόνιον ἔχεις, καὶ, εἰ τῷ ἄρχοντι τῶν Δαιμονίων ἐκβάλλεις τὰ δαιμόνια, καὶ ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης. σκόπει. ἆρα ἀντελοιδόρησεν αὐτοὺς ἢ τῶν τι κατ' αὐτῶν βλάσφημον; οὐκοῦν ὅμως. ἀλλὰ τοῖς μὲν εἶπεν, ὅτι ἐγὼ ἐν Βεελζεβούλ ἐκβάλλω τὰ Δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; τῷ δ' ἄνθρωπος φάγος καὶ οἰνοπότης ἀντέθηκε τῶν ὧν παιδίων ἐν τῇ ἀγορᾷ πρὸς τοὺς συμπαίσοντας ἀγανακτούντων πραβολῶ, ἐφ' οἷς ὑπλικότων γὰρ ὠρχήσαντο, καὶ θρηνησάντων γὰρ ἐκόψαντο. σωφρούμενος δὲ καὶ πάσχων κακῶς, προσηύχετο μᾶλλον, ἀλλ' οὐκ ἠπείλει. τῷ δὲ Ιούδᾳ πρὸ τοῦ προδοῦναι καὶ παθεῖν τι κακὸν, ἠπείλει ἀναστέλλων αὐτὸν τῆς πονηρᾶς ἐπιχειρήσεως. ὡσάυτως καὶ τοῖς μὴ δεξομένοις τοὺς μαθητὰς τὸ χεῖρόν τι παθεῖν Σοδομιτῶν ἀπεφήνατο, τὸ μὲν ἐπὶ ξενοδοχίαν προτρέπων αὐτοὺς, τὸ δὲ καὶ διὰ τοῦ φόβου ὑπανοίγων τῷ εὐαγγελίῳ τὸν τοῦ κηρύγματος χῶραν. ὥστε οὐκ ἄν τῷ κακῶς πάσχειν ταῦτα ἠπείλει. καὶ ἀληθεύσαντος ὁ πρὶ ἀνεξικακίας διὰ τὸν κύριον τοῦ Πέτρου λόγος, μηδενὶ φάσκων ἀντέχεσθαι αὐτὸν τοῖς ἐπηρεάζειν ἐπιχειροῦσιν.

Ινα ταῖς

» Ινα ταῖς ἁμαρτίαις ἀπογενόμενοι. Ἀντὶ τοῦ ἀποθανόντες.

» Τῇ δικαιοσύνῃ ζήσωμεν. οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. ἦτε γὰρ ὡς πρόβατα πλανώμενα. ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

Τῷ μώλωπι. μαστιγωθεὶς γὰρ ὑπὸ Πιλάτου, καὶ μώλωπας ἐπὶ τοῦ σώματος ἔφερεν.

» Ομοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴτινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς.

Διὰ πάντων τούτων τὸν ἠθικὸν λόγον συμπεραινόμενος, διὰ βασιλέων, διὰ ἀρχόντων, διὰ δεσποτῶν, διὰ δούλων, καὶ τοῖς μὲν βασιλεύσι καὶ ἄρχουσιν ὑποτάσσεσθαι οἷς δεῖ καὶ οὗ οἷς δεῖ νομοθετήσας τοὺς ἀρχομένους, καὶ δείξας διὰ τούτου ὅτι καὶ αὐτοὶ οἱ ἄρχοντες σωσμά τι δικαιοσύνης ἔχοντες τοὺς νόμους, ὅσα μὲν κατ' αὐτοὺς ποιοῦσιν, γ' καθεκείθησθαι, ὅσα δὲ παρὰ τούτους ἀνόμως καὶ ἀκείτως καὶ τυραννικῶς, οὐ τούτοις καὶ ἀπολωῶται. (ἐπὶ συμφέροντι γὰρ τῶν ἐθνῶν ὁ νόμος ἐδόθη αὐτοῖς, ὡς καὶ Παῦλος βοᾷ. ἀλλὰ καὶ οἱ ἄρχοντες ὁμοίως τοῖς νόμοις ἐπὶ συμφέροντι ἐδόθησαν, ἀλλ' γὰρ ὡς θῆροι κακῶς βούλονται τὸ Διαβόλου εἶναι πῶν ἔθνος σίαν ὧν ἐπὶ γῆς, τῷ Διαβόλῳ σωαγορεύοντες κατὰ τοῦτο, ἐπόντι πρὸς τὸν κύριον. ταῦτα πάντα ἐμοὶ δέδοται, καὶ ᾧ ἂν βούλωμαι δίδωμι αὐτό. γὰρ τῇ τούτου κελεύσει βασιλεῖς καθίστανται, οἱ τινες πρὸς ἐπανόρθωσιν ὧν κακῶν δέδονται, τὸ Διαβόλου μηδὲν τιοῦτον ἐμπολιτεύεσθαι τοῖς ἀνθρώποις ἐσεγομένου. ἐδόθησαν γὰρ ἐξουσίαι καὶ ἄρχοντες ὑπὸ θεοῦ, οἱ μὲν εἰς σωτήρησιν τοῦ δικαίου καὶ ἐπανόρθωσιν καὶ ὠφέλειαν ὧν ὑπετεταγμένων, οἱ δὲ φόβον πρὸς τιμωρίαν καὶ ἐπωλιξιν ὧν ἁμαρτανόντων, οἱ δὲ καὶ εἰς τὸ τοὺς ἐξυβείσαντας δικαίως πῶν ἀξίαν ἀπολῦσαι.) δείξας οὖν τοῦτο καὶ ὅτι τὸ ὑποτάσσεσθαι τούτοις ἀγαθὸν, τὸ δὲ ἀπειθεῖς εἶναι κακὸν, ὡσαύτως δὲ καὶ τοὺς δούλους ὑπακούειν τοῖς κατὰ σάρκα κυρίοις νομοθετήσας, καὶ ὅτι οἱ ἀναιτίως ὑπὸ ὧν κακῶν κυρίων πάσχοντες καὶ ὑπομένοντες, οὗτοί μάλιστα τὸ εὐδόκιμον ἀποφέρονται, καὶ διὰ τούτων, πρόσωπα, σωφρονίσας καὶ τοὺς δεσπότας διὰ τῆς διαβολῆς ὧν κακῶν δεσποτῶν, μέτεισι λοιπὸν καὶ ἐπὶ πῶν γυναικωνίτην, καὶ φησι, τὰς γυναῖκας δοὺ ταῦτα ἀπουδεύξθω, ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσι, καὶ κόσμου παντὸς καὶ καλλωπισμοῦ ἀλλοτρίας ἀποφαίνθω ἑαυτάς, μιμουμένας τὰς ἁγίας γυναῖκας. ἐπεὶ καὶ αὗται, φησι, κόσμον τὸν ἥδεσαν μόνον, τὸ πρὸς τοὺς ἑαυτῶν ἄνδρας πειθώιον. καὶ τί τὸ αὐτῶν τούτων κέρδος; ὁ αὐτὸ ὧν ἔξω τῆς πίστεως ἀγαθὸς ζῆλος, ὃς καὶ αὐτὸ τῆς ὧν ἀρχόντων παρρησίας ἀποτίκτεται. καὶ ἡ πρὸς θεὸν ὑπ' αὐτῶν δι' ἡμᾶς εὐχαρίστια. ὃ καὶ μέγα καύχημα χειραιωθῶν, γ' βλασφημουμένου δι' ἡμᾶς, ἀλ' εὐλογουμένου τὸ ὄνομα τοῦ θεοῦ. ἡτῶν δὲ ἀοιδίμως τὰς ἁγίας γυναῖκας ἐπάγει καὶ ὡσμένως τὸν Σάῤῥαν, καὶ προσκλητικώτερόν τι ποιῶν, καὶ θυγατέρας αὐτὰς φησι ταύτης τῆς Σάῤῥας, ἤγουν κατὰ τὸν πίστιν, ἣ καὶ κατὰ τὸ γένος. ἀναίκη γὰρ τὰς θυγατέρας μιμεῖσθαι τὰς ἑαυτῶν μητέρας. μετὰ δὲ τὸ εὐκόσμου, καὶ πρέποντος χειραιοῖς κόσμου, καὶ ἐλεήμονας αὐτὰς εἶναι παραινεῖ, μηδὲν ὑπερβλεπομένους

τὸν αὐτὸ

τὸν αὐτῶν ἀνδρῶν αὐτῶν διὰ τοῦτο ἐκλογισμόν. τοῦτο γάρ ἐστι, μὴ φοβούμενοι μηδεμίαν βλάπτειν, ἐμφαίνει. ἡνὸς γάρ τοὺς ἄνδρας ἑαυτοῦ καὶ τῶν ἀναλωμάτων αὐτοῖς λόγον ἀπαιτεῖν. οὕτω μετεωρίσας τὸν λόγον καὶ τὸ φιλόψυχον τοῦ θηλέος, ἐπὶ τὸ ἐλευθεριώτερον χρῆσθαι τοῖς καθ' ἑαυτὸν οἶκον παρακαλέσας, ἐστέρξει καὶ τῶν ἑαυτῶν ἀνδρῶν πρὸς τὰς ἑαυτῶν γαμετὰς αὐστηρότητα, καὶ φησιν, οἱ ἄνδρες καθ' ἡσυχίαν σωφρονοῦντες, φυτέσιν αἰδησιν λαμβάνοντες τῆς τοῦ θηλέος κυφότητος καὶ τοῦ ἐμπαραφόρου τοῦ πᾶσι καὶ ἐς μικροψυχίαν ἐνολίσθου, μακρόθυμοι γίνεσθε πρὸς αὐτούς, μὴ λόγον ἀπαιτοῦντες πικρῶς ἐπὶ τῶν οἰκίαν αὐτοῖς ἐς ταμείαν παρακατατεθέντων. τοῦτο δέ, ὡς ἔφημεν ἡμεῖς, διὰ τὸ ἐλευθεριώτερον αὐτοῖς φανεῖ τῶν ἐς τὰς φέναπτας ἐπίδοσιν διαγινομένας, μὴ ἀκριβεῖς εἶναι ἀξιοῦντας αὐτοὺς ἀνδρας παραινεῖ. ἐμοὶ δὲ δοκεῖ καὶ βαθύτερόν τι διὰ τούτων ἠσάλευν, καὶ σεμνότερον Παύλου αἰνίττεσθαι ἐπὶ τῆς γαμικῆς χρήσεως. Παῦλος μὲν γὰρ ἀναφανδὸν βοᾷ, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου, καὶ ἐξῆς. οὗτος δὲ σεμνότερον, ὡς ἔφημεν, γνῶσιν φησὶν, καὶ διὰ τούτου αἰνιξάμενος τὸ πρᾶγμα, παραινεῖ ὡς εὐκολωτέρῳ πρὸς τοῦτο τῷ γυναικείῳ φύλῳ, μὴ ἐπιτιμητικῶς μᾶλλον σφοδρότητος πρεῖσθαι τῶν ἀπ' αὐτῶν ἀπόστασιν, ἀλλὰ πρῶτον μὲν ὡς ἀσθενεστέραις συγγνωμονικῶς αὐταῖς χρῆσθαι. εἶτα πειθηνίαν μέν τινος φιλοτιμίας τῶν τοιούτων καταδέχεσθαι ἀρχήν. τοῦτο γάρ βούλεται δηλοῦν, (τῶν φειδωφήμων,) διὰ τοῦ φωνεῖν, ἀπρεπέμοντες τιμήν. τιμὴ γάρ ἡ μή τις πορίτι ὀνοράται, ἡ δὲ φειδὼς ἐπακολουθεῖ. εἶτ' οὖν ὡς ἀσθενεστέραις, ἢ καὶ ὡς συγκληρονόμοις χάριτος ζωῆς, οὕτως αὐταῖς χρῆσθαι περὶ τὰ τοιαῦτα ὧν ὁμιλεῖν δεῖ. καὶ ὅτι ἡ κακῶς ταύτῃ τῇ ἐννοίᾳ ἐχρησάμεθα, τὸ ἠφερόμενον δηλοῖ, ἐς τὸ μὴ ἐκκόπτεσθαι, φάσκον, ὡς προσευχαὶ ὑμῶν. τίνα γάρ εἰκότην φέρει προσευχῆς, ἀνδρὸς πρὸς γυναῖκα αὐστηρία; πολλὴν μὲν οὖν καὶ προσοχὴν καὶ ἀσυδησίαν ἐς πρὸς ταῦτα ὀλιγωρία, ἐν καιρῷ προσευχῆς. ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ περὶ τούτου. ᾧ δὲ τὸ ἄμεινον κεῖσθαι ἡ φθόνος ἐμοί. Ἀνευ λόγου κερδηθήσονται, ἐπιπεύσαντες τῷ τοῦ φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. ὧν ἔστω ἡ ἔξωθεν ἐκπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος. Ἀνευ λόγου, ἤγουν σχολάζοντος παντὸς λόγου καὶ πάσης ἀντιλογίας, ἢ ὡς τῆς διὰ ῥημάτων ἔργων ἐπιδείξεως κυριωτέρας οὔσης τῆς διὰ ῥημάτων λόγων περιεργίας. ἄφωνον γάρ ἔργον κρεῖσσον ἀπράκτου λόγου. Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πλουτελές. οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν θεόν. Πᾶσα γάρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως, ἔσωθεν. οἵδε γάρ καὶ οὗτος καθὼς τὸν μακάριον Δαυὶδ καὶ Παῦλον, ἕτερον τὸν ἐντὸς ἄνθρωπον παρὰ τὸν ἐκτός.

Ἐκόσμουν ἑαυτὰς ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν. ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα. ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν,

γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν ὡς καὶ συγκληρονόμοις χάριτος ζωῆς, ἵνα τὰ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

Ἐκόσμουν ἑαυτάς. ὁρᾷς κόσμον ἐνταῦθα τὴν ὑποταγὴν φησι. Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὐσπλαγχνοι, φιλόφρονες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες.

Ἀπρόσκοπος ὢν κατ' ἄνδρα μου θεσπισμάτων καὶ καθ' ὑγιαίνοντα, κοινὴν ποιεῖται λοιπὸν τὴν παράκλησιν πρὸς ἅπαντας, ἄνδρας, γυναῖκας, γέροντας, παρθενικώτας, ἢ ὠδίνοντας, βασιλεῖς, ἄρχοντας, ἀρχομένους, πολιτευομένους, ξένους, ἀσθενοῦντας, πλουσίους, πένητας. διὸ ἐπάγει. τὸ δὲ τέλος. ἀντὶ τοῦ. τί χρὴ ἰδιολογεῖσθαι; ἁπλῶς πᾶσι φημί. πᾶσι γάρ τέλος. ἐπὶ πᾶσιν ὁ σκοπὸς ἀφορᾷ τὴν σωτηρίας, ἐν οἷς νόμος πᾶσιν ἀγάπης. ἐξ οὗ φύεται πᾶσα ἀρετὴ, ἢ ταπεινοφροσύνη, συμπάθεια, ἢ εὐσπλαγχνία, καὶ αἱ ἄλλαι ὁμοίως ἀρεταὶ, ἃς καταρίθμησεν. ὧν ἡ μὲν ὁμοφροσύνη ἐστὶ σύννευσις περί τι μετὰ ἀπουδῆς ἀδιάφορος. συμπάθεια δὲ ὁ πρὸς τὸν κακῶς πάσχοντας ὡς καὶ ἐφ' ἑαυτοῖς ἔλεος. φιλαδελφία δὲ ἡ ὡς ἐπ' ἀδελφοῖς ὀφλομένη πρὸς τοὺς πέλας διάθεσις. εὐσπλαγχνία δὲ ἡ ἀπὸ ψυχῆς ἐπ' ἀγαθοποιΐᾳ ὧν ὁμογενῶν κίνησις. φιλοφροσύνη δὲ ἡ πρὸς πάντας ἡμερότης καὶ πρᾳότης. ἤτις καὶ πρὸς ὁμόθεις ἀν γένοιτο καὶ φίλους. ταπείνωσις δὲ, ἤτοι ταπεινοφροσύνη, τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγνώσεσθαι τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κατηγορίας, ὃ καὶ εὐγνωμοσύνη ἂν εἴη. λοιδορία δὲ ἡ ἐκπυρᾶς συνηθείας ἀνάδοτος πορὶ τὸ καταλαλεῖν φιλοτιμία. ταύτας ταῖς προειρημέναις ὅσα φησὶ κοσμούμενοι ἀρετὰς, πρὸς οἷς οὐχ ἁλώσιμοι κακίᾳ ἀπροφανθείητε, ἔτι φησὶ καὶ ζηλωτὰ ἔσεσθε τῇ θείᾳ καὶ πανθαυμάσιοι βροτῇ. ὁ γάρ ἐκ πάντων εὐλογούμενος, καὶ ζηλωτὸς δήπου. καὶ τούτων ἐπάγει τὸν Δαυὶδ μάρτυρα, τίς ἐστι, φάσκοντα, ὁ θέλων ἰδεῖν ζωήν; ζωὴ γὰρ ἦν καὶ τὰ ἄλογα ζῷα, ἀπῆν ὁ κατὰ θεὸν ἄνθρωπος. καὶ ἡμέρας οὐχὶ κακὰς, ἀπὸ ἀγαθάς. αἱ γάρ τοῦ αἰῶνος τούτου ἡμέραι, κατὰ τὸν Πατριάρχην Ἰακὼβ, μικραὶ καὶ πονηραί. συμπαραμένος δὲ τῷ προφητικῷ χρήσιν, ἐπεὶ ἐν αὐτῇ, τὸ, ὀφθαλμοὶ κυρίου, ἔγκειται, ἐπὶ δικαίους, καὶ τὸ πρόσωπον αὐτοῦ ἐπὶ τοὺς ποιοῦντας κακά, τούτοις ἐπιφέρει, ὅτι ἡ οὕτω διαβιώσητε, εὐμενῆ ἕξετε τὸν θεὸν καὶ εὐήκοον. οὗ γνωμένου, τίς αὐτοῖς πρὸς ὑμᾶς γενόμενος κακὸν ὑμῖν ἐποίησε βλάβη; πάντα γάρ ἐν χειρὶ αὐτοῦ. θάνατος γάρ καὶ ζωὴ ἐν χειρὶ κυρίου. σωτὴρ ἐπιφανῆ πίστιν αἱ πορισάσεις αἱ διὰ τοῦ πίστιν, καὶ ἐδόκησαν, ἐπανορθούμενος ταῦτα ὁ μακάριος Πέτρος φησὶν, ὅτι, μὴ λογίζεσθε ταῦτα κακὰ, ἢ μὴ καὶ μακαρισμοῦ ἄξια. ὁ γάρ ἐξ ἀνθρώπων ἐπὶ τοῦτο φόβος ἀδεὴς λόγου ἄξιος, ἀπὸ ἐφημέρου ἐξ ἐφημέρων. ἢ γάρ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὧδε αὖθ' ἑξῆς ἐνδείκνυσιν αὐτῶν, ἐπὶ δὲ τοὺς ποιοῦντας κακὰ τὸ πρόσωπον αὐτοῦ, ἀπωλείαν ἐπαπειλοῦσι τοῖς κακοῖς, πάντως ἢ κακὰ ταῦτα, οὐκ ἂν ὁ ὢν ἀγαθὸν τιμᾶς ὑμᾶς τοὺς ἀγαπῶντας αὐτῷ, κακοῖς ἀντημείβετο. τὰ γὰρ κακὰ τοῖς κακοῖς καταπέμπει. ὥστε οὐ κακαὶ αἱ διὰ τὴν εὐσέβειαν θλίψεις. ἀγάζειν δὲ τὸν

δὲ τὸν κύριον ἐν ταῖς καρδίαις μετὰ Ησαΐου διακελεύεται. τουτέστι μὴ τῆς φαινομένοις μεγαλαυχεῖσθε, ἀλλ' ἐν τῷ κρυπτῷ τῆς καρδίας ὑμῶν ταμείῳ τὸν ἁγιασμὸν ἐνεργήσαντες τοῦ κυρίου, ὃς ἐν τῷ αὐτοῦ ὧν μιασμάτων, ἤγειρεν ὧν πνευμάτων ἐθνῶν ἀφορισμῷ ὧν ἐθνῶν πλήρης γίνεται, οὕτως αὐτὸν ἁγιάσατε. ἁγιάζετε δὲ αὐτὸ τῆς καλῆς ὑμῶν ἀναφορᾶς δοξαζόντων αὐτὸν ὧν ἀλλογενῶν ἀνθρώπων, ὡς καὶ αὐτὸς ὁ ἀνθρωπος παραγγέλλει διὰ τοῦ, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν ὧν ἀνθρώπων. τὸ δὲ ἕτοιμοι πρὸς τὸ ἀνωτέρω συμπακούεται τὸ, πάντες ὁμόφρονες ἔστε. τοῦτο γὰρ τὸ, ἔστε, καθ' ἑαυτοῦ καὶ τούτῳ ἀποδίδοται, ἵνα ᾖ, ἔστε ἀεὶ ἕτοιμοι. βούλεται δὲ παρακελεύεσθαι ἀεὶ τὸν πίστιν ἀνθρωπον πρὸς τὸν τῆς πίστεως λόγον, ὡς ὃν παντὶ καιρῷ ἀπαιτοῦμένοις ἡμᾶς τὸν περὶ αὐτῆς λόγον, εὐχερῶς ἀποκρίνεσθαι. ἀπεκνομένοις δὲ μετὰ πραΰτητος τοῦτο ποιεῖν, ὡς καὶ αὐτὸς τοῦ θεοῦ πρόνοις. ᾠδήσις δὲ τοῦ κυρίου αὐτὸς πρόνοις εὐγνώμων δοῦλος, ἀπαυθαδίασατο. καὶ τὸ αὐτὸ τούτου κέρδος ἐπάγει, τῶν αὐτὸ ὧν ἀπίστων περὶ ἡμᾶς ἐπιγνωμοζύνω τε καὶ εὐγνωμοζύνην. Ἐπιστατέον δὲ ὡς γὰρ ἐναντία ταῦτα τοῖς ὑπὸ τοῦ κυρίου ἠρημένοις, ἢ ὁ μὲν, μὴ μεριμνᾶν, φησὶν, ἐπὶ τοῖς ἀρχαῖς προσαγομένοις καὶ τοῖς ἐξουσίας τε ἀπολογεῖσθαι, Πέτρος δὲ πρὸς τοῦτο πεπιστεύσθαι ναῦν παραγέλλει. τὸ μὲν γὰρ ὑπὸ κυρίου περὶ μαρτυρίου εἴρηται. οἷς καὶ δοθήσεσθαί φησι δύναμιν καὶ λόγον κρείττονα σοφίας ἀνθρωπίνης, καὶ ὧν πρεσβύτων φόβων ἀφρόντισον, τὸ δὲ ὑπὸ τοῦ Πέτρου, περὶ δὲ διασκαλίας εἴρηται. τὸ γὰρ ἄνευ σωφρόνως καὶ ἐξετάσεως δοκεῖν τι ἡδέναι, μέμψιν φέρει. γνῶσις γὰρ ἀσωμάτων, ἀνεξέτασοι λόγοι. ἀμέλει τε, καὶ ἐπιδεῖ πολλὰ καταγόρουν ἡμῶν ἀθέμιτα, ἀλλὰ καὶ τὰς ἐλπίδας κενὰς ἡμῶν ἀποφαίνουτε, περὶ τούτων λελογισμένως φέρειν τὰς ἀποκρίσεις φησὶν ἔχοντας καὶ τὸν βίον σωφρονοῦντα. ὃ δὴ καὶ σωφρόνισιν καλεῖ. Εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον, ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθὸν, ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. ὅτι οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά. καὶ τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοζύνην, μακάριοι. τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε. κύριον δὲ τὸν θεὸν ἁγιάζετε ἐν ταῖς καρδίαις ὑμῶν. ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου. Τὸ ἔχειν γὰρ μετὰ τῆς προφερομένης κατασκευῆς. τὸ δὲ τέλος, ἤγειρε τὸ σωτηρικώτατον. πάντες ὁμόφρονες ἔστε καὶ ἑξῆς, ἰδόντες ὅτι εἰς τοῦτο ἐκλήθητε, εἰς τὸ εὐλογεῖν. τουτέστι, πάντας εὖ λέγειν. εὐλογεῖτε γὰρ καὶ Παῦλος, φησὶ, τοὺς διώκοντας ὑμᾶς. τοῦτο δὲ πρεσβύτης κληρονομήσητε ὄνομα παρὰ πάντων ἀκούειν, τὸ, οἱ εὐλογοῦντες. διότι γὰρ δίκαιον τὸν τῆς αἰωνίου ζωῆς ἀντεχόμενον διὰ τῆς γλώσσης τινὰ βλασφημεῖν. διὰ τοῦτο καὶ Δαυὶδ φαίνει, τὸν γλῶσσαν καθαρὰν ἔχειν λοιδορίας, τὸ θέλοντος ἐπιβάσεως διακεῖσθαι

πρὸς τὸν ὄντως ζωὴν καὶ ἑξῆς. οὕτω γὰρ πρεσπευασμένοι ἕξετε τὸν πανταχοῦ ἀμωμον καὶ παντεπόπτην ἐυήκοον καὶ ἡμέρως ἐπιβλέποντα, ἀλλ' οὐχὶ καὶ ὀργίλως, ὥσπερ πρὸς τοὺς κακοποιούς. ᾗ δὲ τοῦτο, τίς ὁ δυνάμενος κακῶσαι ὑμᾶς; ᾗ δὲ καὶ θλῖψις ἔσεσθαι ὑμῖν τοῖς τοῦ ἀγαθοῦ ἐργάταις καὶ μιμηταῖς, μὴ ὀλιγωρεῖτε, χαίρετε δὲ, πρῶτον μὲν ὅτι γε κατὰ ταῦτα, ἔπειτα ὅτι καὶ μακάριοι διὰ ταῦτα, ἀλλ' οὐχὶ ἆθλοι. Διὸ τὰς καρδίας ὑμῶν τὸν θεὸν ἁγιάζοντες, τὸν ἀνθρώπινον φόβον μὴ φοβεῖσθε, μηδὲ ταράσσεσθε. ἕτοιμοι δὲ ἕτοιμοι καὶ πρὸς ἀπολογίαν ἀεὶ τοῦ παντὶ τῷ ἐρωτῶντι ὑμᾶς περὶ τῆς καθ' ὑμᾶς ἐλπίδος ἀποδοῦναι λόγον. ἀπόδουναι δὲ μετὰ τοῦ καὶ πρᾶξιν ἐπιδείκνυσθαι ἀγαθήν. πρᾴως γὰρ καὶ μετ' ἐπιεικείας ποιοῦντες, ὅτε ἑαυτοῖς συνειδέναι πιστώσεσθε ἀγαθά, καὶ τοῖς πνεύμασι περὶ ὑμῶν ἔχοντας ὑπολήψεις καταισχυνεῖτε.

» Συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα ᾧ ᾧ καταλαλοῦσιν ὑμῶν, ὡς κακοποιῶν καταισχυνθῶσιν. Τουτέστιν ἀγαθὰ ἑαυτοῖς συνειδότες, ἀλλὰ καλά. ὥσπερ » οἱ βλασφημοῦντες ὑμᾶς βούλονται. Οἱ ἐπηρεάζοντες ὑμῶν τοῦ ἀγαθοῦ ᾧ Χριστῷ ἀναφοράν. Ἀντὶ τοῦ, οἱ λογοθραυομοῦντες, οἱ πικρῶς ὀξετάζοντες.

» Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ, πάσχειν, ἢ » κακοποιοῦντας, ὅτι καὶ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ » ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ. Η αἰτιολογία αὕτη, γὰρ πρὸς τὸ προσεχῶς ἠρημένα, ἀλλὰ πρὸς τὸ μικρὸν ἀνωτέρω, ὅτι εἰ καὶ πάσχοιτε διὰ δικαιοζύνην, μακάριοι ἐστε, διότι κρεῖττον ἀγαθοποιοῦντας πάσχειν κακῶς ἢ κακοποιοῦντας. ἢ εἴτις πρὸς τὸ προσεχῶς τὴν αἰτιολογίαν βούλοιτο ἀποδίδοναι, τὸ, ἀγαθοποιοῦντας, οὐχὶ πρὸς ἕτερον χρὴ λαμβάνειν ἐυεργετικῶς, ἀλλ' ἀπολύτως, ἀντὶ τοῦ ἀγαθὰ ἐργαζομένους. ὡσαύτως καὶ τὸ κακοποιοῦντας. προστίθησι δὲ τὸ, εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ, δεικνὺς ὅτι γε δίχα ἄνευ τῆς τοῦ θεοῦ ῥοπῆς ἡμᾶς γίνεται, ἀλλ' ἢ διὰ ἁμαρτιῶν κουφισμὸν, ἢ διὰ ἀπάρρησιν καὶ δόξαν ἡμῶν, ἢ καὶ ἡμᾶς ἑτέρων σωτηρίαν. τοῦτο δὲ διττόν. ἢ γὰρ κακοῦται τις δίκαιος πρὸς ὠφρονισμὸν ἑτέρων ἁμαρτωλῶν, καθὼς εἴρηται, ἢ ὁ δίκαιος μέλις σώζεται, ὁ ἁμαρτωλὸς τοῦ φανεῖται; καὶ τοῦτο δὲ διττὸν ἐμφαίνει τὴν ὠφέλειαν, τῷ μὲν πάσχοντι δικαίῳ, προθήκην δικαιοζύνης διὰ τῆς ὑπομονῆς, τῷ δὲ ἁμαρτωλῷ ὀρωντι ἁμαρτωλῶ, ἁμαρτίαν καθὼς εἴρημεν. ἢ ὅτι διὰ ταῦτα πάσχει δίκαιος, ἢ καὶ δι' ἑτέρων σωτηρίαν, καθὼς καὶ ὁ Χριστός. καὶ τοῦτο χαίειν καὶ Πέτρος προσίθησι νῦν τὸ τοῦ Χριστοῦ ὑπόδειγμα, ὅτι καὶ Χριστὸς ἅπαξ ἔπαθεν γε ὑπὲρ ἁμαρτιῶν οἰκείων ἔπαθεν, ἀλλ' ὑπὲρ ὧν ἡμετέρων. διὸ καὶ ἐπάγει, δίκαιος ὑπὲρ ἀδίκων. αὐτὸς γὰρ, ὡς καθ' ὅπιν διὰ τῆς προφήτου ἀπέδειξεν, ἁμαρτίαν γε ἐποίησε. δόλος δὲ τὸ τοῦ παθόντος δρασικελοῦντε καὶ δολερὸν, ἐπιφέρει τὸ ἅπαξ. προσεκτικὸν γὰρ φησιν ὑπῆρξεν ἡ τοῦ παθόντος δύναμις ὑπὲρ ὧν ἀνθρώπων, ὥστε ᾗ καὶ πολλὰ τὰ ἁμαρτήματα τούτων ἀναλαμβάνειν, ἓν μόνον ἀρκέσαι πάθος τοῦ κυρίου πᾶσαν ἀπαμβλῦναι τὴν δύναμιν ὧν ἡμετέρων ἁμαρτημάτων. ἐπεὶ ὧν

περὶ ὧν ὑπὲρ τῶν ἡμῶν πρὸς τὸν θεὸν καὶ πατέρα αὐτοῦ προσαγωγῆς ἐπαθεν, ἔδειξεν ὅτι ὑπὲρ πάντως πάντες οἱ πάσχοντες δι' ἁμαρτίας πάσχουσι. καὶ ἐφ-
δὲ Διπλοῖς ὁ Χριστὸς, θεὸς καὶ ἄνθρωπος, διπλὴν καὶ τὴν χαριν ἡμῖν προσχε
παθών. ἀποθανὼν γὰρ ὡς ἄνθρωπος, ἀπήλλαξεν ἡμᾶς τοῦ θανάτου καὶ τῆς
φθορᾶς, τὴν ἀνάστασιν ἡμῖν ἐγκαινίσας, καὶ δῆλα τοῦ ἑαυτοῦ ὑπόδειγμα, ὡς γὰρ
ἔτι οἱ ἀποθνήσκοντες ἀνέλπιστον ἀναστάσεως ὑπάρχοντα θάναρ. ζωοποιηθεὶς
δὲ, ρυτέσιν ἀναστὰς ἐκ νεκρῶν τῇ τῆς θεότητος δυνάμει, (ἀνέστη γὰρ ἐκ νεκρῶν, οὐχ ὡς
ἄνθρωπος, ἀλλ' ὡς θεὸς,) σωτηρίαν ἐποίησε τοῖς ἐν τῷ ᾅδῃ σωτηρίαν ἑαυτῷ. πολ-
λὰ γὰρ σώματα, κατὰ τὸν θεῖον εὐαγγελισμὸν, ὧν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ
ἐνεφανίσθη πολλοῖς. ἀμὰ τῷ λόγῳ μέχρι τούτου προβὰς καὶ δείξας, προκειμέ-
νου λοιπὸν, ὡς ἀπθανὼν ὠφέλησε τοὺς προκεκοιμημένους, ἅμα δὲ καὶ ξητή-
σεως πολλῆς οὔσης, ἡ τῆ σωτηρίᾳ πάντων ἀνθρώπων ἡ ἐνανθρώπησις τοῦ κυ-
ρίου, ποίας ἔτυχον σωτηρίας οἱ προθανόντες, λύει ἀμφότερα διὰ ἑνὸς καὶφησιν, ὅτι
ὁ τοῦ κυρίου θάναρος, ἀμφότερα ταῦτα ἠργάσατο, ἐλπίδα ἀναστάσεως δηλ. τ' ἀνα-
στῆναι αὐτὸν, καὶ σωτηρίαν πάλιν τῶν προκεκοιμημένων. οἱ γὰρ ἔργοις ἀγαθοῖς ἐνέσα-
τῶν καθ' ὃν τῆς ζωῆς αὐτῶν χρόνον πλανηθέντες βίον, ὡς ἡ καὶ τότε τῷ κόσμῳ
ἐπεδήμησε Χριστὸς, μὴ οὐ ἀπολειφθῆναι τὰ ζωποιοῦντος αὐτοῖς κηρύγματος,
οὗτοι καὶ τότε δηλ. τῆς ἐς Αδου τοῦ κυρίου καθόδου, τῆς σωτηρίας ἔτυχον, ὡς
καὶ Γρηγορίῳ τῷ θείῳ δοκεῖ. φησὶ γὰρ οὗτος. ἀπλῶς σώζει πάντας Χριστὸς ἐ-
πιφανείς; δηλονότι ὃν τῷ ᾅδῃ, ἢ κἀκεῖ τοὺς πιστεύσοντας; δηλ. γὰρ τὰ, πιστεύσοντας,
σημαίνει τοὺς οὕτω πεπιστευκότας ἑαυτοὺς, ὡς ἡ καὶ τότε πεζενετο, πιστεύσαντας.
καὶ γ' μάμψῳς τοῦτο. γ' γὰρ ἀπολυτρωτικῶς ἡ σωτηρία. ἐστὶ καὶ τοῖς ζῶσι πᾶσι
χριόμενος γ' πάντας σῴζει, ἡ μὴ μόνον τοὺς πιστεύσαντας. ἀλλὰ γὰρ καὶ τῆς ἑκά-
στου προαιρέσεως ἔργον ἐστὶν, τὸ, λογικὸν χριόμενον μὴ ἀναιδήτως ἔχειν τῆς τοῦ πε-
ποιηκότος ἀγαθότητος μεγαλοδωρεᾶς, ἀλλ' ἑαυτὸν παρέχειν τῆς τοῦ δεδω-
κότος ἀγαθότητος. τὸ δὲ, ἀπειθήσασιν, ἔοικε, λύων ἀπόρησιν τινά. ἦσάν γάρ
τινα ἐρεῖν. καὶ τίνος ἀμοῦ κηρύξαντος πρὸ Χριστοῦ; εἶτα ἀπιθήσαντες κατεκεί-
θησαν; ἢ τοῦ κατακρίσεως ἄξιοι γεγόνασιν οἱ πρὸ τοῦ χριστοῦ; καὶ ἔχων τοῦτο, ὡς καὶ
Παῦλος, ἀπὸ τῶν ἐνεσπαρμένων ἡμῖν λογικῶν δυνάμεων ἀποδείξαι, ὅτι κριτι-
κοὶ καλοῦ καὶ κακοῦ γεγονότες, εἶτα μὴ τὸ ἀγαθὸν ἐργασάμενοι, ἄξιοι κατακρί-
σεως οἱ τοιοῦτοι, γ' τοῦτο ποιεῖ, (κρείττονος γὰρ τοῦτο λογισμοῦ καὶ φιλοσόφου, ἢ
καθ' Ιουδαίων διάνοιαν,) ἀπὸ δὲ τῆς γραφῆς τὴν ἀποδειξιν πιστοῦται, καὶ οὐκ
ἀπὸ τῶν χρόνων τῶν Προφητῶν, ἀλλ' ἀπ' αὐτῆς σχεδὸν τῆς κοσμογονίας. ἀφ' οὗ πα-
ρίστησιν ὡς ἐξ ἀρχῆς ἐκηρύσσετο ἀνθρώποις ἡ σωτηρία, πρῶτα δὲ τοῖς πρὸ τ' μα-
τος καὶ ἀπολωλότα αὐτῶν ἀνακλίσει. ἀναριθμήτων γὰρ ὄντων ἀνθρώπων ἐκα-
τ' ἐκεῖνο καιροῦ, μόνοι ὀκτὼ ἀνθρωποι πεισθέντες τοῖς κηρυσσομένοις διὰ τῆς κατα-
τασκευῆς τῆς κιβωτοῦ, ἐσώθησαν. ἐπεδὴ δὲ ἐν ὕδατι ἡ ζωτηρία, εὐθέως τοῦτο γὰρ ἐπὶ
τῷ ἁγίου λαμβάνει βαπτίσματος, καὶφησιν, ὅτι τὸ ὕδωρ ἐκεῖνο, τὸ βάπτισμα
ὑμῶν

ὑμῶν ὑπηνίαξεν. ἐπεὶ καὶ τοῦτο ἀποπνίγει τοὺς ἀπειθοῦντας Δαίμονας, καὶ
σῴζει τοὺς πιστοὺς προσιόντας τῇ κιβωτῷ τῆς Ἐκκλησίας. ἅμα δέφησιν, ὥσωρ τὸ
ὕδωρ ἀποκλύζει τὸν ῥύπον, οὕτω καὶ τὸ βάπτισμα. ἀπ' οὐ σαρκὸς ῥύπου ἀπόθεσις
ἀσωργάζεται, συμβολικῶς δὲ τῶν τῆς ψυχικῆς κηλίδος πίστιν ἀποκλυσις.
ἔστι δὲ καὶ οἷον ἡ ἀρραβὼν καὶ ῥώννυσι τοὺς πρὸς θεὸν ἀγαθῆς συνειδήσεως. οἱ γὰρ
σωεδότες ἑαυτοῖς ἀγαθὰ, ρυτέσι οἱ βίου αὐτοῖς χρόνοι ἀμώμου καὶ τοῦτον ἐκ παν-
τὸς πεζιεργαζόμενοι οἷον ἐρωτῶντες, (τοῦτο γὰρ τοῖς ζητοῦσί τι ἐπακολουθεῖ, λέγω δὲ
τὸ ἐρωτᾶν,) οὕτω καὶ τῷ ἁγίῳ προστρέχουσι βαπτίσματι. καὶφησι τοῦτο παρέχειν
τὸ πεζητεῖν καὶ ἐπερωτᾶν τὸ θεῖον βάπτισμα; ἡ ἀνάστασις τοῦ Χριστοῦ. πρὸ μὲν γὰρ
τῆς ἀναστάσεως αὐτοῦ καὶ τὰ πάθους ἀπρόφαντα, τὸ ἐὰν μήτις γεννηθῇ ἐξ ὕδατος
καὶ πνεύματος. μετὰ δὲ τὴν ἀνάστασιν, τὸ, βαπτίζοντα πάντα τὰ προσιόντα εἰς τὸ
ὄνομα πατρὸς ἐ υ ἁγίου πνεύματος. ἐπεὶ δὲ τὸν τῆς οἰκονομίας λόγον δῆλθε,
λέγω δὲ τὴν εἰς Αδου πορείαν τοῦ κυρίου, καὶ τίνος χάριν κἀκεῖ πεπόρευται, ὅτι
τὴν σωτηρίαν καὶ τῶν ἐν Αδου, πάλιν ἑτέραν ἀφορμὴν ἀπὸ τοῦ θανάτου λαμβάνει τοῦ
κυρίου εἰς πρόκλησιν ἀρετῆς. καὶφησιν, ὅτι ἡ ἀποθανὼν Χριστὸς ὑπὲρ ἡμῶν σαρκὶ,
(οὐ γὰρ καὶ τῇ ἀθανάτῳ αὐτοῦ καὶ θείᾳ φύσει,) πάντως καὶ ὑμεῖς ἀντιδιδόντες
αὐτῷ τὸ ἀποθανεῖν δι' αὐτὸν τῇ ἁμαρτίᾳ, γκ ἔτι ἀνθρωπίναις πτυμίαις ἀλώ-
σεσθε. ἀμὰ καὶ τὸ θέλημα μόνον τοῦ θεοῦ τὸν ἐπίλοιπον χρόνον ζήσεσθε τὸν βίῳ
τῇ σαρκί. Θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι.
Θανατωθεὶς μὲν τῇ φύσει τῆς σαρκὸς, ρυτέσι τῇ ἀνθρωπίνῃ, ἀναστὰς δὲ τῇ δυ-
νάμει τῆς θεότητος. καὶ γὰρ πνεῦμά ἐστιν ὁ θεὸς, ὡς αὐτὴ τῆς Θεολογίας ἡμᾶς ἡ
σοφία ἐμυσταγώγησεν. Εν ᾧ καὶ τοῖς τῷ φυλακῇ πνεύμασι πορευ-
θεὶς, ἐκήρυξεν ἀπειθήσασί ποτε. ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία τῶν
ἡμέρας Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι, ρυτέσιν ὀκτὼ ψυχαὶ διε-
σώθησαν δι' ὕδατος. Εν ᾧ καὶ τοῖς τῷ φυλακῇ. τοῦτο ἀντὶ τοῦ διὸ κεῖται ἀποι-
λογικῶς. ἦσαν γὰρ ὅτι ὑπὲρ ὧν ἀδίκων ἡμῶν ἀπέθανε, καὶ ἐκτοῦτου δοὺς ἔμ-
φασιν ὅτι ὑπὲρ σωτηρίας ἁπάντων ἀνθρώπων τὸν θάνατον ὑπέστη, λέγει ὅτι διὸ
καὶ τοῖς ἐν τῷ Αδῃ κατεχομένοις ἐκήρυξεν. Ο ἀντίτυπον νῦν καὶ ἡμᾶς σώ-
ζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτη-
μα εἰς θεὸν, δι' ἀναστάσεως Ιησοῦ Χριστοῦ, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ πορευθεὶς
εἰς οὐρανὸν, ὑποταγέντων αὐτῷ Αγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.
Ο ἀντίτυπον. τὸ ἐξῆς οὕτως. ὃ ἀντίτυπον καὶ ὑμᾶς σῴζει νῦν βάπτισμα οὐ σαρ-
κὸς ῥύπου ὃν ἀπόθεσις ἀλλὰ συνειδήσεως ἀγαθῆς τῆς εἰς θεὸν, ἤγουν καθὸ θεόν.
ἐπερώτημα δὲ, ρυτέσιν ἀῤῥαβὼν, ῥώννυσι, ἀποδείκνυσι. ὑποταγέντων αὐτῷ Αγ-
γέλων, τῷ ἀνωμένῳ τῷ ἀνθρώπῳ δηλονότι. Χριστοῦ οὖν παθόντος ὑπὲρ Κεφ. ε'.
ὑμῶν σαρκὶ. Τὸ ἐξῆς οὕτως. Χριστοῦ οὖν ἀποθανόντος σαρκὶ, καὶ ὑμεῖς τὴν 4
αὐτὴν ἔννοιαν ἐνεπίσασθε. ἀπεθάνετε γὰρ καὶ ὑμεῖς τῷ κόσμῳ δηλονότι.
ὁ δὲ ἀποθανὼν πέπαυται ἁμαρτίας, καὶ ἐξῆς. ἀρκετὸς γὰρ ἡμῖν, ἤγουν ἱκανὸς καὶ
τὸν προελθόντα

τὸν πρελελυθότα βίον. τὸ γὰρ τέλημα τῶν ἐθνῶν κατειργασάμεθα, τουτέστιν ἐθνικῶς ἐζήσαμεν πεπρευμένοι ὡς τὰ ἔθνη. διόπερ ταῦτα τὰ ἔθνη νῦν ξενίζονται.
» Καὶ ὑμᾶς τὸν αὐτὸν ὄλυνοιαν συνλίσαθε. Ἀντὶ τοῦ κατὰ τὸν αὐτὸν ὄλυνοιαν, τοῦτ' ἔστιν αὐτὸν σιορόν. ἐλλαβῶτικῶς γὰρ τῆς κακίας προθέσεως εἴρηται. Ὅτι ὁ παθὼν τῷ σαρκὶ καὶ πέπαυται ἁμαρτίας, ἵνα τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίας, ἀλλὰ θελήματι θεοῦ, τὸν ἐπίλοιπον τῷ σαρκὶ βιῶσαι χρόνον. Ὁ παθὼν ἐν σαρκὶ. ἀντὶ τοῦ ὁ ἀποθανών, ὁμοια Παύλῳ λέγων. εἰ ἀπεθάνομεν ζῶν Χριστῷ, καὶ συζήσομεν αὐτῷ. καὶ νεκροὶ μὲν ἐσόμεθα τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῷ θεῷ. Ἀρκετὸς γὰρ ἡμῖν ὁ προελελυθὼς χρόνος τοῦ βίου, τὸ τέλημα τῶν ἐθνῶν κατειργάσασθαι πρευομένοις ἐν ἀσελγείαις, ἐπιθυμίαις. Ὡσπερεὶ ἔλεγεν, τί δὲ γὰρ ἐκρίκατε τοσοῦτον χρόνον ταῖς τοῦ βίου συνεξεταζόμενοι ἡδυπαθείαις; ἢ γὰρ ὁμοίως τοῖς ἔθνεσιν ἀσελγῶς ἐβιώσατε; ἐ πίναι τὰ ἀσελγῆ καὶ εἴδος ἐστάγη, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις ἠδωλολατρείαις, ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες. οἱ ἀποδώσουσι λόγον τῷ ἑτοίμως κεῖναι ζῶντας καὶ νεκρούς. Οἰνοφλυγίαις ταῖς ἐπὶ τὸν οἶνον ἀκρατέσιν ὁρμαῖς. ἐν ᾧ ξενίζονται. τὸ ξενίζονται ἀντὶ τοῦ θαυμάζουσι κεῖται. ὅδε λέγει τὸν ἐστι. καθάπαξ ἀποπάμενοι τῶν ἐθνικῶν ἐπτηδευμάτων ἐν οἷς ἐζήσατέ ποτε, τὸ ἐπανηρημένου ὑμῖν σεμνοῦ βίου ἐχαδε. οὕτω γὰρ αὐ καὶ αὐτοὶ οἱ ἐθνικοὶ θαυμάζονται ὑμᾶς, μὴ συντρέχοντας αὐτοῖς εἰς τὸν ὁμοίαν αὐτοῖς τῆς ἀσωτείας ἀνάχυσιν ἤτοι σύγχυσιν. διὸ καὶ μετὰ τὸ θαυμάζειν καὶ ἐξαπορεῖσθαι τῇ μεταβολῇ ὑμῶν, οὐ μόνον καταισχύνονται ἀλλὰ καὶ βλασφημοῦσι, τουτέστι σκώπτουσιν ὑμᾶς. βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια. οὗτοι δὲ καὶ οὐδὲ ἀπιμώρητον ἕξουσι τὸν τοιαύτην βλασφημίαν, ἀλλὰ δώσουσι λόγον, τῷ ἐπ' αὐτῷ ὄντι ἀμεταθέτως καὶ ἐδραίως καθεδουμένῳ ὡς πάντων κριτῇ. τοῦτο γὰρ τὸ ἕτοιμον σημαίνει ἐνταῦθα, ὡς καὶ τὸ, ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ ἐν τῷ, ἕτοιμος ὁ θρόνος σου. τῷ ὄντι ἀμεταθέτως καὶ βεβαίως κείμενοι ζῶντας καὶ νεκροὺς δώσουσι λόγον οἱ χλευάζοντες ὑμᾶς. ὡς δὲ ζώντων κειτῆς καὶ νεκρῶν ἐξῆς δηλώσει. Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ θεὸν πνεύματι. Τὸ ἑξῆς οὕτως. οὗτοι οἱ βλασφημοῦντες ὑμᾶς δώσουσι λόγον τῷ πάντας κεινοῦντι ζῶντας ἐ νεκρούς. κρίνονται γὰρ καὶ νεκροί. καὶ δῆλον ἀπὸ τῆς τοῦ κυρίου ἐς τὸν Ἀδην προυσίας. κἀκεῖ γὰρ ἐπιδημήσας τῷ κατὰ τὸν σταυρὸν θανάτῳ αὐτὸς, ἐκήρυξεν ὥσπερ ἐ ἐπὶ τῆς γῆς τοῖς ζῶσιν. ἐκήρυξε δὲ οὐ λόγῳ ἀλλὰ πράγματι. καὶ ὥσπερ τῷ κόσμῳ πραλυόμενος, τοῖς μὲν ἐπιγνωκέναι ἑτοίμως ἔχουσιν αὐτὸν, ἐς δικαίωμα πραλύσαι, τοῖς δὲ ἀγνοήσασιν ἐς κατάκεισιν, οὕτω καὶ τοῖς τῷ Ἀδῃ, τοῖς μὲν κατὰ σάρκα ζήσασιν ἀνθρωπίνως ἐς κρῖμα πνεῦσαι, τοῖς δὲ κατὰ πνεῦμα ζήσασι, τουτέστι κατὰ πνευματικὸν καὶ θεάρεστον βίον, ἐς δόξαν καὶ σωτηρίαν. ὥστε καὶ ζώντων ἐ νεκρῶν κειτὴς δικαίως ἀν λέγοιτο. ΑΛΛΩΣ. οἱ μὲν παλαιοὶ τὸ πατέρων τοῦτο τὸ, καὶ νεκροῖς εὐηγγελίσθη, ὡς πεπεισμένοι ἐξηγήσαντο, ὅδεν φροντίσαντες τῆς σωτηχείας τοῦ

χείας τῶν ἄνω, ὃ δ' ὅτι ἀπολογικῶς ἑρμηνεύον δεῖ πρὸς τὰ πρὸ αὐτοῦ ἀναφέρεσθαι. τοῦτο γὰρ ὀφειλὲ τὸ κατ' αἰτίαν λεγόμενον ἔχειν. ἀλλ' ὡς εἴρηται, ὡς πεπεισμένοι αὐτὸ ἐξηγήσαντο οὕτως. νεκροὺς γὰρ ἔφασαν διττῶς λέγειν τὴν θείαν γραφήν, ἢ τοὺς ταῖς ἁμαρτίαις νεκρωθέντας, οἳ ὅδε ζωήν ποτε ἴδιον, ἢ τοὺς τῷ θανάτῳ τοῦ Χριστοῦ συμμορφωθέντας, καὶ ἀποθανόντας μὲν τῷ κόσμῳ, τουτέστι ταῖς κοσμικαῖς ἐπιθυμίαις, ζῶντας δὲ μόνῳ Χριστῷ, ὡς καὶ Παῦλός φησιν. ὅδε νῦν ζῶ ἐν σαρκί, τῇ πίστει τῇ τοῦ υἱοῦ τοῦ θεοῦ ζῶ. φασὶν οὖν, ὅτι οἱ οὕτως ἀποθανόντες Χριστῷ, τῇ σαρκὶ ἑαυτοὺς κατακρίνουσιν ἐπὶ τῇ πρότερον ἀμελεῖ ἑαυτῶν καὶ ῥαθύμῳ ζωῇ. τοῦτο δὲ, ζῆν αὐτοὺς ἐν πνεύματι, ἤτοι τῇ κατὰ Χριστὸν ζωῇ. ἡ γὰρ τῶν προτέρων κατάγνωσις εὐθυμοτέρους αὐτοὺς ποιεῖ τὸ νῦν καὶ μετὰ χεῖρας ποιεῖ. κἀκεῖνοι μὲν οὕτως. ἡ δὲ καὶ καλῶς ἔχειν ταῦτά τις ἐρεῖ, ἀλλ' οὕτω τὸ πανὸς τὸ ἑρμηνεύον ἐξέχεται. ἑρμηνεύου δὲ ἀνωτέρω ποιεῖ τῶν ἐν τῷ Ἀδῃ, ὅτι κἀκείνοις τοῖς ἐν φυλακῇ πνεύμασιν ἐκήρυξεν, πρὸς τὸν Δίκαιον ἀναφέρειν τὸν πρόσθε μὲν αἰτίας ἡσυχόμενον λόγον, καὶ μὴ ὡς νῦν μόνον ἑρμηνεύον ἐπισκοπεῖν. ὅθεν ἐροῦμεν, ὡς ἐπιδὲ προσεχῶς ἄγαν εἴτε, τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς, τὸ δὲ ἀνθρωφερόμενον τούτοις ἐῶ, καὶ τοῦ ζῶντες ποῦ δὲ νεκροὶ κρίνονται; ἐπιφέρει τὸ λόγου τῶν πίστιν ἀφ' ὧν ἀνωτέρω ἑρμήνευ, ὅτι καὶ τοῖς τῆς φυλακῆς πνεύμασιν ἐκήρυξεν. καὶ τὸ κήρυγμα τοῦτο ἐς κρῖσιν ἐλήνεγκε τούτοις, ἤτοι ἐς κατάκεισιν, τῶν μὲν ἑαυτοῖς σωειδότων χρηστὸν βίον τὴν τοῦ φανέντος ἐκεῖσε χρηστότητι σωαπομένων, εὐθύς. τῶν δὲ ποιηρὸν, αὐτοῦτον αἰσχύνης πληρουμένων, καὶ τῶν ἑαυτῶν καταδίκῳ ἐκδεχομένων. τοῦτο μὲν οὖν τὸ κειτῶν εἶναι καὶ νεκρῶν τὸν κύριον βεβαιοῖ. ζώντων δὲ. ἐλθόντος γὰρ ἐς τὸν κόσμον καὶ τῶν φθαρτῶν ζωῶν, τῶν παρουσίαν ἐσχήκασιν ἄνθρωποι τούτου, κατάκεισιν, τῶν μὲν ἀγαθῶν προσδραμόντων αὐτῷ καὶ μαθητευθέντων, τῶν δὲ μιαρῶν ἀποσεισαμένων καὶ ἑκουτὶ μυσάντων πρὸς τὸν ἀλήθειαν. ὃ καὶ αὐτὸ τούτων κατάκεισις. διὸ καὶ ὁ κύριός φησιν, ἐς κρῖμα ἐγὼ ἐλήλυθα ἐς τὸν κόσμον, τουτέστιν ἐς κατάκεμα. οὕτως οὖν καὶ ζώντων κειτὴς ὁ κύριος καὶ νεκρῶν. καὶ ἡ αἰτιολογία ἐπ' ἀκεραίῳ τῷ λόγῳ ἀληθὲ ἐπὶ μέρους τεθήσεται. ἐστὶ τοίνυν τὸ, κειθῶσι σαρκὶ, οὕτως, τοῦ κυρίου τοῖς ἐν τῷ Ἀδῃ φοιτήσασιν. οἱ μὲν οὖν τῷ κόσμῳ σαρκικῶς ζήσαντες, κατεκρίθησαν, οἱ δὲ πνευματικῶς, ἔζησαν, ἢ τῇ μετὰ τοῦ κυρίου ἀναβιώσει, (πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη,) ἢ τῇ εὐελπισίᾳ. τὸ δὲ, κειθῶσι καὶ ζήσωσι, κατὰ ἀντιχρονίαν εἴληπται, ἀντὶ τοῦ προκειμένου, μέλλοντες. ὃ τῇ θείᾳ γραφῇ ζύνηθες. πάντων γὰρ φησι τὸ τέλος ἤγγικε. τουτέστι καὶ ὧν κατὰ ζωὴν δικαιωθέντων, καὶ ὧν κατὰ τὸν Ἀδην. ἐν γὰρ τῇ δευτέρᾳ παρουσίᾳ, τὸ ἀποκείμενον ἑκάστῳ τελεσθήσεται. ἡ δέ τις τοῦ τῷ Ἀδῃ τοῦ κυρίου κήρυγμα ἀθετεῖ, φάσκων μηδὲν τοῖς τεθνεῶσι δυνάσθαι τὸν λυσιτελεῖν, ἀλλὰ τὸ ἐν τῷ Ἀδῃ,

κατὰ τὸν

καζ᾽ ὸν προφήτην Δαυίδ, μηδένα ὁμολογεῖσθαι, οὗτος καὶ τὸ κήρυγμα τὸ ἐν τῷ
Ἁδῃ πάλαι ἐπακούει, καὶ τὴν ὁμολόγησιν, οὐκ αἶνον θεοῦ, ἀλλ᾽ ἐξαγόρευσιν
λογίζεται, ἀνίκητος ὢν τοῦ, ᾧ χὶ νεκροὶ ἀνέβυσσοι κύειε. ἔστι δὲ, ἐν τῷ Ἁδῃ τίς ὁμο-
λογήσεταί σοι, τριοῦτον. ὁμολόγησίς ἐστιν εὐχαριστία πρὸς θεόν, ἐφ᾽ οἷς τις δυ-
σχερῶν ἀπηλλάγη. ἐπεὶ οὖν ἐν τῷ πρόντι βίῳ πάντα τὰ φρακζὰ σωτελεῖται ἐνερ-
γούμενα, (ἀπθανοῦσι γὰρ πάντα ἀργά.) ἡκότως ὡς μήτινος τούτων ἐνεργουμένου
ὑπὲρ ὧν τις ἀπαλλαγεὶς ὁμολογήσεται, εἴρηται τὸ, ἐν τῷ Ἁδῃ τίς ὁμολογή-
σεταί σοι. Πάντων δὲ τὸ τέλος ἤγγικε. σωφρονίσατε οὖν, καὶ νήψατε εἰς τὰς πρε-
σευχάς. πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς. Τὸ τέλος ἀντὶ τοῦ ἡ συμπλήρωσις, ἡ σω-
τέλεια, ἢ τέλος ἤγγικέναι ὧν πάντων φησὶ προφητῶν. τοῦτο δὲ ἀληθεῖ λόγῳ, ὁ
Χριστός. ἡ πάντων γὰρ τελεότης, αὐτός ἐστιν, ἀλλ᾽ ὑχ ὡς Ἕλληνες κληροῦσιν, οἱ μὲν
τὴν ἡδονὴν φάσκοντες τέλος, ὡς Ἐπίκουρος. οἱ δὲ τὴν ἀπαήμιαν, ἤτοι θεωρίαν ἢ ἀρε-
τήν. ἐοικὸς γὰρ ἦν πάντων τελεότης Χριστὸς παραγέγονε, καὶ αὐτοῖς τούτοις τὴν τε-
λεότητα φησὶ συμμορφούμενοι, ἀνελλιπεῖς ἑαυτοὺς ὧν φαντὶ δείξατε, ἐν σωφρο-
σύνῃ, ὧν νήψει προσευχῶν. (νηφόντων γὰρ ἡ προσευχὴ, τοὐτέστι γρηγορούντων, ἀπ᾽ ὄ
κάρα κατεχομένων τῶν ἀπὸ τῆς ὧν κοσμικῶν μάθης.) ὧν τῇ πρὸς ἀλλήλους ἀγά-
πῃ. τοῦτο δὲ Παῦλος μὲν πλήρωμα φησιν εἶναι νόμου. οὗτος δὲ ἁμαρτίας
σκαμμόνα καλύπτειν. ὁ γὰρ ἐς τὸν πλησίον ἔλεος, τὸν θεὸν ἡμῖν ἵλεων ποιεῖ.
ὃς ἔλεος χὶ οὐ ἐς δέον προβαίη, ἢ μὴ ἐκ πολλῆς ἀγάπης. ἢτοι δὲ ἀγάπη, ἐπάγει καὶ ζὰ τῇ ἀγάπῃ ἐπακολουθοῦντα, τὴν φιλοξενίαν, ἣν ἄνευ γογγυσ
μοῦ ἐκτελεῖν κελεύει. πρὸ γὰρ πῶς ἀληθοῖς ἀγάπης. ἅμα καὶ ὧν ἐυπρουσ-
μένων ἑκάστῳ χαρισμάτων τῷ μὴ ἔχοντι ἀδελφῷ κοινωνεῖν. διον, ὁ λόγον ἔχων διδασκαλικόν. (πρὸ γὰρ, τὸ, ὡς λόγια θεοῦ βούλεται δηλοῦν,) τῷ
χρήζοντι ῥύτου. ὁ χορηγίαν προφῶν κεκτημένος, τῷ μὴ ἔχοντι ἐπιδιδόναι, μὴ
μικροψύχως ἀλλ᾽ ὡς ἰσχύος παρέχει πῶς ἀπὸ τοῦ θεοῦ χορηγίας. ταῦτα
δὲ φησι παραινῶ, ἵνα ἐν πᾶσιν, ἤτοι ἔργοις ἢ καὶ τοῖς ἔργοις ὑμῶν δο-
ξάζηται ὁ θεός. οὕτω δὲ περὶ τούτων διαταξάμενος, ἐπεί τινας ἑώρα διὰ ζὰς
ἐπαγομένας αὐτοῖς θλίψεις σκανδαλιζομένους, ἅτε ὧ τῷ νόμῳ τοῖς δου-
λεύουσι τῷ κυρίῳ ἐπαγγελίας ἀνενοχλήτου βίου κειμένης, καὶ ἄνω μὲν
διὰ βραχέων ἰσχνὰ τοῖς δούλοις ἐνομοθέτει, πῶς περὶ τούτου παράκλησιν
ἐποιήσατο, νῦν δὲ διεξοδικώτερον τῷ λόγῳ κέχρηται, καί φησιν, ἀγαπη-
τοί, ἐυθὺς διὰ τοῦ ὀνόματος σημαίνων ὡς οὐ μισουμένοις, ἀλλ᾽ ὡς ἄγαν ἀ-
γαπωμένοις, ταῦτα συμβαίνει, μὴ ξενίζεσθε δὲ ἀντὶ τοῦ μὴ θαυμάζετε,
μὴ ξένον θεοῦ φίλων ἡγεῖσθε, εἶτα καὶ πῦρωσιν τὰς θλίψεις φησὶν, ἐνέ-
φηνεν ὡς διὰ δοκιμασίαν ἐπάγονται αὐτοῖς αὗται. ἡ δὲ δοκιμασία πειρασμοῦ-
δεσον τὸ δοκιμαζόμενον ἀπτελεῖ, ὡς καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον. πύρις
δὲ τὸ μανερώτερον πούτων ἁπάντων ἐπενέγκας, τὸ τῆσ ταῦτα πάσχοντας
ῥυπαίλλους

ῥυπαίλλοις εἶναι τῷ διδασκάλῳ Χριστῷ, ἐμοὶ πύρυ νεῶ ἀπομυθίοις, ἵνα εἰ
σωδόξαθῶσιν αὐτῷ καζ᾽ ἃ μέλλοντα, τὸ πᾶν ἑαυτῷ κατανύσαι τὸ κόσμου.
» Ἀγάπιν ἐκτενῆ ἔχοντες. Ἀντὶ τοῦ διαρκῆ, ἢ πολὺ διατείνουσαν.
» Ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμοῦ.
» ἕκασος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι
» ποικίλης χάριτος θεοῦ. εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ. εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς
» χορηγεῖ ὁ θεός. ἵνα ἐν πᾶσι δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ Χριστοῦ. ᾧ ἐστὶν ἡ δόξα,
» καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Καθὼς ἔλαβε χάρισμα. ὧν γὰρ
ἐφ᾽ ἡμῖν κειμένων, καὶ ὧν ἐσμὲν ὠρῃσι μὴ ποιεῖν, τοῦτο πάσης ἀδικίας ἔχει γρα-
φήν. οὐ γὰρ ἐπὶ τῆς ὧν χρημάτων κτίσεως μόνον, ἀλλὰ καὶ ὧν ἀλλοτρίων φυσικῶν πλεονε-
κτημάτων, ὑπόχρεως ἐστὶ τῷ μὴ ἔχοντι παρέχειν. ὅτι καὶ αὐτὸς μὴ ἔχων, παρὰ θεοῦ
» ἔλαβον, ἵνα παρέχῃ τοῖς χρῄζουσιν. Ἀγαπητοί μὴ ξενίζεσθε τῇ ὠ ὑμῖν πυρώ- Κεφ. ε.
» σει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος, ἀλλὰ καθὸ κοινω
» νεῖτε τοῖς Χριστοῦ παθήμασι, χαίρετε. ἵνα καὶ ὠ τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ
χαρῆτε ἀγαλλιώμενοι. Τῇ ὠ ὑμῖν πυρώσει. ἀντὶ τοῦ δοκιμασίᾳ.
» Εἰ ὀνειδίζεσθε ὠ ὀνόματι Χριστοῦ. Ἐν τῷ χριστιανοὶ λέγεσθαι.
» Μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπαύεται. καζ᾽ μὲν
» αὐτοὺς βλασφημεῖται, καζ᾽ δὲ ὑμᾶς δοξάζεται. μὴ γάρ τις ὑμῶν πασχέτω ὡς
φονεὺς, ἢ κλέπτης, ἢ κακοποιός. Καζ᾽ μὲν αὐτοὺς βλασφημεῖται. προσυπα-
κουσέον τὸ, ὅ, ἵνα ᾖ. ὃ πνεῦμα θεοῦ καζ᾽ μὲν τοὺς ἀσεβεῖς δοκεῖ βλασφημεῖσθαι,
καζ᾽ δὲ ὑμᾶς δοξάζεται. πῶς; ὅτι ψευδῶς ὑμῶν κατηγορούντων αὐτῶν, ἐκεί-
» νων μὲν καζ᾽ ἃ ἐστὶ κατὰ ἀσχύνη, ὑμῖν δὲ δόξα. Ἢ ὡς ἀλλοτριεπίσκοποι.
Ὁ γὰρ ἀλλότρια περιεργαζόμενος, ἵνα ἀφορμὴν λοιδορίας ἔχῃ. πρὸ δὲ μιαρᾶς ἐ-
πανούργου καὶ κακούργου καὶ ῥᾳδίας καὶ πρὸς πᾶν ἑτοίμης κακὸν ψυχῆς.
» Εἰ δὲ ὡς Χριστιανὸς μὴ αἰσχυνέσθω. δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ ὀνόματι τούτῳ.
» ὅτι καὶ ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ. εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν,
» τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ; καὶ εἰ ὁ Δίκαιος μόλις σώ-
» ζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥστε καὶ οἱ πάσχοντες καζ᾽ τὸ θέ-
» λημα τοῦ θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ὠ ἀγαθοποιΐᾳ.
Ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ, ἀναγωνίους αὐτοὺς καὶ
ἐμφόβους ποιεῖ, πῆς ῥαθυμίας αὐτῇ ἐστὶ τὰ ἀνατετραπωκότος βίου ἀπιστῶν. διὸ ἐπι-
φέρει. εἰ δὲ πρῶτον ἀφ᾽ ὑμῶν ὄντων οἴκων θεοῦ τί ἔκβασις ὧν βεβιωμένων, τί χρὴ τέ
λος νομίζειν ὧν ἀπειθησάντων; κρῖμα γὰρ, ὃ τὸ κατάκριμα ἀκούομεν, ἀπὸ τοῦ ἔκβα
σιν, τοῦ ἐρευναν, τὸν ἐκλογισμόν. ἄρχεται δὲ πρῶτον ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ. καὶ γὰρ
τοῦ μείζονος μέγαν Βασίλειον, φυσικῶς τοῖς οἰκειοτάτοις ἡμῶν χαλεπαίνομεν, ὅταν
ἡμᾶς ἁμαρτάνωσιν. οἰκέται ἢ τῷ θῷ ζκαίροι ἢ οἱ πιστοὶ οἱ συμπληροῦντες τοῦ
θοῦ τοῦ οἶκον, ἤτοι τὴν ἐκκλησίαν. διὸ ὁ σωτὴρ ἔλεγεν. ἐρεῖ πρῶτον τοῖς ἐκδεξίοις. κρῖμα ἢ
ῥυπαῦτα τὸν ἐτασμὸν, ζὰς θλίψεις λέγει ζὰς ἀπὸ τῶν ἀσεβῶν ἐπενεχθείσας τοῖς

πιστοῖς. ὧν καὶ ὁ κύριος προκατήγγειλε τὴν ἐπαγωγὴν ἑρπικός. παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, καὶ ἐξῆς. εἶτα ὥσπερ παμψούμιος αὐτοῖς ἐπιφέρει. ἐξ ὧν ὑμῶν οὕτως αὐτῷ οἰκειοτάτων ὄντων οὐ φείδεται, ἐννοήσατε τί ἔσται τέλος τοῖς ἀσεβέσι. καὶ πιστοῦται τοῦτο ἀπὸ τῆς γραφῆς. ἐξ ὁ δίκαιος λεγούσης μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; τοιοῦτον δέ τὸ ἀπὸ τῆς γραφῆς βούλεται σημαίνειν. ἐξ ὁ δίκαιος κόπῳ καὶ μόχθῳ τῆς σωτηρίας τυγχάνει, (βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ, καὶ διὰ πολλῶν θλίψεων τις αὐτῆς τυγχάνει,) οἱ ἄνετον βίον καὶ ἀπολαυστικὸν ζῶντες, πίνων τεύξονται; καθ' ὃν μέλλοντα δέ αἰῶνα τὸ πρὶ ὧν ἀσεβῶν ἀκούετον. ὥστέ φησιν ἡ ῥητὸ ἐστὶ, διὰ τοῦτο ἐν ἡμῖς πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ, μὴ ῥαθυμῶμεν, ἀλλ' ὡς πιστῷ κτίστῃ παρατιθώμεθα τὰς ψυχὰς ἑαυτῶν ἐν ἀγαθοποιΐᾳ. κατὰ τὸ θέλημα δὲ τοῦ θεοῦ εἴρηται, ἵνα ὅτι χάριν ἔξω τῆς τοῦ θεοῦ προνοίας κἀμὲ μᾶλλον πάσχω, δηλῶν, ἀλλ' οἷον δοκίμιον ταῦτα ὑπ' ἐκείνου ἡμῖν βραβευόμενα, ἢ ὅτι ὡς ὑπὲρ τοῦ θελήματος τοῦ θεοῦ πάσχοντες, αὐτῷ παραχωρῶμεν καὶ τὸν ἔκβασιν. πιστὸς γάρ οὗτος, ῥητέον ἀσφαλὴς καὶ ἀψευδὴς κατὰ τὰς ἐπαγγελίας αὐτοῦ, καὶ οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. πῶς δὲ δεῖ θεῷ παρατιθέναι ἑαυτόν; τῇ ἀγαθοποιΐᾳ, φησί. τί δέ τοῦτο; τὸ ἐν ταπεινοφροσύνῃ ἀνατιθέναι ἑαυτὸν, μὴ μέγα ἐφ' οἷς πάσχει τις φρονῶν, ἀλλ' ὅσῳ μείζω δοκεῖ πάσχειν, τοσούτῳ τῷ ἀχρεῖον λογίζεσθαι ἑαυτὸν μὴ ἀφιστάμενος, καὶ τὸ, δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐπήνεσας ἡμῖν, ἐπιλέγων. ἀσεβὴς δὲ ἐ ἁμαρτωλὸς ταὐτὸν διαφέρουσιν. ἀσεβὴς μὲν γάρ ὁ ἔξω πάντη θεοῦ, ἁμαρτωλὸς δέ ὁ θεοῦ μὲν ὅσον δέ τι ἀντεχόμενος, ἀλλως δὲ καταφρονῶν καὶ παραβαίνων αὐτοῦ, τις νόμισον. δύναται δὲ ὁ αὐτὸς καὶ ἀσεβὴς καὶ ἁμαρτωλὸς εἶναι. ὁ γάρ τὴν ἀνομίαν ἐργαζόμενος πάντως ἀσεβεῖ, μὴ τὸν θεὸν ἐν τῷ ἁμαρτάνειν εἰ-
» ναι λογιζόμενος. Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτε-
» ρος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτε-
» σθαι δόξης κοινωνός, ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Χριστοῦ, ἐπισκοποῦντες μὴ
» ἀναγκαστῶς ἀλλ' ἑκουσίως, μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως, μηδ' ὡς κατα-
» κυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ ἀρχι-
» ποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. ὁμοίως νεώτεροι ὑποτά-
» γητε πρεσβυτέροις, πάντες ἀλλήλοις ὑποτασσόμενοι. τὴν ταπεινοφροσύνην ἐγ-
» κομβώσασθε, ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χά-
» ειν. ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ.

Περὶ ταπεινοφροσύνης προκειμένου αὐτῷ δοκεῖ λαβεῖν, ἵν καὶ προαγορεύσας τὴν ἀγαθοποιΐαν ᾖ, συμπρεσβύτερον ἑαυτὸν καλεῖ. σημαίνειν δὲ βούλεται αὐτῷ τάξιν, ἥτις τὴν ἱλικίαν, ἢ τὴν τῆς ἐπισκοπῆς τιμήν. πρεσβυτέροις γάρ καὶ τοῖς ἐπισκόποις καὶ ἐν τῶν πράξεων βίβλος οἶδε λεγομένοις. εἶτα βουλόμενος τὸ ὑπάρχον ἑαυτῷ πρᾶξαι, καὶ ὅτι ταπεινοφροσύνης ἕνεκεν συμπρεσβύτερος ἑαυτὸν λέγει, ἐπάγει τὸ ἀξίωμα ἑαυτῷ, τὸ, μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων,

τοῦτο

τοῦτο βουλόμενος δηλοῦν τούτων σημαίνειν, ὅτι ἡ ἐγὼ ὁ τῶν τοιούτων παθημάτων ὑμῖν ὑφηγητὴς, οὐκ ἀπαξιῶ συμπρεσβύτερον ἐμαυτὸν καλεῖν, οὐδὲ ὑμεῖς δίκαιοι κατεσταίρεσθαι τῶν ὑφ' ὑμᾶς τελούντων. δηλοῦτο δὲ ὁ Χριστὸς ὁ τούτου καθηγητὴς ταπεινοφροσύνῃ διδάσκων, τὸ, ἐφ' οἷς ἐγὼ ὁ κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας, προφέρει. τὸ δὲ, κοινωνὸς τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης, προσέθηκεν, ἵνα πλάσῃ τὸ τῆς ταπεινοφροσύνης ἐξαίρετον, ὡς καὶ Παῦλός φησιν, ὅταν ὁ Χριστὸς φανερωθῇ, τότε καὶ ἡμεῖς φανερωθησόμεθα. μὴ ἀναγκαστῶς δὲ οὕτως ποιμανεῖ, ὃς τύπον ἑαυτὸν ἀγαθοεργίας τῶν ὑφ' ἑαυτὸν προτιθείς, τοὺς μαθητευομένους ἔχει πρὸς ζῆλον τοῦ διδασκάλου κατεσπουδασμένους ἀγαθῶν. μὴ αἰσχροκερδῶς δὲ, ὁ μὴ δι' ἀλαζονείας προϊόν καὶ κατεσταίρομένος τῶν ὑπηκόων, ἀλλ' ὃν ταπεινώσει διαζῶν, εὐτέλειαν ἔχει συμπαίρεδρον τῇ μηδεμιᾷ προσδεομένῃ δαπάνης ἱματίων πλουτελῶν, ἢ πραπίζης συβαριτικῆς, ἃ τῇ ἀλαζονείᾳ πικροπωλοῦσι, καὶ τῇ αὐτῇ τῆς αἰσχροκερδείας χορηγίαν ἐπιζητεῖ. κλῆρον δὲ τὸ ἱερὸν σύστημα καλεῖ, ὥσπερ καὶ νῦν ἡμεῖς. προθεὶς δὲ τὸ, τύποι γινόμενοι τοῦ ποιμνίου, τὸ ἀναγκαστικῶς μὴ ποιμαίνειν τὸ ποίμνιον ἐξεκλεῖται. ἐν δὲ τῷ, καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, ὁ, καὶ, ζήνδεσμος αἰτιολογικῶς κεῖται, ἀντὶ τοῦ ἵνα. οἷον, ἵνα φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον στέφανον, ὡς καὶ ἐπὶ τοῦ, ἵδε ἐπὶ τοῖς δούλοις σου καὶ ἐπὶ τοῖς ἔργασου, ἐν ᾧ θ' ψαλμῷ. ἐκεῖ γάρ ἀντὶ τοῦ, δι' ὃ, κεῖται ἐγκομβώσασθε δὲ ἀντὶ τοῦ ἐνδύσασθε, ὡς
» ἐνδύσεσθε. Ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρίψαν-
» τες ἐπ' αὐτὸν, ὅτι αὐτῷ μέλλει περὶ ὑμῶν. Τὸ, ἐν καιρῷ, πρόσκειται. πρὸς γάρ τὸν ἐν τῷ μέλλοντι αἰῶνι ὕψωσιν πρατέμπεται. ἔστις καὶ μόνη ὕψωσις ὡς ἀναλλοίωτος καὶ διαιωνίζουσα, τῆς ἐνταῦθα ὑψώσεως γάρ ἀσφαλοῖς οὔσης γάρ βεβαίας, ἀλλ' ἔφεδρον ἔχ ἀεὶ τὴν ταπείνωσιν κενημένης, καὶ θᾶττον ἢ ὑψωθῆναι ταπεινουμένης. τῆς δὲ ταπεινώσεως τῆς τὸ ὕψος ποιουσης αὐτὸς ὁ κύριος ἐχέγγυος πάροχος. φησὶ γάρ. πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. καὶ ὁ ἐθέλων πρῶτος εἶναι ὑμῖν ἔσται, ἔσω πάντων ἔσχατος. ἡνίξατο δὲ διὰ τοῦ, ἐν καιρῷ, ὡς ἔφημεν, καὶ τὸ εἰς τὸν μέλλοντα ἐπαγγέλλεσθαι τὴν αὐτὸ τῆς ταπεινώσεως ὕψωσιν. ὁ γάρ τῶν ἀναλλοιώτων καιρὸς, ἐν τῷ μέλλοντι ἐ ἀφθάρτῳ αἰῶνι. χάσμα γάρ ὁ ἄφθαρτος ἐπίκειρον ἔχει. εἶτα τὸ δέος ὑφαιρούμενος τὸ αὐτὸ τῆς ταπεινώσεως, (ἴσως γάρ τινας ἐυλαβῶς ἔχειν ἐώρα, μὴ ταπεινώσαντες ἑαυτοὺς καὶ τὸν πρόντα βίον πάθοιέν τι κακὸν,) φησὶ, μηδὲν δεδιότι πᾶσαν τὴν μέριμναν σου ἐπὶ κύριον ἐπιρίψας, ἀσφαλεῖ φρονεῖς ἢ ἑαυτὸν ἀναθέμενος ἔσῃ. τοῦτο
» γάρ μέλλει, ἢ περὶ φροντὶς ἀπόκειται τούτων ἁπάντων. Νήψατε γρηγορήσατε, ὅτι
» ὁ ἀντίδικος ὑμῶν Διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τινα καταπίῃ.
Τοῖς νοητῶς ὑπνοῦσιν ἔοικεν, (τοῦτο δέ ἐστι τὸ περὶ τὰ μάταια κεχηνέναι,) ἐπὶ ἀπορυπᾶν τὸ νηφάλιον καὶ βαρύνουσι τὴν ψυχὴν, τὸ πρηνὲς ἐπὶ παλαίπρον τὴν ἀπρονοησίας ἐπιπηδᾶν θηρίον. τὸ οὖν ἀσφαλιζόμενος ὁ Χριστομαθητὴς, ἐγρηγορέναι ἀεὶ παραινεῖ, ἐπὶ φυλακῇ ἔχειν

τὴν ὧν ζιξανίων αποφέα, μήποτε καθεύδουσιν ὑμῖν, ἤγοι ἀμελῶς καὶ ῥαθύμως διαβιοῦσι, πονηροὶς ἐπιπλάστοις λογισμοὶς λάθοι, καὶ τῆς ὄντως ἀπροβουκολήσας ζωῆς. ὁ γὰρ πάντα φησὶν ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ. ᾧ καὶ αὐτοὶ διὰ τὸ στερρὸν τῆς ψυχῆς πράγματος ἀντίστητε. περὶ τῆς τοιαύτης δὲ ἀνανδρου ἡβουλίας καὶ Ιουδᾶ ὁ ἅγιος μάρτυς, καὶ τῆς ἡμελοῖς αὐτὸ καθ' ἡμῶν πανουργίας τὴν αἰτίαν πραπιθέμενος φησὶν, ὡς ὁ Διάβολος πρὸ τῆς τοῦ κυρίου προυσίας χαλεπῶς ἤνεγκε πρᾶως οὕτω τῆς ἑαυτοῦ τιμωρίας τὴν δύναμιν, ὧν θείων προφητῶν ἀνιγματωδῶς ταῦτα διαγορευσάντων, ὡς ὁ Ησαΐας, ὑπὸ πρόσωπον τοῦ Ασσυρίου πᾶσαν τὴν κατὰ τὸν Διάβολον δραματουργίαν ἐκπαγωδῶν ἐφανέρωσεν. ὧδὲ δὲ τοῦ κυρίου πραγματεύου, καὶ τῷ Διαβόλῳ σαφῶς ἀπεκείσθαι, καὶ πυρὶ μᾶλλον τὸ αἰώνιον πῦρ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἡτοιμάσθαι ἐφανέρωσεν, οὐ παύεται τοῖς πιστοῖς ἡβουλεύειν, πολλοὶς ἐχθρὸν βουλόμενος τῆς ἑαυτοῦ κοινωνοὶς ἀποστάσεως, ὡς ἂν μὴ μόνος αἰσχύνοιτο ταύτῃ ἐπιχόμενος, ψυχρᾷ ταύτῃ καὶ βασανίῳ πρα-
» μυθίᾳ πικροτερούμενος. Ω ἀντίστητε στερεοὶ τῇ πίστει, ἀδόντες, τὰ αὐτὰ ὧν πα-
» θημάτων τῇ ὧν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. Ως ἔοικε, πολλαῖς ταῖς διὰ Χριστὸν θλίψεσι κατείχοντο οὗτοι, πρὸς οὓς ὁ Πέτρος γράφει. διὸ καὶ ἄνω καὶ κάτω τὸν πραμυθεῖται. ἐκεῖ μὲν διὰ τὸ κοινωνοὶς αὐτοὶς γίνεσθαι ὧν τοῦ κυρίου πάσχοντας παθημάτων, ἐν τῆς ἀποκαλυπτομένης δόξης κληρονόμους. ἐνταῦθα δὲ διὰ τὸ μὴ μόνοις πάσχειν, ἀλλὰ καὶ πάντας τοὺς κατὰ κόσμον πίστους.
Κεφ. ἡ. συνελαφείζει δὲ τὸ βάρος ἡμῶν ἡ πικοινωνοήτων συγχέρεια. Ο δὲ θεὸς πάσης
» χάριτος, ὁ καλέσας ὑμᾶς εἰς τὸν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ιησοῦ, ὀλίγον πα
» θόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. αὐτῷ ἡ δόξα,
» καὶ κράτος εἰς τοὺς αἰῶνας ὧν αἰώνων ἀμήν. Καὶ ἀρχόμενος τῆς ἡπιστολῆς, τὸν πατέρα ἔλεγε διὰ τὸ ὑπὸ ἐλεῆσαι ὑμᾶς. καὶ νῦν τελείων, τὸν αὐτὸν πατέρα καλέσαι διὰ τὸ ὑπὸ διδάσκει. τὸν γὰρ αὐτοῖς σοφὸς, τὸ μυστήριον κηρύξαι, ἢ καὶ με-
» τὰ παραινέσεως τοῦτο ποιοῦσιν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λο-
» γίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν
» τοῦ θεοῦ, εἰς ἣν ἑστήκατε. Ασπάζεται ὑμᾶς ἡ ὧν Βαβυλῶνι ἐκκλησία συνεκλεκτή.
» καὶ Μάρκος ὁ υἱός μου. ἀσπάσασθε ἀλλήλους ὧν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν
» πᾶσι τοῖς ὧν Χριστῷ Ιησοῦ, ἀμήν. Πιστὸν ὑπερβαλλόντως ὁ Σιλουανὸς οὗτος. καὶ περὶ τὸ κήρυγμα, εὐθύμως ἀγωνιζόμενος, εἴγε καὶ Παῦλος αὐτοῦ μνημονεύει, καὶ συνεργὸν αὐτὸν μετὰ Τιμοθέου ὧν ταῖς ἡπιστολαῖς παραλαμβάνει, Παῦλος, λέγων, καὶ Σιλουανὸς, καὶ Τιμόθεος. Βαβυλῶνα δὲ τὴν Ρώμην διὰ τὸ περιφανὲς καλεῖ, ὃ καὶ ἡ Βαβυλὼν πολλῷ χρόνῳ ἔσχηκε. Μάρκος δὲ υἱὸν κατὰ πνεῦμα καλεῖ ἀκολούθως κατὰ σάρκα. οὕτω δὲ καὶ τὸ εὐαγγέλιον γράψαι ἐπέτρεψε. τινὲς δὲ καὶ ὅμως ἐβλήθησαν καὶ σαρκικὸν υἱὸν ἀποφῆναι τοῦτον διὰ τὸν Μάρκον τοῦ θείου Πέτρου, τεκμηρίῳ χρησάμενοι τῷ ὧν ταῖς πράξεσι ὧν Αποστόλων ἱστορουμένῳ Λουκᾷ. φησὶ γὰρ τοῦτον τὸν Πέτρον διὰ ἀγγέλου

θεοῦ τῆς

θεοῦ τῆς φυλακῆς ἐκβληθέντα πραδόξως, ἣν κατέκλεισεν αὐτὸν Ηρῴδης, τοῦ χριματισμοῦ τοῦ ἀγγέλου ἀφεθέντα εἰς τὴν οἰκίαν ὁρμῆσαι τῆς μητρὸς Ιωάννου τοῦ ἐπικληθέντος Μάρκου, ὡς εἰς τὴν ἑαυτοῦ οἰκίαν ἐπανελθόντα καὶ τὴν νομίμων σύζυγον. τοῦ Παύλου δὲ ἀσπάζεσθαι ἀμήλοισ ἐν φιλήματι γράφοντος ἀμήν, οὗτος ἐν φιλήματι φησιν ἀγάπης, ταυτὸν ἐκείνῳ λέγων. ἐπίσταται γὰρ καὶ Παῦλος τὴν καθ' Χριστὸν ἀγάπην, μείζω πασῶν οὖσαν ὧν ἀρετῶν, καὶ αὐτοῦ τοῦ καθ' Χριστὸν μαρτυρίου. ἐκεῖνος μὲν οὖν φίλημα ἅγιον, τὸ ἀφορισμένον ἐν θεῷ λέγει. οὗτος δὲ ὁμοίως ἀγάπης φίλημα τῆς ὄντως ἀγάπης ὃν καὶ Παῦλος ὠνόμασε. διὸ καὶ ἐπάγει, Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ιησοῦ, ἡ τῆς κοινῆς εἰρήνης λέγων τῆς καθ' ἀνθρώπους, ἥτις δι' ἐμπάθειαν ἀνθρώπων ταραττομένη, δόξης ματαίας ἀπολαύσεως ἡδονῶν, πρὸς ἃς οἱ ἀπὸ ὧν πολέμων σχολάζοντες ἐκδιδάσιν ἑαυτοὺς, ἀληθείας αὐτοὺς τυχεῖν ἑαυτοῦ χωρὶς ἐπαγγελλομένης αὐτοὺς καὶ ὁ διδάσκαλος Χριστὸς πρὸς πάντας χωρῶν ἤξιωσε, φάσκων, Εἰρήνην ἀφίημι ὑμῖν, καὶ ἐπαγαγὼν τὸ διάφορον, ὅ καθὼς ὁ κόσμος δίδωσιν. ὁ γὰρ δι' ἐμπάθειαν εἰρηνευτέον, ἀπὸ δὲ τὸ σωφρονεῖν μέλλοντος ὑμᾶς τῇ ἀγάπῃ, οὕτω τοὺς ἀπὸ ὧν ἀντιπάλων ἀποκλίνεσθαι βολὰς. πάντα χοῦν δὲ ὥσπερ σφραγῖδα ἐπιπλήττοντες οἱ τοῦ κυρίου μαθηταὶ τῷ ἐπὶ τέλει εὐχὴν, τὸ γνήσιον τῆς αὐτῶν ἀληθείας ἐπιφέρουσιν.

Τέλος. ἐγράφη ἀπὸ Ρώμης.

Ὑπόθεσις τῆς Πέτρου καθολικῆς δευτέρας ἐπιστολῆς.

Αὐτὴν πάλιν ὁ αὐτὸς Πέτρος ἐπιστέλλει τοῖς ἤδη πεπιστευκόσιν. ἔστι δὲ ἡ ἐπιστολὴ, ὑπόμνησις ὧν πρώτων. ἡδὺς γὰρ ταχεῖαν αὐτὴν ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν τῆς διδασκαλίας. καὶ πρῶτον μὲν, περὶ τῆς πίστεως ἄρχεται δεικνὺς αὐτὴν ἀπὸ ὧν προφητῶν εὐηγγελίσαθαι, καὶ ὅτι αἱ περὶ τοῦ σωτῆρος προφητεῖαι οὐκ ἔστιν ἀνθρώπιναι, ἀλλὰ παρὰ θεοῦ ἐλαλήθησαν. ἔπειτα παραγγέλλει, μὴ προσέχειν τοῖς ἀπατῶσιν, λέγων ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ ὧν παραβάντων ἀγγέλων γέγονε. προμηνύει δὲ ἐν τῇ ἐπιστολῇ ἡμέρας ἔσεσθαι ἐν αἷς ἐμπαίκται παραστήσουσι καὶ τελήσουσιν ἀπατᾶν τινας, λέγοντες, μάτην λέγεσθαι παρ' ἡμῶν τὴν παρουσίαν τοῦ σωτῆρος, διὰ τὸ ἀεὶ λέγεσθαι, καὶ μὴ τῷ πράγματι. ἀπὸ τούτων δὲ καὶ μάλιστα ἀπέχεσθαι παραγγέλλει, διδάσκων μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις. πάντα γὰρ τὸν χρόνον μηδὲν εἶναι ἐνώπιον κυρίου, διὰ τὸ καὶ τὴν μίαν ἡμέραν ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη ὡς ἡμέραν μίαν. ἔσεσθαι δὲ τάχος τὴν ἡμέραν τοῦ κυρίου διαβεβαιοῦται, καὶ ἀπροσδέκητον, καὶ ἐντέλλεται ἑτοίμους εἶναι πάντας ἐς αὐτὴν ἔργοις ἀγαθοῖς, καὶ ἀγαπᾶν τὰ ὑπὸ τοῦ ἀποστόλου Παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν αὐτὰ, διὰ τὸ καὶ πάσας τὰς θείας γραφὰς διαβάλλειν αὐτούς. ὑπομνήσας οὖν ἃ διδάξας πάντας προειδέναι τὰ πράγματα, παραινεῖ μὴ ἐκπίπτειν τοῦ στόματος τῆς πίστεως. καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν:-

Κεφάλαια τῆς Πέτρου καθολικῆς δευτέρας ἐπιστολῆς.

α΄ Περὶ κλήσεως τῆς ἐν πίστει ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς καὶ ἐλπίδος ὧν μελλόντων ἀγαθῶν.

β΄ Παραγγελία ἐς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάμνησιν αὐτῆς, καὶ ὅτως ἐν ὄρει Θαβὼρ τῆς θεοῦ περὶ Χριστοῦ ἐπήκουσε φωνῆς.

γ΄ Προρρήσεις ἀπατηλῆς ἐπαναστάσεως Αἱρετικῶν, ἀσεβειάς τε αὐτῶν καὶ μελλούσης κολάσεως.

δ΄ Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν. ὧν ὧ περὶ τοῦ πῶς ἀφνιδίως ἥξει Χριστὸς ἐπὶ σωτελείᾳ τοῦδε τοῦ αἰῶνος. ὥστε δεῖν ἐντρεπίζεσθαι πάσῃ ἀρετῇ.

ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ, β΄.

Κεφ. ά. 1

ΣΙμων Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Σίμων. γράφεται καὶ Συμεών. τὸ γὰρ Συμεὼν, τὸ Σίμων ὑπερθεισμός ἐστιν, ἢ καὶ τὸ Μιτρόδωρος τὸ Μιτρᾶς, καὶ τὸ Μιωδόρος τὸ Μιωᾶς, καὶ τὸ Θεοδόσιος τὸ Θευδᾶς. αὐτίκα δὲ ἐκ προοιμίων ἀνίσησι τὰ φρονήματα ὧν πιστευσάντων καὶ τὰς ψυχὰς, ἃς πὼ ἴσην αὐτοῖς διηγείρων περὶ τὸ κήρυγμα ἀπουδὴν τοῖς ἀποστόλοις. οἱ γὰρ ἰσότιμον χάρισμα λαχόντες, οὐκ ἂν δικαίοι ὑστερεῖν τινὸς τούτων, ὧν ἴσοι πεφύκασι. πάντα χοῦ δὲ τῇ ἑρμηνείᾳ αὐτοῖς πεικροτεῖ, ἀλλ' ἢ τῇ τοῦ κόσμου, τῇ δὲ ἐν τῇ ἐπιγνώσει τοῦ θεοῦ. αὕτη γὰρ μόνη ἑρμηνεῖ, ὡς τῆς προσκρούσεως ἡμᾶς ἀπαλλάττουσα καὶ τῆς ἐχθρας τῆς πρὸς τὸν θεόν. διὸ καὶ ὁ Χριστὸς, ταύτην ἡμῖν ἀπὸν πρὸς τὸν πατέρα παρέσχε, καὶ ἀναστὰς ἐκ νεκρῶν, εἰρήνην ὑμῖν, βοᾶν. καὶ ἐν ταῖς Ἐκκλησίαις ἡμεῖς τὸν Ἄγγελον τῆς εἰρήνης ἡμῖν εὐχόμεθα δοθῆναι. καὶ ὁ Ἱερεὺς πολλάκις ταύτην παρέχει τῷ λαῷ ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου. καὶ ἡμεῖς ἐν ταῖς πρὸς ἀλλήλους προσρήσεσι ταύτην κεχρήμεθα, ὅτι αὕτη μήτηρ πάντων ὧν ἀγαθῶν, καὶ ὑπόστασις τῆς χαρᾶς ἡμῶν. διὸ καὶ ὁ κύριος φοιτῶντας τοὺς ἑαυτοῦ μαθητὰς ἐς τὰς οἰκίας ταύτην πρέχειν πρώτην ἐθέσπισεν. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Τὸ ἑξῆς οὕτως. χάρις ὑμῖν καὶ εἰρήνη, ὡς πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐν τῇ ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ κυρίου διὰ τῆς θείας αὐτοῦ δωρεᾶς τῆς χάριτος ταύτης ὑμῖν δωρησαμένης αὐτὰ πὼ ἐπιγνῶσιν, πὼ δόξαν, πὼ ἀρετῶν. δι' ὧν τὰ μέγιστα ἐπαγγέλματα ἐδωρήθη. ἵνα ἀποφυγόντες πὼ κοσμικὴν φθορὰν πὼ δι' ἐπιθυμίας ἐγκυμονούσῃ, γένησθε κοινωνοὶ τῆς θείας φύσεως.

Ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Τὸ ἑξῆς. ὑμῖν τοῖς διὰ τῆς ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν ἰσότιμον ἡμῖν πίστιν λαχοῦσι διὰ τῆς δικαιοσύνης τοῦ θεοῦ ἡμῶν, χάρις καὶ εἰρήνη πληθυνθείη. ἢ τὸ ἑξῆς οὕτως. ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. ἥτις ἐπίγνωσις διὰ τῆς θείας αὐτοῦ δωρεᾶς, πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐδωρήσατο, αὐτὴν πὼ ἐπίγνωσιν τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ἧς δόξης καὶ ἀρετῆς τὰ τίμια καὶ μέγιστα ἐπαγγέλματα ἐδόθη. ἵνα γένησθε θείας κοινωνοὶ φύσεως, διὰ τὸ ἀποφυγεῖν τῆς κοσμικῆς ἐπιθυμίας πὼ φθοράν. ἀλλὰ καὶ αὐτὸ τοῦτο, ἤτοι ἐς αὐτὸ τοῦτο πᾶσαν πρεσενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει πὼ ἀρετῇ, διὰ τῆς ἀρετῆς πὼ γνῶσιν, ἐν τῇ γνώσει πὼ ἐγκράτειαν, ἐν ταύτῃ πὼ ὑπομονὴν, διὰ τῆς ὑπομονῆς πὼ εὐσέβειαν, ἐν ταύτῃ πὼ φιλαδελφίαν, διὰ τῆς φιλαδελφίας πὼ ἀγάπην.

» Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδω-
» ρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν τὰ
» τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοι-
» νωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς, καὶ αὐτὸ τοῦτο δὲ
» σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν
» δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν
» ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελ-
» φίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. Διὰ μακροῦ μὴν ἀπρόδοτα, ἔστι
δὲ μὲ διάνοια αὖτη. ὡς μυρία λαβόντες ἀγαθὰ διὰ τῆς ἐπιφανείας Χριστοῦ, δι' ὧν
δωρούμεθα καὶ θείας φύσεως γένεσθαι κοινωνοὶ καὶ πρὸς ζωὴν καὶ εὐσέβειαν ἀναχθῆναι,
ὀφείλομεν πολιτεύεσθαι οὕτως, ὡς ἐπιχορηγεῖν τῇ πίστει τὴν ἀρετὴν, καὶ διὰ τῆς
ὁδῷ βαδίζειν ἐπὶ τὴν καθ' εὐσέβειαν πρόοδον, ἕως ἂν τὸ τέλειον ὦμεν ἀγαθόν, ὅ
ἐστιν ἡ ἀγάπη, ἐλθούσης. θείας δὲ κοινωνοὶ φύσεως γινόμενοι διὰ τῆς τοῦ κυρίου καὶ
θεοῦ ἐπιγνώσεως ἀπ' ἀρχὴν τῆς ἡμετέρας φύσεως ἑαυτῷ ὑπῆρξαν ὥστε καὶ ἀγα-
σαντας τὴν πρόληψιν. ἡ δὲ ἀπ' ἀρχὴ ἀγάπη, καὶ τὸ φύραμα. φύραμα δὲ τῆς ἀπ' ἀρχῆς
γὰρ ἀγάπης, ἐξ οὗ οἱ ἐξ ὧν μὲ ἀπ' ἀρχή. φθορὰν δὲ τὴν ἀπὸ τῆς κοσμικῆς ἐπιθυμίας, φησὶν, ὡς
ἐκφθαρῶν τε καὶ πρὸ φθορᾶς συγκεκλυσμένης. βαθμοὶ δὲ τῆς προκοπῆς ἐπίστασαι,
πρώτην τὴν πίστιν, ἥτις θεμέλιος ἐστὶ ὧν ἀγαθῶν καὶ κρηπίς. εἶτα δεύτερον βαθμὸν,
τὴν ἀρετὴν, ἤγουν ἔργα. χωρὶς γὰρ τούτων ἡ πίστις νεκρά, ὡς Ἰάκωβός φησιν. ἐπὶ
τούτοις ἡ γνῶσις. τίς δὲ αὕτη; μὲ ὧν τὰ θεοῦ ἀποκρύφων μυστηρίων εἴδησις, ἥτις
γὰρ τῷ τυχόντι παραίνεται, ἀλλὰ τῷ δι' ἔργων κρείττονα τὴν ἕξιν γεγυμνασμένῳ. ἐπὶ
τούτοις ἡ ἐγκράτεια. δεῖ γὰρ καὶ ταύτης τῷ πρὸς μέτρον ἀφικνεῖσθαι, ὡς ἂν μὴ ἀξυ-
βρείζοι τῷ μεγέθει τῆς δωρεᾶς. ἐστειδὴ δὲ ἐγκέκειται ἐπὶ μικρὸν χρόνον τὴ ἐγκρα-
τείᾳ βεβαίαν κεκτῆσθαι τὴν δωρεάν, (φιλοῦσι γὰρ ἀεὶ τὰ πάθη, τὰ κατὰ χρόνος ἐ-
λευθερίσαντα ἐπὶ τὸ χεῖρον προάγεσθαι,) μὲ ὑπομονὴ ἐπεισελθοῦσα τὸ πᾶν κα-
τεργάσατο, καὶ τὴν εὐσέβειαν προεξένησε, τελωτέραν τὴν ἐς θεὸν ἀπεργασα-
μένη σκοπὸν ἐποίησιν. διὸ καὶ τῇ εὐσεβείᾳ μὲ φιλαδελφία προσεπορίσθη, ἐγκαὶ ἐπι-
χορηγουμένη μὴ τῆς εὐσεβείας τὸ περὶ πάντα ἐνγνωμονικὸν πρέσχον ἐπίβασιν. καὶ ἐπὶ
πᾶσι, τὸ πάντων ἀγαθῶν πλήρωμα, ἡ ἀγάπη, ὡς Παύλῳ καὶ τῇ ἀληθείᾳ δο-
κεῖ. αὕτη γὰρ καὶ τὸν τοῦ θεοῦ υἱὸν, καὶ τὸν πατέρα ἐξεβίασαν, τὸν μὲν τὸν ἀ-
γαπητὸν αὐτῶ δοῦναι, τὸν δὲ υἱὸν τὸ αἷμα αὐτῶ ὑπὲρ ἡμῶν ἐκχέαι.

» Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα. ἐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστη-
» σιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυ-
» φλός ἐστι μυωπάζων. Ταῦτα ποῖα; ἡ πίστις, ἡ ἀρετὴ, ἡ γνῶσις, ἡ ἐγκράτεια,
μὲ ὑπομονὴ, μὲ εὐσέβεια, ἡ φιλαδελφία, ἡ ἀγάπη. ἅπινα γὰρ μόνον παρεῖναι δεῖ,
ἀλλὰ καὶ πλεονάζειν. ἐὰν γὰρ ἡ παρουσία ὠφελεῖ, πολλῷ μᾶλλον ἡ περιουσία. τίς
δὲ μὲ ὀφ αὐτῶν ὠφέλεια; τὸ παρρησίαν ἔχειν εἰς τὴν τοῦ κυρίου δευτέραν παρουσίαν. τῷ
γὰρ μὴ ἔχοντι ταῦτα, τῷ δόξῃ τοῦ κριτοῦ παρανομοῦντι καὶ ὡς ἁλίου ἀπαφρασθέντος,

τυφλώσεις ἐπακολουθεῖ, ὅπου καὶ ἐλέγχεται τὸν ὄντα, ὃν οὕτως φιλῶ αὐτῷ
ἀπαθῶς ἑνοραν τὸ ὑπέρλαμπρον, πεφυκότες ἀεὶ τὸ ἄγαν τῷ φωτὶ ἀποσιλβον-
τος, ἀμαυροῦσθαι ὧν ἀσθενῶς πρὸς αὐτὸν τὸν ὀφθαλμὸν ἐντρεφόντων. μυωπάζειν
δὲ τὸ τυφλῶσθαι εἴρηται, ἀπὸ ὧν ὑπὸ τὴν μυῶν τυφλῶν εἰς ἅπαν διατελούντων.
Κεφ. ϛ'. Λάβετε λαβὼν τὸ καθαρισμοῦ ὧν πάλαι αὐτοῦ ἁμαρτιῶν. διὸ μᾶλλον ἀ-
» δελφοὶ σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι.

Τοῦτο ὅμοιον τῷ ἐν τῷ μακαρίου Ἰακώβου ἐρημίᾳ, ὅτι εἴτις ἀκροατὴς λό-
γου ἐστὶ καὶ ἐ ποιητὴς, οὗτος ἐοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως
αὐτοῦ ἐν ἐσόπτρῳ. κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπῆλθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος
ἦν. καὶ γὰρ καὶ οὗτος ἐπιγνοὺς ἑαυτὸν διὰ τοῦ καθαρθῆναι τῷ ἁγίῳ βαπτίσματι, ὅτι
πολλοῖς ἁμαρτιῶν ὄφεσιν ἐλύθη, δέον ἦν εἶναι, ὅτι καθαρθεὶς καὶ ἁγιότητα ἔλαβε,
νήφειν ἵνα διαπαντὸς τηρῇ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, ὁ δὲ
ἐπελάθετο. διό, φησὶ, μᾶλλον ἀδελφοὶ μου σπουδάσατε μόνιμον καὶ ἀμεταπίνη-
τον διὰ πάντων τὴν κλῆσιν ὑμῶν εἰς ἐκλογὴν, τουτέστι τὸν κατηχητικὸν λόγον, οὗ πα-
ραλαβόντες ἐκλογὴν ὑμῶν ἠκούσατε εἰς τὸν κλῆσιν, ἀνεπίληπτοι εἶναι, ἵνα μὴ ὡς ἐπιλε-
λησμένοι τῆς δωρεᾶς τοῦ θεοῦ κριθῆτε, ἀλλὰ μένοντες βεβαίαν τὴν κλῆσιν, ὑμῶν ἔχοντες.

» Ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. οὕτως γὰρ πλουσίως ἐπιχορηγηθή-
» σεται ὑμῖν εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ
» Χριστοῦ. Διὸ οὐκ ἀμελήσω, ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων. Ταῦτα. ποῖα;
τὰ προειρημένα. οἷον τὴν ἀρετὴν, τὴν γνῶσιν, τὴν ἐγκράτειαν καὶ τὰ ἑξῆς τούτων.
σπουδαῖον δὲ πῶς πρότερον ἀπὸ τῶν φοβερῶν προτρεψάμενος τοῦ βήματος τοῦ κριτοῦ,
νυνὶ καὶ ἀπὸ ὧν ἀγαθῶν προτρέπεται τῆς ἁγιότητος τῆς εἰς τὴν αἰώνιον βασιλείαν τοῦ
» κυρίου. Καίπερ εἰδότας καὶ ἐστηριγμένους τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ
» ἡγοῦμαι, ἐφ' ὅσον ἐμὶ τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, ἡ-
» δὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ κύριός ἡμῶν Ἰη-
» σοῦς Χριστὸς ἐδήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν
» ἔξοδον τούτων μνείαν ποιεῖσθαι. Ἵνα μὴ δόξωσι σπεύχως ἀναμιμνη-
σκόμενοι περὶ ὧν αὐτῶν ὡς τῆς ἀρχῆς εἶναι κατεγνωσμένοι, καὶ λυπηθῶσι, τούτου
χάριν ἐπήγαγε τὸ, καίπερ ἐδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. αἰτίαν
δὲ ἀποδιδοὺς τῆς σπουδῆς ὑπομνήσεως, ἐπήγαγε τὸ, ἡδέναι ταχεῖαν ἔσεσθαι τὴν
ἀπόθεσιν τοῦ σώματος αὐτοῦ καθὼς ἀπαλλαγήν. τὸ δὲ ἀφερόμενον, λέγω δὲ τὸ, σπου-
δάσω δὲ καὶ ἑκάστοτε, τίνες τῆς ὑποστάσεως ἀκούοντες, οἷον, σπουδάσω δὲ καὶ μετὰ
τὴν ἐμὴν ἔξοδον ἔχειν ὑμᾶς ἑκάστοτε, τουτέστι καθ' ἑκάστην καὶ διηνεκῶς τὴν τούτων
μνήμην, βούλονται παρεισᾶγειν ἀπὸ τούτου, ὅτι καὶ μετὰ θάνατον οἱ ἅγιοι μέμνηνται
ὧν τῆδε καὶ πρεσβεύουσιν ὑπὲρ ὧν ζώντων. ἅγιοι δὲ ἀπλῶς μεταχειριζόμενοι
τὸ ῥητὸν, οὕτω νοοῦσι. σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξο-
δον, τῶν τούτων μνήμην ποιεῖσθαι. τουτέστι μὴ θαυμάζετε μὴ δὲ βαρὺ ἡγεῖσθαι τὴν
ἐνδελεχῆ περὶ ὧν αὐτῶν ὑμῖν καταγγελίαν. ἐπὶ γὰρ καταγνώσεσιν ὑμῶν ἀμαθίας ἔχων

τὸν ποιῶ

τῦτο ποιῶ, ἀλλὰ τῇ συνεχείᾳ τῆς περὶ τούτων διδασκαλίας, ἔμμονον καὶ ἀμετακίνητον ὑμῖν ἐργάζομαι τὸ τούτων ἀντιλαβέσθαι, ὡς οὐ τούτοις βεβαιωθέντες, ἔχητε καὶ μεθ' ἑαυτῶν ἐμοὶ ἀπροβίωτον ἔνεκα καὶ ἀνεξάλειπτα τὰ περὶ τούτων διδάγματα.

» Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυ-
» ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου
» μεγαλειότητος. Εἰ τῶν περὶ ἀποδράσεως ἔχειν αὐτοὺς ὀφείλειν, δῆλον ὅτι ἐξ τοῦ
ὑπ' αὐτοῦ εὐαγγελισθέντα αὐτοῖς, καὶ περὶ τούτων πολὺ κατατείνας τὸν λόγον,
καὶ πολλάκις, καὶ παρ' ἡδονὰς καὶ ἀκαίρους διαφόρως, νῦν τὸ παρωτικὸν αὐτῶν ἀπο-
φέρει καὶ φησιν, ὅτι γὰρ μάτην πολὺν περὶ αὐτοῦ ἐποιήσατο λόγον, ἀλλὰ τὸ καὶ
βλέπον αὐτῶν ἀπατήσαν καὶ ἀληθέσταν, καθ' ὃν ἔσχον αὐτῶν περὶ ἐμοῦ. καὶ τί
τοῦτο; τὸ μὴ σοφίᾳ ἀνθρωπίνῃ χρησαμένους ἐξ ὑμᾶς, καὶ κεκαλλιεπημένοις λόγοις
καταγοητεύσαντας ὑμῶν τὸν ἀκοὼν, γνωρίσαι τὸν τοῦ κυρίου δύναμιν ὑμῖν καὶ παρου-
σίαν, ὃ ποιοῦσιν Ἕλληνες καὶ αἱρετικοί. Ἕλληνες μὲν τῇ καλλιλεξίᾳ χρώμενοι
καὶ ἐξαπατῶντες, αἱρετικοὶ δὲ τοῖς πλάσμασιν. ὡς οἱ ἀπὸ Οὐαλεντίνου, βυθοὺς
καὶ σιγὴν τερατολογοῦντες. ἦκός γὰρ αὐτοὺς καὶ ἤδη ἀρχαθαι ὑποφυομένους. ὄφελεν
οὖν τοιοῦτον καταφοιτῆν ἐστὶν ἐν ἡμῖν. λιτῷ γὰρ τῷ ποιήματα λόγῳ τὸν πρὸς ὑμᾶς διδ-
δασκαλίαν, ὃ καὶ Παῦλος πρὸς Κορινθίους φησὶ, καὶ ἀπ' ἐξ αὐτοφίας ἔχομεν, οἱ οὐ
τῷ ὄρει τῷ ἁγίῳ συναναβάντες αὐτῷ. λέγει δὲ τὸν ἐν τῇ μεταμορφώσει δόξαν ἣν ἔσχηκαν
αὐτοῖς ἀπὸ τοῦ μονογενοῦς δόξαν, καὶ τὸν φωνὴν, ἣν ὑπὸ τοῦ πατρὸς ἐξ οὐρανοῦ οὐκ ἔσχηκαν
διὰ τὸν κύριον ἤκουσαν. ἐπεὶ δὲ διὰ ὧν πραγμάτων ἐγνωμεν καὶ τίνας πείρας
τὸ ὑπὸ τῶν προφητῶν πεκαλυμμένον, βεβαιοτέραν κρίνομεν φησὶ διὰ τούτων τὸν προ-
φητείαν αὐτῶν. τοῖς λόγοις γὰρ ἐπακολούθησε τὰ πράγματα. διὸ καὶ ὑμεῖς καλῶς
ποιεῖτε προσέχοντες τῇ προφητείᾳ, ἕως οὗ τοῖς ὑπὸ ὧν προφητῶν προλελαλημένοις,
καὶ ἡ ἀμυδρὸς ὑπ' αὐτῶν ἐλέχθη τότε, καὶ καθ' ὃν ἦκόνα τὸ ἐνοφοῦσι τόπῳ
καμομένου λύχνου. ἡνίκα γὰρ ὁ αὐχμηρὸς τόπος τῇ τοῦ Ἡλίου ὑπακκαιόμενος θάλ
ψῃ, καὶ τῆς τὸν ἀέρα ἡδοποιούσης νοτίδος ἀπεστερούμενος. ἀφ' οὗ, τὸν διακονοῦν
τὰ ἀέρα τῇ τοῦ Ἡλίου ἀκτῖνι, πολὺ ἑαυτοῦ κινδυνεύοντα ἰδιότητα ἀπελέσαι, ἀνάγκη
νόθον πρέχειν ἑαυτὸν διάκονον τῷ Ἡλίῳ. καὶ ὡς διὰ νόθου ὀχήματος πολὺ ἀκτῖνα φερο
μένου, ἀμυδρὰν πολὺ ἑαυτῆς ὑπαίνειν λαμπρότητα. προσέχοντες δὲ τοῖς οὕτω
ἀσαφῶς ὑπὸ ὧν προφητῶν ἡρμένοις, οὐκ ἀσχήσετε τῆς ἐλπίδος. ὧν πραγμά
των γὰρ φησι καὶ ἴδιον καιρὸν πραγνομένων, ἃ καὶ ἡμέραν ἐκάλεσε, ὅφῳ ἄγαν
τῇ προσῳ ὑμεναίας, (εἴτε γὰρ λύχνον καὶ τόπον αὐχμηρὸν, ἕως οὗ ἐνοφοῦσι καὶ σκο
τεινὸν, ὃ πρὸ καὶ νύξεσι, νυκτὶ δὲ πάσῃ ἡμέρᾳ ἐπακολουθεῖ,) ἡμέρας οὖν φη-
σὶ πραγνομένης, τῆς ὧν πραγμάτων λέγω παρουσίας, ἕξετε τὸν φωσφόρον ἀνα-
τέλλοντα ἐν ταῖς καρδίαις ὑμῶν, (τυτέστι τὸν τοῦ Χριστοῦ γνῶσιν, ἕως τὸν παρουσίαν αὐτοῦ τὸν προκατηγγελμένον ὑπὸ ὧν προφητῶν,) καὶ ὡς φῶς ἀληθὲς ἐν καρ-
δίαις ὑμῶν ἐλλαμπρύνοντα. εἶτα ἐπαίσει ἐπεξηγούμενος, διὰ τί οἱ προφῆται τὰ
ὑπ' αὐτῶν ἡρμένα οὐκ ἡρμήνευσαν, ἅμα δὲ καὶ διακρίνει τὸν ἀληθῆ προφητείαν τῆς

Δαιμονιώδιος

Δαιμονιώδιος καὶ πλασῆς, ἥτις καὶ οὐ τοῖς αἱρετικοῖς ἐνεργοῦσα καταλαμβάνεται,
καίφησιν, ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως γίνεται, τυτέστιν ὅτι
λαμβάνουσι μὲν ἀπὸ θεοῦ οἱ προφῆται τὸν προφητείαν, ἀπ' οὐκ ὡς ἐκεῖνοι βούλονται,
ἀπ' ὡς τὸ κινοῦν αὐτοὺς θεῖον ἐνεργεῖ πνεῦμα. καὶ ἠδύναντο μὲν καὶ σωπῆσαι τὸν κα-
θ' ἑαυτὸν μερισμένον αὐτοῖς προφητικὸν λόγον, ἐμοὶ δὲ καὶ τὸν ἐπίλυσιν αὐτοῦ ἐποι-
ήσατο. καὶ ὅτι οἱ ἀπὸ θεοῦ ἐνεργούμενοι πνεύματος προφῆται ἦδύναντο ὡς ἀπὸ θεοῦ
καταπέμπεται ὁ λόγος αὐτοῖς, δῆλον ἀφ' ὧν ἐκόντες ὑπούργουν, καὶ ὃ οὐκ ἠθε-
λον ἐκάλουν, ὃ δὲ μὴ ἤθελον, ἐσιώπων. ὡς Ἰωνᾶς ὁ προφήτης παρῃτήσατο τὸ
κήρυγμα τῆς Νινευί. καὶ ὁ Βαλαὰμ παραγγελλόμενος λαλῆσαι τὰ ὑποβαλλό-
μενα αὐτῷ, ἐμοὶ καὶ οἱ ψευδοπροφῆται, ἢ τῶν Ἑλλήνων μαντεῖα. ἐμοὶ γὰρ ἤδυναν,
ἐν τῷ ἐνεργεῖσθαι, ἀλλὰ μανίας γινόμενοι παράφορει ἠγνόουν ὃ ἔπασχον, ὡς οἱ μεθύον
τες. οἱ μὲν γὰρ ἄλογοι προφῆται, οἱ παλαιοὶ φημι, καὶ σπουδάζοντες χρείαν εἶχον ἑρμη
νέως τῶν ὑπ' αὐτῶν, ἀπ' ἑτέρους Διακόνους ταῦτα. (ἡμῖν γὰρ.) ἅμα δὲ καὶ ἵνα λαμ-
βάνῃ ἡ τοῦ κυρίου παρουσία, καὶ μὴ ἐμβουλεύηται πρὸς ὧν ἀσεβῶν. ἐμβουλευομένων
μὲν γὰρ ἦν δυνατὸν καὶ διδράσκειν διὰ τῆς ἀνυποβλήτου τοῦ θεοῦ σωφρόνως. ἀπ' ἦκός
ἐνίοτε διὰ παραδόξων τῆς ἀποφυγῆς τελουμένης ὡς τερατῶδες δόξῃ τὸ τελούμε-
νον τῆς ἀναστάσεως. καὶ ὅτι ἀληθὲς τυτο, δῆλον ἀπὸ ὧν τὴν νέαν προφητῶν
οἱ καὶ ἡρμήνευον ἑαυτοῖς προφητεύοντες, ἢ καὶ μὴ πάντως. ὡς Παῦλος ὁ θεῖος ἐν
τῇ πρὸς Κορινθίους πρώτῃ φησίν. ἐμοὶ γὰρ ἴσως τινὸς τοιούτου ὑπόνοια ἐν τῇ νέᾳ. ἀλλὰ καὶ
ὅτι ἐκ ἔξεστάμενοι οἱ προφῆται ἐχρησμῴδουν δῆλον καὶ τυτο. ἔξενός γὰρ πνεύματος
προφητεύοντων ὧν τὴν παλαιᾶν καὶ τὴν νέαν φησὶν ὁ Παῦλος. ἐὰν δὲ ἀγρικαλυ-
φθῇ ἄλλῳ καθημένῳ, ὁ πρῶτος σιγάτω. σαφὲς γὰρ ἐκ τούτου ὅτι οὐ τῷ καθ' ἑαυτὸν
ἐξαμενοι οἱ προφῆται καὶ σωιέντες, ἑκόντες προεφήτευον. διὸ καὶ ἄλλου ἀνιστα μέ
νου τὸν ἐμπνευσθέντος, ὁ πρῶτος λαλῶν σιγᾶν ἐπιτρέπεται. ὁ πρὸ γὰρ οὐ τὴ μανο
μένων εὑροιτις. πῶς γὰρ σιωπήσει ὁ μηδ' ὅτι δρᾶ ἐξεστάμενος; καὶ πνεύματος δὲ
εἶναι ἐνέργειαν ἁγίου οὐ τοῖς προφήταις. ὁ αὐτὸς Παῦλος φησὶν οὕτω λέγων. ὧ
μὲν δίδοται λόγος σοφίας, ᾧ δὲ προφητείας. ἀπὸ καὶ οὗτος δὲ ὧν προκειμέ
νων. Λαβὼν γὰρ πρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς οἵας ἐνεχθείσης αὐτῷ τοιᾶς
δὲ ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης. Τοῦτο ἦν ἀντὶ ὁσιακοῦ ῥήματος ἔταξε, λα-
βὼν ἀντὶ τοῦ ἔλαβον. ἐπεὶ μὴ καθ' ὃ ἀκόλουθον τῆς μετοχῆς ἡ ἀπόδοσις φέρεται.
ἢ ἴσως μὴ τοῦτο, βούλεται δέ τις οὕτω ταῦτα λαμβάνειν ὡς μετοχὴν κυρίως τὸ λαβὼν, ἀ-
ναγκαίως ἐξ ἀσυντάξιαν ὁ λόγος ἐξολισθήσει. ἀντὶ δὲ τῆς μετοχῆς τοῦ ὁσιακοῦ
λαμβανομένου, ἀκολούθως τὸ ἐνεχθέν ἔσται. οἷον. ἔλαβε γὰρ πρὰ θεοῦ πατρὸς
δόξαν. καὶ ἔχομεν ἐκ τούτου βεβαιοτέραν πᾶσαν τὴν ὑπὸ ὧν Προφητῶν περὶ αὐτοῦ προ
καταγγελίαν, ἐκ ὅτι περὶ τῆς θείας φωνῆς ὑπὸ τοῦ πατρὸς ἄνωθεν ἐγένετο προ-
φητεία, ἀπ' ὅτι ἀπὸ τῆς τοῦ πατρὸς ἄνωθεν φωνῆς τὴν ἰδότητα μαρτυρησάσης, ἐδρά-
σθημεν πᾶσαν τὴν δι' ὧν προφητῶν χρησμῳδίαν, ἀναντιρρήτως ὑπὸ τοῦ πατρὸς μαρ
τυρουμένην φέρεσθαι. Οὗ τόδε ἐστὶν ὁ ἡδόμου ὁ ἀγαπητός, ἐξ ὃν ἐγὼ εὐδόκησα. καὶ

τοῦτον

» ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, ὄντες αὐτῷ σὺν τῷ ὄρει
» τῷ ἁγίῳ. καὶ ἐχομεν βεβαιότερον τὸν προφητικὸν λόγον. ᾧ καλῶς ποιεῖτε προσέ-
» χοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσ-
» φόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προ-
» φητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ
» προφητεία, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι θεοῦ ἄνθρωποι.

Οὗτός ἐστιν ὁ υἱός μου. πρὸς λέγονται ἢ ἀπὸ τοῦ πατρὸς τῷ υἱῷ μαρτυρεία. ἐπὶ τῷ βαπτίσματι. ἐν τῷ πάθει, τὸ, καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. καὶ ἐπὶ τῷ ὄρους. τοῦτο πρῶτον γινώσκοντες καὶ τὸ ἑξῆς. ἤδεισαν οἱ προφῆται καὶ ἃ ἐμπνέονται ὑπὸ τοῦ προφητικοῦ πνεύματος, καὶ περὶ ὧν, χρόνου καὶ ἀκριβῶς καὶ ὡς καθ' ἕκαστα ἐπετελέσθη. διὸ καὶ σωζέντες ἐπεθύμουν ἰδεῖν τὰ τούτων ἐκβασιν, ὡς καὶ ὁ κύριος
Κεφ. γ'. φησιν. Ἐλθόντα δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευ-
2 » δοδιδάσκαλοι. Τοῦ τῆς προφητείας ὀνόματος κοινῶς καὶ καθ' ὧν προφῶν καὶ καθ' ὧν ψευδοπροφῶν φερομένου, ἀσφαλίζεται νῦν μὴ τοῖς ψευδοπροφήταις προσέχειν, καὶ τί τὸ διαφέλλων Παῦλος ἐδίδαξεν, ὅτι γὰρ εἷς λέγει κύριον Ἰησοῦν ἢ μὴ ἐν πνεύματι ἁγίῳ. ἄρχεται δὲ ἐντεῦθεν τῆς καθ' ὧν Νικολαϊτῶν αἱρέσεως τῆς καταδρομῆς διπλῶ λέγων τὴν κακίαν αὐτῶν. ἡσὶ γὰρ περὶ μὲν δόγματος ἀσεβέσαι, ὃ διὰ τῆς ἐς τὸν δεσπότην Χριστὸν βλασφημίας αὐτῶν ἀπεδείξαν, περὶ δὲ βίου, ἀσελγήσαι. καὶ τοῦτο δὲ νῦν μὲν διὰ τῆς αἰσχροκερδείας παιστᾶ, μικρὸν δὲ πρόβας, τρανότερον προσέξει. πλεονεξίαν γὰρ ἢ πόνων νῦν τὴν αἰσχροκερδείαν ἐσήμανεν. ἡ γὰρ πλεονεξία τοτὲ μὲν τὴν ἀδικίαν σημαίνει, τοτὲ δὲ τὸ κέρδος ἁπλῶς. ὅθεν οἰκείως τὸ, ἐμπρεύσθησαν προσέθηκεν. ἀμοιρίων δὲ αὐτοὺς παντελῶς τῆς θείας διδασκαλίας, πλασοῖς εἶπεν αὐτοὺς λόγοις χρωμένους. ἀηδέξουσί φησι τῆς ἀσεβείας τὸ ὀνόματα, θάνατον. τὸ δὲ, ἐκπαλαι, τῆς προγνώσεως τοῦ θεοῦ ἐστὶ σημαντικὸν, καὶ ὥσπερ τοῖς ἀληθοῖς προγνωστικῶς ἡτοίμασε τὰ ἀγαθά,
» οὕτω καὶ τοῖς πονηροῖς τὸν καθ' ἑαυτῶν ὅλεθρον. Οἵτινες παρεισάξουσιν αὐ-
» τοῖς αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράζοντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυ-
» τοῖς τάχινον ἀπώλειαν. καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις. δι' οὓς
» ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλασοῖς λόγοις ὑμᾶς
» ἐμπορεύσονται. Τὸ ἑξῆς. οἵτινες ἐπάγοντες ἑαυτοῖς τὸ τάχινον ἀπώλειαν, πα-
ρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι,
» καὶ ἐν πλεονεξίᾳ πλασοῖς ὑμᾶς λόγοις ἐμπορευόμενοι. Οἷς τὸ κρῖμα ἔκπα-
» λαι γὰρ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει. Οὐκ ἀργεῖ, ἀντὶ τοῦ γὰρ ἀργόν,
ἤτοι γὰρ ἀνενέργητον ἔσται. Εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο,
» ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τετηρημένους, καὶ ἀρχαίου κόσμου
» οὐκ ἐφείσατο. Εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων, οὐδὲ κόσμου ἀρχαίου, ἀλλὰ
καὶ πόλεις Σοδόμων καὶ Γομόρρας κατέκρινε καταφλογῆ τεφρώσας, καὶ εἰς ὑπόδει
γμα πάντων τῶν μετ' αὐτὴν μελλόντων ἀσεβεῖν τέθηκε, Νῶε δὲ δικαιοζώνης κήρυκα,
κατακλυσμὸν

κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, ἐφύλαξεν, ἅμα καὶ τὸν Λὼτ καταπονούμενον ὑπὸ τῶν ἀσεβῶν, ὅτε τοὺς ἐπ' ξενοδοκίαν ἐλθόντας διϊλυόντι ἀγγέλους οἱ τῶν Σοδόμοις ἐζήτουν καὶ διὰ καὶ πρὸς ζῆλον τῶν ἀσεβῶν αὐτῶν πράξεων ἡμέραν ἐξ ἡμέρας πράσσοντα λούμενον, εἰς τὸ βασανίζοντα τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς τούτων ἀρχῆς καὶ ἐγκρατείας, ἐρρύσατο, ἅ πολλῷ μᾶλλον καὶ καθ' ἡμᾶς τὸν νῦν καιρὸν καὶ αὐτοὺς ἀπωλείας παραδώσει; ὡς τοὺς πρώτους ἀγγέλους, καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ ἔτι Σοδομήνους; ὑμᾶς δὲ τοὺς μετὰ τούτων τῷ τῷ κόσμῳ προικωῶντας ἁ χὶ σώσει ὡς τὸν Νῶε καὶ τὸν Λὼτ τοὺς συσκηνοῦντας τότε τοῖς πανόμοις; οὕτω πάντως ποιήσει. ἁδελφοὶ ἀντερεῖ. οἶδε γὰρ εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, κακοὺς δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν. σκόπει δὲ ὅτι τὸ περὶ ὧν κακοπραγιῶν προθεὶς ἄνω πρᾶγμα, νῦν τὸ ὧν δικαίων μετατίθ, καὶ διὰ τούτου ψυχαγωγῶν τοὺς ξηλωτὰς ὧν δικαίων, ὡς μετριωτέρους ὧν ἀσεβῶν εἶναι. Διὸ καὶ ὁ Χριστὸς πρῶτον τὰ μέρα τοῖς δικαίοις δίδωσι τοῖς ἐκ δεξιῶν ἀρνίοις, εἶτα τοῖς δὲ ἀριστερῶν ἐρίφοις τὰς τιμωρίας. καθότι καὶ τὰ τέρατα ὧν συμπρωτῶν προτιμᾶται. ἀγγέλων ἁμαρτησάντων γὰρ ἐφείσατο. ἐκ ὧν προτετιμηλύων ἡ πρόχειρησις. φησὶ γὰρ, ἁ οὖτοι οἱ διὰ τὸ τῆς ὑσίας ἀκήρατον, ἄγγελοι τίμιοι πρὸς θεῷ καταθέντες ἁμαρτήσαντες συγγνώμης γὰρ ἔτυχον, γὰρ οἱ προσεχεῖς τῆς αὐτῆ πλάσεως ἄνθρωποι, πολλῷ μᾶλλον γὰρ τούτων ἁμαρτησάντων φείσεται. διὰ δὲ ὧν σειρῶν τὸ ζόφου, τὸ ἀφυκτον καὶ ἀδιάδρασον τῆς κατακρίσεως σημαίνει. τριοὺς γὰρ δεσμοὺς τοὺς ἀκριβῶς ὑφ' ὑμῶν καθ' ἑκάστην ἀθέντας κολάζομεν. ἅμα πρὸς ἐρεῖτις ὅτι δίλιν ἡ τριαύτη κατάκρισις ὧν δαιμόνων; ἀπ' αὐτῶν διϊλαδὴ ὧν δαιμόνων. καὶ γὰρ ὑπὸ τῷ εὐαγγελίῳ δέονται μὴ εἰς τὸν Ἄβυσσον αὐτοὺς καταπέμψαι, ὡς καὶ ἑτέρων τότε πάντων παθόντων. Ἰστέον μὲν ὡς καὶ ὑποθετικῶς πεποίηται τὸ πρόχειρημα, οὐχὶ δὲ καὶ τῷ ὄντι οὕτως ἐστίν. οὐ γὰρ ἔχει πρὸς ἀντάπόδοσιν. ἅμα σχήματι μόνον οὕτω προβέβληται, τῇ δὲ ἀληθείᾳ πράσγματικὴ πίστις ἐστὶν ἀπολῆ. καὶ διὰ τί; ἡρήσεται. ἁ γὰρ καθ' ὃ σχῆμα ἴσως, οὕτως ἂν προύβη. ἁ γὰρ ἀγγέλων οὐκ ἐφείσατο. ἁμαρτησάντων, ἁ ἀρχαίου κόσμου, ἁ Σοδόμων καὶ Γομόρρας, ἆρα τούτων φείσεται; οὐδαμῶς. ἢ καὶ οὕτως. οὐ τούτων φείσεται πάντως. οὐχ ἁπλῶς δὲ ἅπερ ὧν προτιμοτέρων πειρᾶ, ἅμα δεῖξαι βουλόμενος ὡς μᾶλλον οὗτοι ὑποδικώτεροι ἁμαρτάνοντες. ἐπεὶ οὖν καὶ οὗτοι τὸ προτιμότερον ἔχουσιν, ὡς κλιθέντες μὲν εἰς ἀργολήν, ἐκτραπέντες δὲ τῆς θείας ὁδοῦ, μεῖζον καὶ τὸ καθάκριμα ἔχουσιν. ἐξ ὑποθέσεως δὲ κινήσας τὸν πράσγματικὸν πίστιν, οὐκ ἀπέδωκε τὸ ἀκόλουθον τῷ σχήματος. σπέρχεται γὰρ τὸ πράσγμα τῆς ὧν δικαίων προσλήψει, καὶ ὀφειλῶν ἐπὶ τῷ ἐξ ἀρχῆς προτεθέντος τὸν ἀπόδοσιν ποιήσαι, ρυτέσι ὧν ἁμαρτησάντων, δι' οἷς καὶ τὸ πράσγμα, καὶ ἡ ὧσιν. ἡ τούτων οὐκ ἐφείσατο, ἆρα ὧν πρόντων ἀσελγῶν φείσεται; ἢ καθ' ἀπόφασιν. πολλῷ μᾶλλον οὐδὲ τούτων φείσεται, οὐ τοῦτο ποιεῖ. διὰ τί; εὑρίσκει γὰρ αὐτὴν ἡ ἀπόδοσις, δύο προκειμένων ὑπραγμάτων, καλῶν καὶ κακῶν, πρὸς τὸ κακὸν μόνον γνομένην, οὐκέτι δὲ πρὸς τὸ ἀγαθόν. οὐ γὰρ καλοῖς καὶ ἀποδίδοται. ἐν οἷς
οὐκ

οἷον γὰρ ἤρκεσε μίαν ἀπόδοσιν τὸ πεπτωκέναι ἅπασι, ἑτέρως διεγράψατο τῇ φράσει. καὶ δι' ὑπονοίας τὸ ὀφειλόμενον ἀπετέλεσε. διὰ τί δὲ τοῖς κακοῖς πεισθῶσι τῶν ἀγαθῶν ὑποδείγματα, ἐρήσεται καθ' ὁδόν.

» Ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν
» ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόρρας πέφρωσας κατατροφῇ κατέκρινεν, ὑ-
» πόδειγμα μελλόντων ἀσεβεῖν πεφηκώς, καὶ Δίκαιον Λὼτ καταπονούμενον ὑπὸ
» τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐρρύσατο. Ὡς προλαβόντες εἴπωμεν
καθ' ὃ τὸ σχῆμα τοῦ φαινομένου λόγου, καὶ ἡ ἔννοια ἐπακολουθεῖ τῶν προκειμένων.
γὰρ ὑπόκειται ἡ ἀπόδοσις ἡ ἑνὸς τὰς τοιαύτας συντάξεσιν ἔχουσα. οὐ γάρ ἐστιν
ἀπλῆ πραγματικὴ πίστις, καὶ τῶν διὰ ἁμαρτίας κολαζομένων, καὶ τῶν διὰ δικαιο
ζήλω τιμωμένων, ὡσεὶ ἔλεγε. διὰ τί ὁ θεὸς καὶ τοὺ ἁμαρτάνοντας ἀνευ φειδοῦς
κολάζων ἀπαραιτήτως, ὡς τοὺς ἁμαρτήσαντας ἀγγέλους, ὡς τοὺς ἐπὶ τοῦ κατακλυ
σμοῦ, ὡς τοὺς Σοδόμων πόλεις, καὶ πάλιν τιμᾷ τοὺς δικαιοζήλως ἐργαζομένους,
ὡσπερ τὸν Νῶε, ὡσπερ τὸν Λὼτ. καὶ ἔστιν ἡ ζήτησις τοιαύτη. ἴσασιν ὅτι κολασθή-
σονται οἱ ψευδοδιδάσκαλοι διὰ τὰς βλασφημίας αὐτῶν, διὰ τὸν ἀσελγῆ βίον αὐτῶν,
φέρει τὰ παραδείγματα. ὁ γὰρ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, οὐδὲ
ἀρχαίου κόσμου. οὐδὲ πόλεις Σοδόμων ἔφυγον τὸν ὄλεθρον, ἀλλὰ καταπεφρωθεῖ
σαι εἰς ὑποφρονισμὸν ὑπόκεινται τῶν ἀσεβούντων. καὶ πάλιν, τοὺς δικαιοζήλως ἀσκή-
σαντας τιμᾷ οἷδε θεός, ὡς τὸν Νῶε, ὡς τὸν Λὼτ. καὶ διὰ ποίαν δικαιοζήλως ἐ-
κάστου ἔχηγεῖται. ὅτι καὶ τὸν Νῶε καὶ τὸν Λὼτ διὰ σωφροζήλω ἐφύλαξεν αὐτοὺς
τοῦ ὀλέθρου τῶν κατ' αὐτοὺς ἀνθρώπων. ὁ, τε γὰρ Νῶε ὑκ ἀνήχθη τῇ ἀσεβείᾳ τῶν πρὸ
τοῦ κατακλυσμοῦ, ὅτε Λὼτ οὐδὲν ζηλώσας τῆς ἀσελγείας τῶν ἐν Σοδόμοις. ἀλλ' ἡμέ
ραν ἐξ ἡμέρας οἷον κεντούμενος τῇ ὁράσει τῶν ἀσελγουμένων, ἐξ ὧν αὐτὸς οὐκ ἀσελγῶ
παρακαλούμενος, οὐδὲν ὑπεῖκεν. ὃ τρισὶ, βλέμματι ἐξ ἀκοῆς. ὅτι πολλὰ εἶχε τοῦ
πρὸς ἀσέλγειαν αὐτὸν ἐκκαλούμενα, ὅρασιν, ἀκοὴν, τὴν κατὰ τῶν πονηρῶν συναναστροφὴν, ἀλλ' οὐδὲ τοῖς ἐπιξενωθέντας αὐτῷ ἀγγέλοις ἐν σχήματι ἀνθρώπων, τοῖς δὲ
ἀσέλγειαν αὐτοῖς ἐξαιτοῦσι παρέσχε. καίτοι μυρία ὑπὸ τούτων τῶν ἐξαιτούντων ἐπη
ρεαθείς. τὸ γὰρ διὰ τὸ, κἂν προυμένου, ὑπέφηνε. ἐβούλοις ὥσπερ ἐπῳδύνημα ἐπιφέ
ρει. οἷδε κύριος εὐσεβεῖς ἐξῆς. οὐδὲν δὲ πρὸ δικαίων προειπών, ἢ μὴ πρὸ μόνων ἀσεβῶν
καὶ τῆς τούτων τιμωρίας, πρενέβαλε καὶ τὸ τῶν δικαίων παράδειγμα. πρῶτον μὲν
διὰ τὸ καὶ τὴν Ἰσραὴλ ἅμα μεμνῆσθαι, καὶ τῆς τῶν ἀσεβῶν ἀπωλείας, καὶ τῆς τῶν
δικαίων σωτηρίας. ἔπειτα δὲ καὶ ἐκ παραθέσεως τούτων, τῶν μὲν ἁμαρτησάντων τὸ
ἐξαίρων τὸ κακὸν, τῶν δὲ καρτερησάντων λαμπρῶν τὸ καρτερῶθέν. ἔτι δὲ καὶ
τοὺς ἀκροατὰς πείθων, τῶν μὲν μισῆσαι διὰ τὰς τιμωρίας τὸ ἀσελγές, τῶν δὲ ἠσπάσασθαι διὰ τὴν σωτηρίαν τὸ καλόθεμα. ὅθεν καὶ τῷ ἐπῳνύματι ἀμφοτέ
ρων μέμνηται καὶ τῶν ἀσεβῶν καὶ τῶν εὐσεβῶν, καὶ τῆς τιμωρίας καὶ τῆς σωτηρίας.
τί δὲ βουλόμενος ἐντεῦθεν δὲ, εἴρηται ἤδη. ὅτι τῶν μὲ βδελύξασθαι αὐτοὺς βουλό
» μενος τὴν κακίαν, τῶν δὲ ζηλῶσαι τὴν ἀρετήν. Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ Δί
καιος

» καιος ἐν ἀνόμοις ἐργοις ἐβα-
» σάνιζεν. οἶδε κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρί-
» σεως κολαζομένους τηρεῖν, μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πο-
» ρευομένους, καὶ κυριότητος καταφρονοῦντας. Πολλὰ φυσιμ ἔχων τὸ πρὸς ἀσέλ
γειαν ἐκκαίουσα καὶ ἐκμοιοῦντα καὶ παρακαλοῦντα, ὅρασιν, ἀκοὴν, τὴν μετὰ τῶν
πονηρῶν συναναστροφὴν, οὐδενί τούτων ἐπίφορος πρὸς ζῆλον αὐτοῖς γέγονεν. μά-
λιστα δὲ τοὺς ὀπίσω σαρκὸς. ὑπὸ τοῦτο εὐφυῶς ἀπὸ τῶν ὑποδειγμάτων τῶν πεπειρα-
μένων, ἐπὶ τὴν προοῦσαν ἔλεγον ὑπόθεσιν. λέγει δὲ περὶ τῶν καταράτων Νικολαϊτῶν,
ἤτοι γνωστικῶν, ἢ Ναασηνῶν, ἢ Κερδωνιανῶν. πολυώνυμος γὰρ αὐτῶν ἡ κακία, καὶ
ὡς τοῖς μαρτοῖς ἔργοις, οὕτω καὶ τοῖς ὀνόμασι συνεχυμένη καταλαμβάνεται. οὓς γὰρ,
ὡς φθανομένους ἤδη ὄντας, βυθὸν ὑποσκιάμενοι καὶ σιγὴν τοῦ πρωτουργοῦ τῆς τοῦ κό
σμου ὑποστάσεως, καὶ τινας αὐτοῦ τούτων μητέρας καὶ αἰῶνας τερατολογήσαντες,
ὡς καὶ Μαρκίων αὐτοῦ τούτων λαβὼν πονηρὰ σπέρματα, εἶτα κυριότητος δὲ τούτων
τῆς τοῦ κόσμου δημιουργίας παρωσάμενοι καὶ ἐπῳδίας, ἐπὶ πᾶσαν ἐχώρησαν ἀθέ
σαρκικὴν ἀκαθαρσίαν. καὶ εἴ τις περὶ τούτων ἐθέλοι μαθεῖν τὸν Εἰρηναίου τοῦ κλε-
τοῦ μακαρίου ἀνθρώπου περὶ αὐτῶν ἐκτεθεμένην βίβλον μετὰ χεῖρας λαβών, ἵνα
ἐπιγράψῃ καὶ τῆς ψευδωνύμου γνώσεως, εὑρήσει τοὺς τούτων ἀκαθαρσίας, δὲ
Μάρκου μάλιστα τοῦ ἀσελγεστάτου καὶ ὧν ὑπ' αὐτοῦ ἠπατημένων καὶ διεφθαρ-
» μένων ἐλεεινῶν γυναικῶν. Τολμηταὶ, αὐθάδεις. δόξας γὰρ τρέμουσι βλασφη-
» μοῦντες, ὅπου Ἀγγελοι ἰσχύι καὶ δυνάμει μείζονες ὄντες γὰρ φέρουσι κατ' αὐτῶν
» παρὰ κυρίῳ βλάσφημον κρίσιν. οὗτοι δὲ ὡς ἄλογα ζῶα φυσικὰ γεγεννημένα εἰς ἅλω
» σιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσον
» ται, κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν.

Τολμηταὶ, αὐθάδεις. πεσυπακουστέον τὸ, οἵ ἐστι. πρωσαμβύους γὰρ νῦν τὸν τοῦ κό
σμου ἐπόπτην καὶ ποιητὴν, γλῶσσαν ἀπρεπῆ καὶ βλασφήμους τοῖς τρόποις καὶ αὐθάδεις,
τυτέστι τὸ ἑαυτοῖς ἀρέσκον μεταδιώκοντας λέγεσθαι. σημαίνει καὶ βλασφήμους φησίν. οἱ
γὰρ ἐκ καταφρονήσεως γε δεδικηότες τὸν κυριότητα, τί οὐ πρᾶγμα, ἢ καὶ πρὸς πᾶ-
σαν δόξαν ἀδεῶς διενίνοντο; τρανότερον δὲ περὶ τούτων ὁ μακάριος ἀπόστολος
Ἰούδας ἐρεῖ, ὅπου καὶ περὶ τοῦ Μωυσέως μνημονεύσει σώματος. οὗτος γὰρ νῦν μόνον
ὑπέκρουσεν, ἀψάμενος ὁμοῦ καὶ καταπαύσας ὧν περὶ τούτου λόγον. ἐξ ἐκείνου
τοίνυν καὶ περὶ ὧν πεκλημένων λαβόντες τὰς ἀφορμὰς, λέγομεν, ὅτι τὸ, δόξας γὰρ
τρέμουσιν, ἀντὶ τοῦ καταφρονητικῶς ἔχουσι, πᾶσαν δόξαν βλασφημεῖν. καὶ βουλό
μενος ἐπισχεῖν τὸν περὶ τὰ τοιαῦτα αὐτῶν τόλμαν φησίν. ὅπου ἄγγελοι ἰσχύι καὶ δυ
νάμει μείζονες ὄντες γὰρ φέρουσι κατ' αὐτῶν παρὰ κυρίῳ βλάσφημον κρίσιν, τοῦτον τῷ
μακαρίῳ Ἰούδᾳ, ὡς ἔφημεν, λέγων, ἐπεὶ κἀκεῖνος τὸν τινῶν γλωσσαλγίαν κολά
ζων, ἀπὸ τοῦ αὐτοῦ παραδείγματος τρίβεται τὸν νουθεσίαν, σαφέστερον μέντοι, δι'
ὧν οὕτω λέγει. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος καὶ ἑξῆς, γὰρ ἐτόλμησε κρίσιν ἐπε-
νεγκεῖν βλασφημίας. τοιοῦτον οὖν καὶ Πέτρος λέγειν βούλεται νῦν, ὅτι οὗτοι οἱ κα
κοδαίμονες

κοδαίμονες γὰρ εἰμὶαν ἔχωσι φειδὼ ὥρι τὸ τῆς δόξας βλασφημεῖν. καὶ τοιγὰρ οἱ δυνάμει καὶ ἰσχύι μείζονες ὄντες, διὰ τοῦτο τῶν μιαρῶν τούτων, γὰρ φέρουσιν, ὑπὸ τοῦ προκομίζουσι κατ' αὐτὸ οἱονεὶ τῶν δοξῶν βλάσφημον κείσιν πρὰ κυρίῳ. καὶ τοῦτο μάρτυς Μιχαὴλ ὁ Ἀρχάγγελος. ἐπεὶ γὰρ δόξης τινὸς μετέχει καὶ ὁ Διάβολος διὰ τὸ ἀρχὴν εἶναι τοῦ πλάσματος κυρίου, ἀνάγκη κατ' αὐτὸ βλάσφημον λόγον. καὶ ἔστιν οὗτος τούτων μᾶλλον ἐπιχείρησις οὕτως. εἰ γὰρ ὁ μᾶλλον ἄξιος βλασφημεῖσθαι Διάβολος, ὅμως διὰ τὸ δόξης μετέχειν ἀνάγκη ἔτυχε τοῦτο πρὰ τοῦ Μιχαὴλ ἐνώπιον κυρίου, ἀνὰ οὐ φέροντες εἶσιν οἱ περὶ χεῖρας πᾶσαν δόξαν βλασφημοῦντες, πολλῷ τῆς ὧν Ἀγγέλων τιμιότερος καθ' ὅν φερόμενοι. δόξας δὲ εἴτε θείας φησὶ δυνάμεις, εἴ καὶ τὰς Ἐκκλησιαστικὰς ἀρχάς, ὧν ἀπεναντίας οἱ χοιρώδεσταροι οὗτοι φερόμενοι καὶ βλασφημοῦντες αὐτὰς διετέλουν. καὶ οἱ μὲν Ἄγγελοι οὗτοι, αὐτὰ δὲ ὡς ἄλογα φυσικά, τυτέσι κατ' αἴσθησιν μόνον ζῶντα ἀνθρώπου καὶ τῶν οἰκείων ζώων, διὸ καὶ ἐναλωτὰ τῆς φθαρτῆς τυτέσι τῆς κατὰ τὸν φθειρομένου ζωὴν ὠφελιμαγωγῆς, θυμοῖς καὶ ἐπιθυμίᾳ ἀγόμενοι καὶ φερόμενοι ᾗ οἷς ἀγνοοῦσιν, εἴτε τῇ καθ' ἑκάστου αὐτῶν ἀγνοίᾳ βλασφημοῦντες, τῇ ἐπαξίᾳ ἑαυτῶν φθορᾷ καταφθαρήσονται κομιούμενοι μισθὸν ἀδικίας, ὃν ἐβούλοντο ἑαυτοῖς προεξένησαν, ἡδονὴν ἡγούμενοι τὸν ἐν μέρᾳ τρυφὴν, τὸ ὄντως φησὶν ἐφ' ἑσπέρᾳ, τὸν ἀληθῆ καὶ ἑστέρασον εὐφροζύνην καὶ ἡδονὴν ᾗ τῇ καθ' ἡμέραν τιθέμενοι τὸ λαμπρὸν ἀπολαύσει. ἴστεον μὴν ὡς ἡ θεία γραφὴ τὰ φυσικῶς ὀνόματα τοῖς ἀνθρώποις, τυτέσι τὰ ὡς ζώοις αὐτοῖς ᾗ ὑπάρχοντα, ἐπειδὰν διαβάλλῃ, πρὸς τὰ ἄλογα αὐτὰ ἀφομοῖ, ἄνθρωπος, φάσκουσα, ἐν τιμῇ ὢν γὰ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις. καὶ, μὴ γένεσθε ὡς ἵππος καὶ ἡμίονος. καὶ ἵππου θηλυμανεῖς ἐλοῦντο. ἐ γένεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραὶ, γὰ μεταποιοῦσα τὰς φύσεις φάσκουσα ταῦτα, (τοῦτο γὰρ ἀδύνατον,) ἀλλὰ τούτων τὰς φυσικὰς ὁρμὰς, τὰς μὴ ἐκκλινεῖν παρακαλοῦσα, ὧν δὲ ἐσαινετῶς ἔχεσθαι. ὅταν δὲ φρονιμώτερον παραγγέλλῃ πρὸς τὸ κρεῖττον τὸν ὁμοιότητα πρασέμεσθαι, ὡς ὅταν λέγῃ, γίνεσθε οἰκτίρμονες ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, γὰ δὲ φύσιν μεταποιοῦσα, οὐ γὰρ ὅσον ἡ ἰσχὺς ὑπερβάλλει τὸν πρὸς ἐκεῖνον πρακελευομένην. Σπίλοι δὲ μῶμοι. ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν. συνευωχούμενοι ὑμῖν. ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκατασταύστου ἁμαρτίας. δελεάζοντες ψυχὰς ἀστηρίκτους. καρδίαν γεγυμνασμένην πλεονεξίας ἔχοντες. κατάρας τέκνα. καταλείποντες τὴν εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν, ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας. ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. Σπίλοι καὶ μῶμοι. τὸ ἑξῆς οὕτω. σπίλοι δὲ μῶμοι καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες. τυτέσι διὰ πλεονεξίας γεγυμνασμένην. κατάρας τέκνα. συνευωχούμενοι ὑμῖν. ὀφθαλμοὺς ἔχοντες πλήρεις μοιχαλίδος καὶ ἀκατασταύστου ἁμαρτίας. δελεάζουσι ψυχὰς ἀστηρίκτους, ἃς καὶ Παῦλος ἔλεγε γυμνασία σεσφαλισμένα ἁμαρτίαις.

οἱ δ' αὖτε οὗτοι καταλιπόντες εὐθεῖαν ὁδὸν ἐπλανήθησαν τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ ἐξῆς. οἱ δ' αὖτε εἰσὶ πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι ἐξῆς. καὶ τίνος χάριν ὁ ζόφος αὐτοῖς ἀπόκειται εἰς τὸν μέλλοντα αἰῶνα; διὰ τοῦτο ὑπερόγκων αὐχῶν ματαιότητα, δι' ἧς δελεάζουσι τῇ πρὶν ἐν πλάνῃ ἀναστραφέντας, ἐόντως τοιούτων ἀποφυγόντας, ἐν ἀσελγείαις καὶ ἐπιθυμίαις σαρκὸς ὡς κύνα ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπιστρέψαι. τὸ δὲ ματαιότητος τῆς ματαιότητος τούτων ἐξαγγελτικὰ καὶ πιστωτικά. σπίλοι καὶ μῶμοι. γὰρ φησιν ἔχοντες καθαριότητος ἐχόμενον, ἀνὴρ ὡς σπίλοι ἐν ἱματίῳ καθαρῷ τῇ ἀκραιφνεῖ πολιτείᾳ ἐπιφυόμενοι καὶ πάντα μωμώμενοι, ἐπειδὰν ἀποσπάσωσί τινας, καὶ σωθῶσιν ἀσελγεῖς τοὺς σωθέντας ἄνδρας καὶ γυναῖκας πρασκευάσαι, τρυφὴν ἡγοῦνται τὸ πρᾶγμα, ἀποπληροῦντες πρὸς ἑαυτῶν ἀσέλγειαν, ἀλλὰ καὶ σωτευσχούμενοί φησιν ὑμῖν, γὰ δ' ἀπάτῃσι καὶ τὸ μεταλαμβάνειν ἀλόντος τὸν ποιοῦσιν, ἀλλὰ διὰ τὸ καιρὸν εὑρίσκειν τοῦτον ἐπιτήδειον τῆς προσγυναῖκας ἀπάτης. οὗτοι γὰρ ὀφθαλμοὺς ἔχοντες γὰρ ἄλλο βλέπουσιν ἢ μοιχαλίδας. καὶ ἐν τούτῳ ἀκαταπαύστως ἁμαρτάνοντες ὡς καθάρας τέκνα, ψυχὰς δελεάζουσιν ἀστηρίκτους. ἢ γὰρ καρδίας αὐτῶν πρὸς γὰρ ἄλλο ἢ πρὸς πλεονεξίαν ἐσκήκασι ἢ γὰρ ἀσελγείας ἢ καὶ ὑπημάτων, διὰ ἄπορ ἀμφότερα καταλιπόντες τὴν καταευθύνουσαν αὐτοὺς ἐς σωτηρίαν ὁδὸν, ἐπλανήθησαν ταύτης, ταῦτ' παθόντες τῷ Βαλαὰμ τοῦ Βοσὸρ. ἐπεὶ κἀκεῖνος διὰ δωροδοκίαν μισθὸν ἀδικίας ἠγάπησεν. ἔλεγξιν δὲ τῆς Βαλαὰμ παρανομίας ἔσχεν, ὑποζύγιον ἄφωνον. ὃ τῷ ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. καὶ ντεῦθεν τίνων μανθάνομεν ὅτι διὰ τὸ φυλάττειν αὐτοῦ πάθος ὁ Βαλαὰμ, ὅπερ διὰ τῆς μανιώδους αὐτοῦ μανίας ἔτρεφεν, ἅπαξ κωλυθεὶς ὑπὸ τοῦ θεοῦ, τὸ δεύτερον φιλονείκως πρευθῆναι πρὸς τὸν Βαλὰκ κατηπείγετο. καὶ τῷ φόβῳ τοῦ θεοῦ πεδηθεὶς, καὶ τοῖς καθ' ὁδὸν δείμασι, τὸ ῥῆμα τῆς εὐλογίας γὰρ ἐποίησεν ὅπερ γὰρ τῆς μανείας ἦν, (ἑτέρωθι γὰρ τὴν μανείαν ἐκμανομένης πεφέρεσθαι ψυχῆς ἀγνοούσης τὸ λεγόμενα,) ἀλλὰ τῆς πεφυτείας. οἱ γὰρ πρὸ φῆται ἐπισάμενοι φθέγγονται) ἃ φθέγγονται). ὅθεν δὲ πεφυτευκὼς αὐτὴν ἐκάλεσεν, ὡς δὲ ἐπισάμενον ἀλέγει. γὰρ ἀν τοῦ ἐκλογῆς γέγονε τῶν κρειττόνων, ἀγαθῶν ἃ φθέγγεται). οὐ τῆς μανείας τοίνυν ἡ εὐλογία, ἀλλὰ τῆς θεοῦ. Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι. οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. ὑπερόγκα γὰρ ματαιότητος φθεγξάμενοι, δελεάζουσιν τοῦ ἐπιθυμίαις σαρκὸς, ἐν ἀσελγείαις τοὺς ὄντως ἀποφυγόντας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ᾧ γὰρ τις ἥττηται τούτῳ καὶ δεδούλωται. Μεταξυλογήσας πολλὰ, ἐν οἷς τὸ τοῦ Βαλαὰμ προήγαγλυ ὑπόδειγμα, ἐπανέλαβε πάλιν ὧν πρὸ ὧν ἀναφάρτων γνωσικὸν λόγον. καὶ ἀποφαίζει αὐτοὺς πηγαῖς ἀνύδροις, ὡς ἀπολωλεκότας τὸ τῆς ζωῆς ὕδωρ. τυτέσι τὸ τοῦ κηρύγματος καθαρὸν καὶ πότιμον ὕδωρ. ὃ ἔχων ὁ νοῦς, πολλοὺς αὐτοῦ κορέσθη ὧν προσιόντων ἐσωπήλλετο. ἀλλὰ καὶ νεφέλαις αὐτοὺς προβάλλει ὑπὸ πνεύματος ἐλαυνομένας, τοῦ ἁγίου δηλονότι. διὸ καὶ λαίλαπα αὐτὸ ἐκάλεσεν, ὡς

σεν, ὡς συφρέφον ἐ σώματα πάντων τὸ ἐλαυνόμενον. τὸ γὰρ ἔνωθεν ἡ λαίλαψ ποιεῖν· ὃ κ ἔστιν οὗ φησι νεφέλαι διαυγεῖς, ὥσπερ οἱ ἄγγοι, ἀηδόμιχλαι ζόφου μεμαί. οἷς ὁ ζόφος ἑτοίμασται, ἐλλείπει δὲ τὴν μέλλουσαν κρίσιν, ὃ τετήρηται. καὶ διὰ τί; ἐπήγαγε τὴν αἰτίαν, ὅτι καὶ ὑπέρογκα ἐκ ματαιότητος φθεγγόμενοι, δελεάζουσι διὰ τῆς σαρκικῆς ἐπιθυμίας ἐν ταῖς ἀσελγείαις τοὺς ἀληθῶς ἀποφυγόντας, καὶ παθάπαξ τοὺς ἀρτίως πλανωμένους ἀναφερομένους. ὥστε ἀσελγείας καὶ ἀλαζονείας καὶ ἀσεβείας ἐστὶν οὗτοι οἱ ταῦτα κατατραπόμενοι. ἀμέ καὶ δοῦλοι φησὶν ὄντες αὐτοὶ τῆς φθορᾶς ἀπαθαρσίας, ἣν καὶ φθορὰν δικαίως καλεῖ, ἐλευθερίαν τοῖς ἀπατωμένοις ἐπαγγέλλονται, τῆς ἀληθοῦς μὲν οὔ, τῆς δὲ κατὰ τὸ ἄνετον τοῦ βίου ξωῆς. διὸ καὶ λογισμὸν ἐπάγει, τὸ ὅτι δοῦλοι ἐστὶ τῆς ἁμαρτίας, θαυμάσιόν τι φάσιον, ὅτι ᾧ τινι τὶς πάθει νενίκηται, τούτῳ καὶ δεδούλωται. εἶτα πάλιν διὰ ἑτέρας ἀποδείξεως σωιστᾶ, ὥσπερ ὁ τινὸς ἡττώμενος τούτῳ καὶ δουλεύει. ἐ γὰρ
» ὑποστάσεως ποιεῖται τὴν ἧτταν. Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσ-
» μου ἐν ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος Ιησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλα-
» κέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν αὐ-
» τοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν, ὑποστρέψαι ἐκτῆς πα-
» ραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας,
» κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἔξέραμα, καὶ ἡ λουσαμένη εἰς κύλισμα βορβόρου.

Δύο κατασκευάζει διὰ τοῦ προφήτου λόγου ὅτι καὶ τῷ ἡττωμένῳ ἀνάγκη τὸν ἡττῶμενον δουλεύειν, καὶ ὅτι οἱ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, πάλιν ἐνέχόμενοι τοῖς προτέροις, χείροσι τῶν προτέρων πορίστασθαι κακῶν. Τύπος δὲ καὶ τὴν παροιμίαν ἐπάγει συμπαρον. ἔστιν οὖν ὅλος ὁ λόγος οὗτος. ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος Ιησοῦ Χριστοῦ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, τούτοις πάλιν ἐμπλακέντες ἡττῶνται αὐτῶν, πάντως που καὶ δουλεύουσιν αὐτοῖς, καὶ χείρονα τῶν πρὸ τῆς ἐπιγνώσεως πορίσασθαι τῶν δουλείαν τούτων γεγόνασι, καταπαυδιάζοντος αὐτοῖς τοῦ ἐπιβούλου ἡμῶν Σατανᾶ χείροσι πορίσειν χθῆναι, ἢ ἀπολογίαν τῆς ὅσον δὴ ὧν πονηρῶν ἔργων ἀργίας. διὸ καὶ ὁ ἀπόστολός φησιν, ὅτι εἰ δὴ τοῦ ἀπόκειται τοῖς παλινῳδίαν ὧν κακῶν ᾄδουσι, κρεῖττον ἦν αὐτοῖς μὴ δὲ ἐπιγνῶναι, ἢ ἐπιγνόντας χείροσιν ἀλῶναι. ἐοικεν καὶ κύων ἐπὶ τὸ ἴδιον ἔξέραμα ἐπιστρέφων, εὐτελεστότερος. ἀλλ' ἡ φύσις μισήσασα, ἀπέβλυσαν αὐτὸν κατηνάγκασε, ταῦτα πάλιν ποιοῦμενος προφῶ, καὶ ὡς ἐπὶ φθορότατα ἐθίων, καὶ ὡς τὰ τῇ φύσει ἐξημβλωμένα, εὐτελεστότερος, καὶ εἰς πάλιν ἀποκυηθῆναι ζητοῦσα, ἢ βορβόρῳ τὸν ποιοῖν, ἐυπαρώτερα ὧν

Κεφ. δ'. πετέρων ῥητῶν φανείη. Ταύτην ἤδη ἀγαπητοί δευτέραν ὑμῖν γράφω ἐπιστολήν,
3 » ἣν ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, μνησθῆναι ὧν προειρημένων
» ῥημάτων ὑπὸ ὧν ἁγίων προφητῶν, καὶ τῆς ὧν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ κυρίου καὶ
» σωτῆρος Ιησοῦ, τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου ὧν ἡμερῶν, ἐμ-
» παῖκται κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι, καὶ λέγοντες, ποῦ ἐστὶν ἡ
» ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν πάντα οὕτως

διαμένει

» διαμένει ἀπ' ἀρχῆς κτίσεως. Ἐκ τούτων μανθάνομεν δύο τὰς πάσας εἶναι τοῦ Πέτρου ἐπιστολάς. τὰ δὲ, ἃ οἷς διεγείρω ὑμῖν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, ἐν ὑπερβατῷ ἀκουστέον οὕτως. ἐν αἷς ἐπιστολαῖς, τουτέστι δι' ὧν ἐπιστολῶν ἐγείρω τὴν ὑμῖν εἰλικρινῆ διάνοιαν. εἰλικρινοῦς γὰρ διανοίας καὶ καθαρὰς ὧν ἤδη ἀκουσθέντων ἢ ἀρτεσθέντων βουλεῖων μνησθῆναι, καὶ διεγερθῆναι πρὸς ἐπανάληψιν τῆς τούτων ἐργασίας φησὶν ὑπόμνησις καὶ προθυμία. ἀποστεθη δὲ διὰ ὧν προφητικῶν λόγων, δι' Αποστολικῶν κηρυγμάτων. διὸ καὶ Παῦλος φησίν. ἐποικοδομούμενοι ἐπὶ τῷ θεμελίῳ ὧν Αποστόλων ἐ Προφητῶν. πάντες γὰρ οὗτοι τὴν τοῦ κυρίου παρουσίαν κατήγγειλαν, καὶ τὴν πρώτην καὶ τὴν δευτέραν. καὶ γνήσιον ἀπιστεῖν τοσούτοις μάρτυσι καὶ κλικούτοις. καὶ τί, φησι, λέγω Προφήτας καὶ Αποστόλους; ὅτι κατήγγειλαν καὶ τὴν πρώτην καὶ τὴν δευτέραν αὐτοῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν παρουσίαν; καὶ ἔστιν ἡ ζώνταξις οὕτως. μνησθῆναι ὧν προειρημένων ῥημάτων ὑπὸ ὧν ἁγίων Προφητῶν, ὑπὸ τῆς ὧν Αποστόλων ἡμῶν σωτῆρος, ὑπὸ τῆς σωτῆρος τοῦ κυρίου καὶ σωτῆρος. καὶ τοῦτο γὰρ ἡ ὑπόθεσις. καὶ διὰ τὴν μνήμην ἀναζωπυρῆσαι ταύτην πρακτέον ἐστάγει. ὅτι οἱ ἐμπαθῶς ζῶντες καὶ τὰς ἐπιθυμίας τὰς ἰδίας, ὁρῶντες τινὰς δεδότας τὴν τοῦ κυρίου παρουσίαν, ὡς μετὰ ἁγίων ἀγγέλων καὶ αὐτὸς ὁ κύριος παραγίνεται, καὶ διὰ ταύτην ἀθετοῦντας τὴν ἁγνὴν αὐτῶν βιοτὴν, εἶτα μὴ κατὰ πρᾶξιν ὧν λόγων τὴν πεῖραν φθάνουσαν, ἀμὲ παλαιομνήμονα διὰ τὴν ὧν πολλῶν ἀσέβειαν, ἐπιφύονται τοῖς πιστοῖς ἐπιπωθάζοντες ἅτε ἐμπαίκται καὶ λέγοντες. ποῦ ἐστὶν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; διὰ μιᾶς. ταύτης τῆς μήπω ἀφανισμοῦ διά τινας οἰκονομίας, καὶ ταῖς ἁγίαις σωτηριώδεσι τοῦ κυρίου ἐντολαῖς ἀπειθεῖν κακουργοῦντες. ταῦτα δὲ οἱ κατ' ἐκείνους τοὺς καιροὺς Γνωστικοὶ ἢ Νασσηνοί, οἱ δ' αὐτοὶ καὶ Λαμπετιανοὶ καὶ Εὐχίται ἐληρῴδουν. οἷσ ἅπαντας λανθάνει φησὶν ἑκόντας. ἐθελοντὶ γὰρ μύουσι πρὸς τὴν ἀλήθειαν, ὡς καὶ πρὸ τοῦ γέγραπται.
» καμμν. Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οἱ οὐρανοὶ ἦσαν ἔκπαλαι.

Καὶ τί τὸ λανθάνον αὐτούς; ὅτι ὥσπερ ἐν τῷ κατακλυσμῷ ἦσαν οὐρανοὶ, κατὰ τὴν Μωσέως κοσμολογίαν, ἐξ ὕδατος. (αὐτὸς γάρ φησι τὸν θεὸν ποιεῖσθαι στερέωμα μέσῳ τοῦ ὕδατος, τουτέστι στερεωτέραν ὧν ὑδάτων ὑπόστασιν,) καὶ ἐν γῇ δὲ ὡσαύτως ἐκ ὧν ὑδάτων ἀνεφάνη τῷ τοῦ κτίσαντος προστάγματι, καὶ ὑπερκόσμιος αὐτοῖς οὖσα. καὶ ὡς ἐξ ὑδάτων συνεστώτων οὐρανοῦ καὶ γῆς, ὁ κατακλυσμὸς ἐπῆλθεν ἀπροσδοκήτως, ὡσαύτως καὶ νῦν διὰ πυρὸς ἀπόκειται τὴν φθορὰν τοῦ παντὸς λυέσθαι, μεθ' οὗ καὶ οἱ ἀσεβεῖς ἀπολοῦνται. δύο γὰρ ὄντων ὧν σωτικωτάτων στοιχείων τοῦ παντὸς, ὕδατος καὶ πυρὸς, ἀφ' ὧν καὶ τὰ λοιπὰ δύο στοιχεῖα τὸ εἶναι λαμβάνουσι, ἀὴρ μὲν ἑκατμιζομένων ὧν ὑδάτων, γῆ δὲ συγκρινομένων ὧν αὐτῶν, τῆς ἑκατμίσεως ὡς ἐκ πυρὸς καὶ τῆς συγκρίσεως, γένους ὧν νοῦν ἐχόντων ἀπιστούντων, (ταύτην γὰρ δώσαμεν ἐν τῷ ποιήσαντος θεοῦ ἐν τῷ πυρὸς ἔλαχε φύσις,) δύο τινῶν ὄντων, καὶ πέρατος τῆς ὧν ἀσεβῶν φθορᾶς, διὰ τοῦ ὕδατος νομισθείσης, ἀνάγκη πάλιν φησὶ τὴν ὧν ἀσεβούντων φθορὰν διὰ τοῦ πυρὸς λυέσθαι. τὸ

θαι. τὸ δὲ λυέσθαι τῷ τοῦδε τοῦ παντὸς φθοράν, οὐ μόνον Χριστιανοῖς, ἀλλὰ καὶ τοῖς τῶν Ἑλλήνων σοφοῖς δοκεῖ. ὡς Ἡρακλείτῳ τῷ Ἐφεσίῳ, ὡς Ἐμπεδοκλεῖ τῷ Αἰτναίῳ. ἀλλ' ἐρεῖτις ὅτι, καὶ τίς ὁ λόγος τοῦ ὑπρεῖναι ἢ δεῖ πάλιν πρὸς φθοράν χωρῆσαι τὸν κόσμον; καὶ ἐροῦμεν. ὡς οὐ παντελῶς πρὸς φθοράν ὁ κόσμος χωρήσει, ἀλλὰ πρὸς ἀνακαινισμόν. διὸ καὶ ὁ Προφήτης φησί, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. ὥσπερ γὰρ ὑπὸ θεοῦ κατ' ἀρχὰς ὑπρξασα ἡ ἀιδιὸς κτίσις, καλή. καὶ ὡς οὐκ ἀλόγως καλή. διὰ δὲ τὸν τοῦ ἀνθρώπου πρᾶβασιν καὶ αὐτὴ ἡ κτίσις τῇ ματαιότητι ὑποτέτακται, ουτέσι τῷ μὴ βέβαιον ἔχειν τὸ εἶναι, ἀλλὰ ῥοὴ καὶ ἀπορρέοη εἶναι. εἶτα διὰ τὸν κατακλυσμοῦ μικρὸν ἐπισισάντων τῇ θεοσεβείᾳ τῶν ἀνθρώπων, καὶ οἷον δευτέρου ἀρχὴν συγκείμενος τοῦ κόσμου λαβόντος διὰ τοῦ Νῶε καὶ τῶν ἐν τῇ κιβωτῷ τῆς ζωοις διαφυλαχθέντων ἐις τὸ πάλιν συσῆναι σπερμάτων, ὅμως οὐδὲ τότε τῆς τῶν ἀνθρώπων προτερισάσης φύσεως, ἀλλ' ἐπὶ χείροσι τῶν προτέρων ἀπορρέυσάσης, ὧν χειρόνων ὁ νόμος ὁ διὰ Μωυσέως ἀπέφηνεν, οὐχ ἡ τοῦ κυρίου παρουσία, ἣ μὴ ἐπὶ βραχέσι προβέβηκε τὸ τῆς σωτηρίας. (πρὸς γὰρ ὀλίγων σωζομένων ἑσμὸς πρὸς πολλῶν ἀπολλυμένων καθεπάσιν μενεαν φλιβοῦν; διὰ τί μοι δοκῶ καὶ παρατείνεσθαι τὸν χρόνον τῆς συντελείας εἰς τὸ συντελεσθῆναι τὸ πλήρωμα τῶν σωζομένων.) ἐπεὶ οὖν πολύτροπος μὲν ἡ πρὸς τὴν σωτηρίαν κλῆσις, πολυσχιδὴς δὲ ἡ ἐξ ἀπειθείας ἀπώλεια, διὰ τοῦτο ἀναγκαῖος ὁ τοῦ πυρὸς κατακλυσμός, φθορὰ μὲν ἢ καὶ μὴ παντελής. ψυχῶν γὰρ οὔ, ἀλλ' ὀδὲ σωμάτων. πάντας γὰρ δεῖ παρασῆναι ἡμᾶς τῷ βήματι τοῦ χριστοῦ οὐχὶ γυμνοὺς σωμάτων ψυχάς, ἀλλὰ μετὰ σωμάτων ἀφθάρτων καὶ αὐτῶν. πῶς γὰρ ἂν ψυχὴ γυμνὴ κομίσηται τὰ διὰ τοῦ σώματος πεπραγμένα; οὐ γὰρ δικαίου κριτοῦ, δύο πλημμελησάντων κατὰ ταυτὸν, τὸν ἕνα ἀφεῖναι, πρὸς δὲ τὸν ἕτερον τὸ σὸν τοῦ ἐγκλήματος ἐπιφέρειν. ἄλλως τε δὲ καὶ ἡ πυρὶ θεώθαμεν ἀναχωνέυειν τὰς ὕλας, οὐχ ἵνα παντελῆ αὐτὰς δῶμεν ἀνυπαρξίαν, ἀλλ' ἵνα τὸ καθαρὸν αὐτὰς καὶ εἰλικρινὲς δῶμεν, οὐκ ἄντις ἀπίστοιη καὶ τὸν θεὸν διὰ πυρὸς πῶς σωτέλειαν ἐπαγγελλόμενον ἢ μὴ ποιεῖν, ἢ ὡς ποιοῦντα ἐπὶ φθορᾷ τοῦτο ποιεῖν τοῦτο. ἀλλ' ἢ ὡς φθείροι, τί ἂν φθείροι; τὰ πεπραγμένα σύσοιχα τῇ παρούσῃ βιοτῇ. εἰ τί ταῦτα; κτίνη, χλόη, φυτά. χλόη μὲν γὰρ διὰ τὰ κτίνη, κτίνη δὲ ὑπουργατὰ φθαρτῆς τούτης ζωῆς. ἐξανατέλλων γὰρ χόρτον τοῖς κτίνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. φυτὰ δὲ τὰ μὲν εἰς σπέρην καὶ οἰκίας, τὰ δὲ εἰς χρηίαν τροφῆς. τροφὴ δὲ τοῖς ζώοις, φθορᾶς τεκμήριον. τί γὰρ ἂν ἄλλο τοῦδε καὶ ἀναπλήρωσις ἢ φθορὰν ὑπισχνοῖτο ἄν; ταῦτα δὲ ὧν φθαρείη τὰ πρόπαλα πρὸς τὸν ἄφθαρτον ζωήν. καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν ὑπρξίσεται γῆν, οὐχ ἑτέραν δὲ τὴν ὕλην. οὐ γὰρ ὁ συμπηγνὺς νέαν οἰκίαν, ἤδη καὶ ἐκ μὴ πρὸ παρχούσης ὕλης τοῦτο ποιήσει. καὶ ὁ θεὸς ὧν ἅπαξ ὑπρξίσας καθ' ἀρχὰς τὸν ὕλην καὶ διαμορφώσας, τὸ μὲν ὅσον πρὸς τὸν τότε χρείαν, ἀναγκαῖον, πρὸς δὲ τὸν μετὰ ταῦτα ἄφθαρτον, ἀλυσιτελές τε καὶ πρεπῶν, καθαφθείρει. εἰπὶ δὲ συντελῶ, ἀναμορφώσας ἀφθάρτῳ καὶ ἀμηχάνῳ κάλλει,
» ἐάσει τὸν δεύτερον καὶ ἄφθαρτον συμπληρῶν κόσμον. Καὶ γῆ ἐξ ὕδατος, καὶ δι' ὕδατος

» δι' ὕδατος συνεστῶσα τῷ τοῦ θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς
» ἀπώλετο. οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτοῦ λόγῳ τεθησαυρισμένοι εἰσὶ πυρὶ τηρούμε-
» νοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων. ἓν δὲ τοῦτο μὴ λανθα-
» νέτω ὑμᾶς ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη
» ὡς ἡμέρα μία. Ἡ γῆ ἐξ ὕδατος μὲν, ὡς ἐξ ὑλικοῦ ἄτιον, δι' ὕδατος δὲ ὡς δια-
τελικοῦ. ὕδωρ γὰρ τὸ συνέχον τὴν γῆν, οἷον κόλλα τις ὑπάρχον αὐτῇ. μὴ γὰρ αὐ-
τῆς πεσόντος, ἀναγκαῖον πρὸς χωῶ αὐτὴν διαλυέσθαι καὶ ἀεροῦσθαι. ἐπιφυήσεται δέ
τις ἡμῖν ἴσως φλυάρῳ γνώμῃ. τί δήποτε ὁ θεὸς τὸν κόσμου τὸν ὁρώμενον ὑπρξή-
σας, οὐκ ἐξ ἀρχῆς ἑδραῖον καὶ ἀμετάβολον ἠργάσατο, ἀλλὰ μεταβολαῖς σύγ-
κρατον; ἐξ οὗ καὶ πρὸς τὸ εὐθὺς ἐπανάγεσθαι χρεία, ἐπὶ Νῶε μὲν διὰ τὸ κατα
κλυσμοῦ, νῦν δὲ τῇ συντελείᾳ, διὰ πυρὸς, ὡς νῦν φησὶ Πέτρος. πρὸς ὃν ἐροῦμεν.
ὡς τὸ μὲν ἀμετάβλητον, οὐχοἷόν τε αὐτὸν σχεῖν. πῶς γὰρ, ὃς ἐκ μεταβολῆς εἰλη-
χὲ τὸ εἶναι. ἐκ γὰρ τοῦ μὴ εἶναι ἐις τὸ εἶναι πεσὴ χθὼν, ὥσπερ οὐκ ἂν ἐμφρωντις μὴ ἀλλοίω
σιν ἐρεῖ. καὶ ἐπειδὴ ἡ ἀλλοίωσις ἐπὶ τὸ χεῖρου πρεέβη τοῖς χειροσι συμφυρεῖσα,
ἀναγκαίως ὁ τοῦτου δημιουργὸς ἐπὶ τὸ κρεῖττον ἐπανάγων, ἐπὶ μὲν τοῦ Νῶε τὴν
κάθαρσιν διὰ ὕδατος ἐποίησατο, νῦν δὲ τῇ συντελείᾳ διὰ πυρὸς, ὥσπερ καὶ ἡμεῖς
πυρὶ τοὺς ὕλας ἀναχωνέυειν ἠώθαμεν, οὐκ εἰς ἀφανισμὸν ἀλλ' ἡς καθαρσιν. δι' ὧν. διὰ
τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τῆς μὲν τὸ ὕδωρ ἐπικλυσάσης, ὧν οὐρανῶν δὲ τις κατὰ
ῥάκτας αὐτῶν ἐπαφέντων, τοῦτέστιν ὡς ἂν κατὰ ῥάκτας κατεσειγότων τὸ ὕδωρ.
ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς, ἀπώλετο. τὸ, ἀπώλετο, μὴ πρὸς πάντα τὸν
κόσμον ἀκουσέον, ἀλλὰ πρὸς μόνα τὰ ζῶα, ἃ τὸν ἅπαντα κόσμον οἰονεὶ ἠδυπρίει.
ἔρημος γὰρ ὧν ζώων τότε, οὐδὲ κόσμος ἀὐ νομισθείη. τὸ δὲ, πυρὶ τηρούμενοι εἰς ἡ-
μέραν κρίσεως καὶ ἀπωλείας, οὕτως. τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ εἰς ἡμέ-
ραν ἀπωλείας. τὸ γὰρ, εἰς ἡμέραν, καθὰ κοινοῦ λέγεται. τὸ δὲ, κρίσεως, ἀντὶ τοῦ,
» κατακρίσεως, κεῖται. Οὐ βραδύνει ὁ κύριος τῆς ἐπαγγελίας, ὥς τινες βρα-
» δύτητα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς μὴ βουλόμενός τινας ἀπολέσθαι,
» ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. Συμπεραναμένος τὸν περὶ συντελείας
λόγον, ὅτι ἔσται, καὶ ἐξ ἀναγκαίου, καὶ διὰ πυρὸς, ἃ πάντα καὶ ἡμεῖς διεξοδικώτερον
διεξήλθομεν, μετέβη καὶ ἐπὶ τὴν παράτασιν τοῦ χρόνου τῆς τοῦ κόσμου συντελείας.
καὶφησιν. ὅτι γὰ βραδύνει ὁ κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδύτητα ἡγοῦνται,
ἀλλὰ μακροθυμεῖ τὴν σωτηρίαν ἡμῶν ἐκδεχόμενος, καὶ μὴ βουλόμενος ἡμᾶς
ἀπολέσθαι, ἀλλ' εἰς μετάνοιαν πάντας χωρῆσαι. ἅτε δὴ ἀπείρῳ ὄντι καὶ πελά-
γει οὐσίας ἀπεριορίστῳ ὡδὲν αὐτῷ παρατεταμένον, ἀλλὰ χίλιαι ἔτη ὡς μία ἡμέ-
ρα παρ' αὐτῷ. μᾶλλον δὲ κατὰ τὸν Δαυὶδ, ὡδὲ τὸ πλεῖστον ἡμέρας. φησὶ γὰρ οὗ-
τος. ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου κύριε ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ
φυλακὴ ἐν νυκτί, διὰ τῆς φυλακῆς, τὸ βραχύ φησι τοῦ νυκτερινοῦ κατασήματος δη-
λῶν. ἐις τέσσαρας γὰρ φυλακὰς ἡ νὺξ διαιρεῖται, εἶτα καὶ ὁ κύριος τετάρτῃ φυλα
κῇ πρὸς τοὺς ἱεροὺς παραγίνεται Ἀποστόλους. Ἥξει δὲ ἡ ἡμέρα κυρίου ὡς κλέ-

» ωσπις ἐν νυκτὶ, ἐν ᾗ οἱ ὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυ-
» θήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. τούτων οὖν πάντων λυο-
» μένων, ποταπὰς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσ-
» δοκῶντας καὶ σπεύδοντας τὰν παρουσίαν τᾶς τοῦ θεοῦ ἡμέρας, δι' ἣν οἱ ὐρανοὶ πυρού-
» μενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται; καινοὺς δὲ ὐρανοὺς καὶ γᾶν
» καινὰν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. διὸ ἀ-
» γαπητοί τοῦτο προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι
» ἐν εἰρήνᾳ. καὶ τὰν τοῦ κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν, ἡγεῖσθε. Τὸ ἄδηλον
τᾶς ἐφόδου τᾶς τοῦ κυρίου παρουσίας καὶ τὸ ἀπροσδόκητον, διὰ τὸ κλέπτου καὶ τᾶς νυ-
κτὸς ἐδήλωσε, διὰ μὲν τᾶς νυκτὸς τὸ ἄδηλον. ἄδηλα γὰρ πάντα τὰ ἐν νυκτί. διὰ
δὲ τὸ κλέπτου, τὸ ἀπροσδόκητον. γὰρ εἰς κλέπτην προσδοκῶν κλαπήσεται, ἀλ-
λ' οἱ ἀπροσδόκητοι τούτου ἐκεῖνοι κλαπήσονται. Διὸ καὶ ὁ κύριος φησίν. ὅτι ὥσπερ
ἐν ταῖς ἡμέραις τᾶ Νῶε ἦσαν οἱ ἄνθρωποι, ἐυθυμούμενοι γάμοις καὶ γήρις, καὶ
τᾶς μελλούσης αὐτοῖς ὑπολαβεῖν συμφορᾶς ἀνεννόητοι, ἕως ὁ κατακλυσμὸς αὐτοῖς
ἐπέστη, οὕτω καὶ ἡ παρουσία τοῦ κυρίου ἀπροσδοκήτως ἐπελεύσεται τοῖς ἀσεβοῦ-
σι. ῥοιζηδὸν δὲ τὸ, μετ' ἤχου σημαίνει. Ἴδιος δὲ ὁ τοιοῦτος ἦχος πυρὸς ἐν τοῖς ὑπὸ
πυρὸς καταβοσκομένοις. σπόπει δὲ ὅτι γῆν εἶπε τὸ ἐν αὐτῇ κατακαήσεσθαι, οὐχὶ
ἀνθρώποις, ἢ μὴ μόνον ἀπώλειαν ἐπὶ τῶν ἀσεβῶν εἶπεν, ἢ περὶ τῶν ἀσεβημά-
των αὐτῶν. ὁδὸς γὰρ ἀσεβῶν ἀπολεῖται, οὐχὶ καὶ ὁ ἀσεβής. καὶ τὸ ἐπάγγελ
μα αὐτοῦ. ἐπαγγειλάμεθα τοῖς πιστοῖς λέγων. ἐλεύσομαι καὶ παλίψομαι ὑμᾶς.
καὶ πρὸ τῷ πατρίμου μοναὶ πολλαί εἰσι, διὸ καὶ Παῦλος φησί. σαλπίζουτος τοῦ
ἀγγέλου ἀπ' ὐρανοῦ, καὶ τῶν νεκρῶν ἀφθάρτων ἀνισταμένων, καὶ αὐτοὶ ἀπαντή-
σεσθαι τῷ κυρίῳ ἐν δόξῃ, τοῦ, ἐν δόξῃ, τὸ ἄφθαρτον δηλονότι σημαίνοντος. ἢ δὲ ἄ-
φθαρτοι πάντως καινοί. ἢ δὲ καινοὶ οὐκ οἶδε, ἐυδηλον ὅτι καὶ ἡ κτίσις καινὴ πεφυ-
κυῖα τῇ τῶν ἀνθρώπων συμμεταβάλλεσθαι καταστάσει, ἐ φθαρτὴ μὲν, διὰ τὸν τᾶς
φθορᾶν τῶν ἀνθρώπων πρατροπὴν, ἄφθαρτος δὲ, διὰ τὸν τῶν ἀνθρώπων ἀνακαινισμὸν
γίνεσθαι. σπόπει δὲ ὅτι καὶ τὸν πολὺν τοῦ χρόνου τᾶς τοῦ κυρίου παρουσίας καὶ τὸν
» μακροθυμίαν αὐτοῦ, τὴν σωτηρίαν ἡμῶν φησὶν ἐκτελεῖσθαι. Καθὼς καὶ ὁ ἀγα-
» πητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὸν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς
» καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων. ἐν οἷς ἐστί δυσνόητά
» τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν
» ἰδίαν αὐτῶν ἀπώλειαν. ὑμεῖς οὖν ἀγαπητοί προγινώσκοντες φυλάσσεσθε, ἵνα μὴ
» τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ, αὐξάνετε
» δὲ ἐν χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα
» καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. ἀμήν.

Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος. καὶ περὶ τοιούτων Παῦλος εἴρη-
κε; Διὸ ἔνεφι. τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει. ἢ δὲ εἰς μετάνοιαν ἐκ τοῦ
θεοῦ μακροθυμία ἄγει, σωτήριος δὲ ἡμῖν ἡ μετάνοια, πάντως ἐπὶ συμφέροντι ἡμῶν
καὶ εἰς

καὶ εἰς σωτηρίαν ἐκ τοῦ θεοῦ μακροθυμία. δυσνόητά δὲ λέγει, ἃ καὶ ὑπὸ τῶν ἀ-
σεβῶν φησὶν ὐδιαφόφως ἐξαγγέλλεσθαι. στρεβλοῦσθαι βούλεται σημαίνων αὐτῷ. καὶ ἵνα ὀξέως τούτου πρασήσω τὸ πᾶν, οὕτω τοῦ Παύλου ἑρμηνέ-
ως, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, αὐτοὶ διαφρέψαν-
τες ἔφασαν. ὅτι τοίνυν φησὶν ὁ Παῦλος. ἁμαρτήσωμεν πλέον, ἵνα πλέον συγχω
ρηθῶμεν. τοίνυν δέ, φησι, ποιοῦσιν ἐπ' ἀπωλείᾳ ἑαυτῶν. ὡς γὰρ οἱ τοῦ προφήτας
ἀποκτείναντες καὶ τοὺς ἀποστόλους, οὕτω καὶ οἱ τοὺς λόγους αὐτῶν διὰ τῆς διαφθορᾶς ἀναιροῦντες, τῷ αὐτῷ ὑπόκεινται κρίματι. ἐπεὶ καὶ ἐκείνους ἐ-
πώκτειναν, ἀποστοῦντες τὸ μὴ τοὺς ὑπ' αὐτῶν μαθητευομένοις
τὰ σωτήρια ὑπ' αὐτῶν ὠφελεῖσθαι, καὶ τοὺς λόγους ὁμοίως
στρεβλοῦσι, τὸ μὴ τινας διὰ τούτων δραπέτευσασω-
τηρίας. Ἴδιον δὲ στηγμὸν τῷ εἰς τὸν κύριον
φησὶ πίστιν. ὥσπερ δὲ ἐν ταῖς ἄλλαις
Ἐπιστολαῖς εἰς ἐυχὰς ἀποτε-
λευτᾷ, οὕτω κἀνταῦ-
θα, τῷ ἐντεῦ πί-
στει τοῦ κυρίου
αὐξησιν
αὐτοῖς ἐπευχόμενος:~

Τέλος ἔχει ἡ θεία τᾶς καθολικᾶς δευτέρας τοῦ Πέτρου Ἐπιστολᾶς.

BIBLIOTECA UNIVERSITARIA · SALAMANCA

Ὑπόθεσις τῆς Ἰωάννου καθολικῆς πρώτης ἐπιστολῆς.

Αὐτὴν ὁ αὐτὸς Ἰωάννης ὁ τὸ εὐαγγέλιον γράψας, ὑπέστειλεν, ὑπομιμνήσκων τοὺς ἤδη πεπιστευκότας εἰς τὸν κύριον. καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ τῇ ἐπιστολῇ θεολογεῖ περὶ τοῦ λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι πρὸς τὸν θεόν, καὶ διδάσκων τὸν πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτως γνῶμεν τὸν λόγον ὡς ἀπαύγασμα ὄντα αὐτοῦ εἶναι. θεολογῶν δὲ δείκνυται μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον. ἀπ' ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν αὐτὸ, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ κυρίῳ. ὅστις ἐστὶ ζωὴ αἰώνιος καὶ θεὸς ἀληθινός. καὶ τὸ αἴτιον δὲ τῆς τούτου πρὸς σεως καὶ ἐπιφανείας τίθησι, λέγων εἶναι τοῦτο. Ἵνα τῷ καταλῦσαι τὰ ἔργα τοῦ Διαβόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ θανάτου, καὶ γνώσεσθαι ἡμᾶς τὸν πατέρα καὶ αὐτὸν τὸν υἱὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. γράφει οὖν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν θεὸς ἐγνώσθη, ὁ δὲ Διαβολικὸς ἐνέργεια λοιπὸν νενίκηται καταργηθέντος τοῦ θανάτου. εἶτα λοιπὸν διὰ ὅλης τῆς ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀγαπᾶν ἀλλήλους, καὶ ἀποδεικνὺς ὅτι δεῖ ἀγαπᾶν, ἐπειδὴ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. ἐξηγεῖται οὖν περὶ διαφορᾶς φόβου ἐ ἀγάπης, ἐ τέκνων θεοῦ ἐ τέκνων Διαβόλου, ἐ περὶ ἁμαρτίας θανατικῆς, ἐ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευμάτων. ἐ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ θεοῦ ἐστὶ, ποῖον δὲ τῆς πλάνης, καὶ πότε μὲν γινωσκόμεθα τέκνα θεοῦ πότε δὲ τοῦ Διαβόλου, καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ ζωὴν ἁμαρτανόντων, καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι, καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. καὶ πῶς ἐνότητα δὲ τοῦ υἱοῦ πρὸς τὸν πατέρα δείκνυσι, καὶ ὅτι ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει. διακρίνει δὲ ἡμῖν τῇ ἐπιστολῇ ταύτῃ, λέγων καὶ τὸν ἴδιον τοῦ Ἀντιχρίστου εἶναι, τὸ λέγειν μὴ εἶναι τὸν υἱὸν, αὐτὸν τὸν Χριστὸν Ἰησοῦν, ἵνα δηλονότι, ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἶναι ὁ ψεύστης. παραινεῖ δὲ διὰ ὅλης τῆς ἐπιστολῆς, μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ κυρίῳ, ἢ μισοῦνται ὑπὸ τοῦ κόσμου, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύοντας μεταβεβηκέναι ἀπὸ αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς ἐπουρανίου πολιτείας. καὶ ἐν τῷ τέλει δὲ τῆς ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων, ὅτι ὁ τοῦ θεοῦ υἱὸς ζωὴ αἰώνιός ἐστι καὶ θεὸς ἀληθινός, καὶ ἵνα τούτῳ δουλεύσωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν

Κεφάλαια

Κεφάλαια τῆς Ἰωάννου καθολικῆς πρώτης ἐπιστολῆς.

α΄ Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ. ἐν ᾧ περὶ ὁμολογίας καὶ πεποιθήσεως τοῦ μὴ ἁμαρτάνειν. ὅτι δὲ τήρησις ἐντολῶν τοῦ θεοῦ τὸ γνῶσιν βεβαιοῖ.

β΄ Περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια. ἐν ᾧ παραινέσεις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν. καὶ περὶ ἀποστροφῆς τῆς πρὸς τὸν κόσμου ἀγάπης.

γ΄ Περὶ ψευδαδέλφων ἀρνησιθέων. καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, πατρὸς ὁμολογία. δι' ὧν τοῦ πατρὸς δοξολογία, τοῦ ὅπου ἐστὶ θεολογία. ἐν ᾧ περὶ θείου καὶ πνευματικοῦ χαρίσματος τοῦ ἁγιασμοῦ, ἐπ' ἐλπίδι, εἰς γνῶσιν θεοῦ. ὅτι πᾶς ὁ τοῦ Χριστοῦ, ἐκ τοῦ ἁμαρτίας. ὁ γὰρ ἁμαρτάνων ἐκ τοῦ Διαβόλου ἐστίν.

δ΄ Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον καὶ διαθέσεως μεταδοτικῆς. τοῦ ᾧ περὶ σωθείσης ἀγαθῆς τῆς τοῦ πίστεως Ἰησοῦ Χριστοῦ. Περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ κυρίου ἀναθρωπήσεως.

ε΄ Περὶ φιλαδελφίας εἰς θεοσέβειαν.

ς΄ Περὶ θεολογίας ὅπου τοῦ δόξη πατρὸς, καὶ περὶ νίκης τῆς καθ' ὃ πνεύματος διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.

ζ΄ Περὶ ἀνθρωπίνης ἀσθενείας τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς. καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν. τοῦ ᾧ περὶ ἀρχῆς διαβολικοῦ σεβάσματος.

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1

» ΟΗΝ ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεα-
» σάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ
» ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν. Τοῦτο πρὸς Ιουδαίους
καὶ πρὸς Ελλήνας, οἱ καὶ νεώτερον διαβάλλουσι τὸ καθ' ἡμᾶς μυστήριον.
δείκνυσιν οὖν ὡς καὶ παλαιὸν τοῦτο. ἀπ' ἀρχῆς γάρ, φυτέσιν ἅμα τὴν γνῶσιν θεσπίσας ἀρ-
χήν. ἣ γὰρ μόνον τοῦ νόμου ἀλλὰ καὶ αὐτῆς τῆς ὁρατῆς ἀνώτερον τοῦτο κτίσεως. ἡ μὲν
γὰρ ἀρχὴ νέον ἔσχε, φῦναι δὲ ἦν καὶ πρὸ τῆς ἀρχῆς ταύτης. ὧν γάρ τινες ἐν ὥραις Ελ-
ληνικαῖς, τί αὖ τις καὶ λέγοι; ἃ τῇ ἀσελγείᾳ ὡραικροτούμενα, ὀψὲ πῶς ἀνυπόστατον
σύστασιν ἔσχεν, ἀναθαρσίας ἤδη ἐμπλιτευομένης ἀνοίᾳ. ἧς ἐμάθημα ἐν ὑπομνήμασιν
αὐτῆς καὶ τῆς ἀπὸ τοῦ κρείττονος ἐπὶ τῶν κεχυμένων ἡμῶν νυκτὸς ἀπόρρησις. τὸ μα-
γαλεῖον τιγαρωῶ παεισῶν φῦναθ' ἡμᾶς μυστηρίου δηλοῖ τῆς καθ' ὅλα τὰ αὐτὰ ἀρχαιότη-
τος, ἐπάγει ὅτι ἐξ ὧν φῦναθ' ἐστί, καὶ ζωὴ ὑδρασήματι χρονικῷ μετρουμένη, ἀηὶ ἐνυ-
πάρξασα, καὶ πρὸς τὸν πατέρα ἀεὶ οὖσα, συνῳδὰ ταῦτα τοῖς φῶ τῷ ἑαυτοῦ φθεγγόμε-
νος ἐναγγελίῳ. κἀκεῖ γάρ, ἐν ὁ λόγος φησὶν ἦν πρὸς τὸν θεὸν, ἐν θεὸς ἦν ὁ λόγος. τὸ δέ,
ἦν, φῦναθ' ὑ χρονικὴν παείσησιν ὑ παρξιν, ἀλλ' ἐνυπάρξασαν πράγματος ὑσίαν, ἐ πάν-
των ὧν τὸ εἶναι λαχόντων ἀρχήν τε καὶ βάσιν καὶ ἕδραν, καὶ οὗ χωρὶς οὐκ ἂν δύναιτο
ταῦτα ὑφίσασθαι. ἕπασον γάρ τῶν γενητῶν τὸ εἶναι λέγεται, οἷον εἶναι ἄγγελος, εἶναι
Ηλιος, ὑρανὸς, τἄλλα πάντα. μόνος δὲ ὁ υἱὸς καθάπαξ ὢν τυγχάνει, οὗ μετέ-
χοντα τὰ πάντα πρὸς ὕπαρξιν ἔρχεται, διὸ καὶ Παῦλός φησιν. δι' αὐτοῦ ζῶμεν καὶ
κινούμεθα καὶ ἐσμέν. φύτευ ἀκροάσιν καθ' ἡσαγωγικὴν διδασκαλίαν πρότερόν-
τις δεξάμενος ἔρχεται ἐπὶ τὸ ἰδεῖν αὐτὸν ὑ σωματικῶς ἀλλ' ἐπισημονικῶς μᾶλ-
λον τῶν γυμνασίαν τε καὶ ἐπίσκεψιν, ἥτις ἐ ψηλάφησις περὶ τοῦ λόγου τῆς ζωῆς εἴρη-
ται τῆς ἡπύσης, ὁμωήμι ἐ ζωή. λελέξεται καὶ οὕτως περὶ φῦ δι' ἀρχῆ ὄντος λό
γου, ὅτι ἀκηκόαμεν διὰ τοῦ νόμου αὐτὸν καὶ ὧν προφητῶν, ὡς ἐλεύσεται. φῦναθ' οὖν
ἐλθόντα μεθ' σώματος ἐμφανῶς εἴδομεν καὶ ἐψηλαφήσαμεν. γυμνὸν γάρ θεὸν ὑ-
δείς ἑώρακε πώποτε. ὑ γὰρ ὡς ἐ τυχὸν συγκατεθέμεθα τῷ ὀφθέντι, ἀλλὰ μεθ' πλη-
λὴν ψηλάφησιν, φυτέσι συζήτησιν ὧν νομικῶν τε καὶ προφητικῶν περὶ φύτου μαρ-
τυριῶν, ἐπίστευσαμεν τῷ ὀφθέντι σαρκὶ λόγῳ. ἢ τὸ, ὃ ἐθεασάμεθα, ἀντὶ τοῦ, ὃ ἰδόν-
τες τοῖς ὀφθαλμοῖς τεθαυμάκαμεν. θεᾶσθαι γὰρ ἐστι τὸ μεθ' θαύματος καὶ θαύμβους
ὁρᾶν. ὑχὶ ὃ οὖν ἦν ἐθεασάμεθα ἢ ἐψηλαφήσαμεν. φύτου γάρ τῶν γενεαὶ τίς διηγή-
σεται; ἀλλ' ὁ γέγονεν, ἤτοι γνωσικοῖς ἐπαφῆς ὡς εἴρηται ἤδη, ἢ καὶ ἀθητᾶς, ὡς
ἐ Θωμᾶς μετὰ τὴν ἀνάστασιν. εἷς γάρ ἦν καὶ ἀδιαίρετος. ὁ αὐτὸς καὶ θεατὸς καὶ ἀ-
θέατος, καὶ κρατούμενος καὶ μὴ ὁριδρασόμενος, καὶ ἀναφὴς καὶ ψηλαφητὸς, ἐ ἀν-
θρωπίνως φθεγγόμενος καὶ ὡς θεὸς ἐνεργῶν τὰ θαύματα. φῦναθ' δὲ διὰ τῶν ἄκραν ἑνό-
τητα τοῦ λόγου πρὸς τὴν σάρκα φαμὲν. τὸ ἑξῆς. ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν καὶ ἑω
ράκαμεν

ράκαμεν καὶ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν
περὶ τοῦ λόγου τῆς ζωῆς, ἥτις ξωὴ ἐφανερώθη, ἣν καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν
καὶ ἀπαγγέλλομεν ὑμῖν, λέγω δὲ τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέ-
ρα, καὶ ἐφανερώθη ἡμῖν. ὃ γέγονεν ἑωράκαμεν τοῦτο καὶ ἀπαγγέλλομεν ὑμῖν. ἐν ταῦ
τα γέγονεν ἡ ἀπόδοσις, ἐν τῷ, ὃ γέγονεν ἑωράκαμεν. ὑχ οὕτω δὲ ἐποίησατο τὴν
ἀπαγγελίαν ὡς περὶ ἡμᾶς, πρῶτον μὲν δὲ τὴν τοῦ σωτετμημένου λόγου χρῆσιν, ἔ-
πειτα δὲ καὶ τὴν Ελληνικὴν ἐρεσχελίαν ἀτιμάζων, καὶ δεικνὺς ὡς ὑκ ἐν λόγοις ἡ
σωτηρία ἡμῖν, ἀλλ' ἐν ἔργοις. ἐπὶ γὰρ τούτοις ἦσαν τικότερους ἡμᾶς ἐργαζόμενος, ἵνα μὴ
αὐτόθεν πρὸς χείρως εὐρίσκοντες τὸ προκείμενον, ὑπιώμεθα. ἀλλ' ὡς τε καὶ θεολογῶν
ἐβουλήθη ἀσαφείᾳ κρύψαι τὰ βελτίωνα ἀνώτερα ἀκοῆς, καὶ μὴ οὐ ἀσφαλῶς αὐτοῖς
ἐκφορα. τὸ γὰρ βάλλειν τὰ ἅγια τοῖς κυσὶ, ἐ ῥίπτειν τις μαργαρίτας ἔμπροσθεν τῶν
» χοίρων, ὑ σώφρονος λογισμοῦ, ὑκ ἀνδρός. Καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν
» αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, ἐ ἐφανερώθη ἡμῖν. ὃ ἑωράκαμεν ἐ ἀκηκόαμεν,
» ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ
» ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ιησοῦ Χριστοῦ. καὶ ταῦτα γράφομεν
» ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. καὶ ἔστιν αὕτη ἡ ἐπαγγελία, ἣν ἀκηκόα
» μεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστὶ, καὶ σκοτία ἐν αὐτῷ
» ὑκ ἔστιν ὑδεμία. ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, ἐ ἐν τῷ σκότει περιπα
» τῶμεν, ψευδόμεθα, καὶ ὑ ποιοῦμεν τὴν ἀλήθειαν. ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν,
» ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, ἐ τὸ αἷμα Ιησοῦ Χριστοῦ τοῦ υἱοῦ
» αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωήν.
ὃ γέγονεν ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν φησί. τί τοῦτο; ὅτι ζωὴ
αἰώνιος ὢν ἐφανερώθη ἡμῖν. καὶ θεατὰ αὐτὸν γεγόναμεν, καὶ πρὸ τὸν σταυροῦ, καὶ μετὰ
τὴν ἀνάστασιν. ὁ γὰρ αὐτὸς ἐ τῷ σταυρῷ σαρκικῶς προσηλώθη, ἐ τῇ αὐτῇ ὑσίᾳ σαρ
κί. ἐ τί κέρδος ἕκαστος ὑμῖν τῆς ἀπαγγελίας κομίζομεν φησίν; τὸ, ὥσπερ κοινωνοὺς
ὑμᾶς λαμβάνομεν διὰ τὸν λόγου ὧν εἰδομεν, ἐ ἀκηκόαμεν, οὕτω κοινωνοὺς ἐ τὸν
πατρὸς καὶ τὸν υἱοῦ αὐτοῦ Ιησοῦ Χριστοῦ. φύτου δὲ τυχόντες, χαρᾶς ἂν πληρωθείημεν, ὡς
τῷ θεῷ κεκολλημένοι. ἢ ὅτι ὑμῶν ἡμῖν κοινωνούντων, πληρεστάτην ἔχομεν τὴν χα
ρὰν ἡμῶν, ἵνα τοῖς θεισᾶς ὁ χαίρων ποιητὴς ὢν τῇ τοῦ μισθοῦ ἀπολήψει βραβεύσει,
χαιρόντων ἐ φύτων, ὅτι ὧν πρῶν αὐτῶν ἀπολαύουσι. ταῦτα ἤπων ἐπαναλαμ-
βάνει πάλιν τὸν λόγον, σαφηνίζων τίς ἡ ἀγγελία ἣν ἀκήκοε. καὶ φησιν ὅτι αὕτη ἐ-
στίν. ὁ θεὸς φῶς ἐστὶ, ἐ σκοτία ἐν αὐτῷ ὑκ ἔστι. ἐ φῦ τοῦ πρὸ ἤκουσεν; ἀπ' αὐτοῦ τοῦ Χριστοῦ,
ἐγὼ ἤμι τὸ φῶς τοῦ κόσμου, λέγοντος. ἐ φῶς ἦς τὸν κόσμον ἐλήλυθα. φῶς οὖν ἐστὶ,
ἐ σκοτία ἐν αὐτῷ ὑκ ἔστι. φῶς δὲ νοερῶν, τοσῦτο τῆς ψυχῆς ἡμῶν ὀφθαλμούς, ἧς τὴν
αὐτοῦ ἀπήλλαξεν ἀνακινοῦσι, ἐ φύτων ὧν ὑλικῶν ἀπροσδέφον ἁπάντων, ἐ πρὸς αὐτὸ
μόνον τὴν ὄρεξιν ἐρωτικῶς πάθη καθαπτοῦσαν. σκοτίαν δὲ ἤτοι τὴν ἄγνοιαν ἢ τὴν ἁ-
μαρτίαν φησίν. ἐν γὰρ τῷ θεῷ οὔτε ἄγνοια ἐνορᾶται, οὔτε ἁμαρτία. πρὸς τὴν ὕλην
γὰρ ταῦτα, ἐ τὴν καθ' ἡμᾶς ζῆνθεσιν. ἢ δὲ φῦ εἴρηται, ἕθεν σκότος ἀπεκρύφθη αὐτῷ,

ἀνῄρηται εἶπεν, ἀλλ' ἔστι σκότος, ὥσπερ εἶπεν, ἔστι φῶς. ἕτερον γάρ ἐστι τὸ πεπεμένον τῆ πεπέντος. τὸ σκότος οὖν ἐνταῦθα, τὴν ἀπὸ παντὸς ἀγνωσίαν τοῦ θεοῦ δηλοῦντος ἐστιν. ἡμῶν δὲ τὸ φῶς, ἡ τοῦ θεοῦ ἐστί. πέφυται γάρ τι ὧν μὴ ὄντων παρόντων τινί, καὶ ἀπ' ἐκείνου χάσκειν, ἀλλά τινος ὧν περὶ αὐτόν. ὅτι δὲ καὶ τὴν ἁμαρτίαν σκότος καλεῖ, δῆλον ὧν τῷ εὐαγγελίῳ ἡρμένων αὐτῷ, δῆλον. τί γάρ ἐκεῖ φησι; καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε, σκότος τὴν ἁμαρτητικὴν ἀμῶν λέγων ἕξιν. ᾧ ἡ γενόμενος, ἤτοι προσλαβόμενος ταύτην, ὧν ἀπ' αὐτῆς οὐ μετείληφε μολυσμῶν. ἁμαρτίαν γάρ οὐκ ἐποίησε, καὶ ἐξῆς. ἐπεὶ οὖν κοινωνοὺς ἡμᾶς φησι προσλαμβάνομαι θεοῦ, φῶτος αὐτὸ ὑπάρχοντος, ᾧ δὲ τῷ τοιούτῳ φωτὶ οὐκ ἂν ὑπρξαίη σκότος, ὡς ἐδείχθη, μηκέτι μὴ δὲ ἡμεῖς οἱ τῷ φωτὶ κοινωνοῦντες σκότος παραδεξώμεθα ᾧ ἑαυτοῖς, ἵνα μὴ ψεύδους ὑπόσχωμεν δίκας, εἰ μὲ τὸ ψεῦδος, τῆς τοῦ φωτὸς ἀποῤῥαγώμεν κοινωνίας. ὥστε τῆς κοινωνίας ἐχόμενοι τῆς ἀλλήλων, (δῆλον δὲ ὅτι τῆς ἡμῶν τε καὶ τοῦ φωτός,) ἀναλώτοις ἑαυτοὺς καθιστάνομεν ἁμαρτίας. ἀλλὰ πῶς ἔσται τὸν φησὶν ἡμῖν τοῖς πρότερον προλαοῖς ἐνισχημένοις ἁμαρτίας; οὐδείς γάρ ἀν ἀληθὴς καὶ ἀληθεύων ἐπαγγελόμενος προμήσει ἐρεῖν ὡς ἀναμάρτητός ἐστιν. ἔτις οὖν τῷ φόβῳ τούτῳ πεπατείληται, θαῤῥείτω φησί. τῷ γάρ αἵματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν καθαίρεται ὁ πᾶν κοινωνίαν αὐτὸς ἀπασαμένος. σκότος δὲ ὅπως δηλοῖ πᾶν ἄκρων ἔννοιαν, ὄντος πατρὸς καὶ τὸ ἐξ ἡμῶν καλεῖ προσλημμα, οὐ πάντως ἀναμφιβόλως τὸ αἷμα, ἀλλ' οὐχὶ τοῦ θεοῦ. πῶς οὖν οὐ λῆρος καὶ ἀσεβὴς Νεστόριος, διαιρῶν τοῦ υἱοῦ πᾶν σάρκα, καὶ θεοτόκον μὴ ἀνεχόμενος πᾶν αὐτὸς μητέρα καλεῖν; ἐὰν δὲ ᾧ τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν. ἰστέον ὅτι ὅλος ὁ νοῦς τοῦ ῥητοῦ, ἀνατροπὴ τῆς Ἰουδαίων βλασφημίας ἐστί. αὐτοὶ γάρ ἔφασαν περὶ τοῦ Χριστοῦ, ὅτι ἡμεῖς οἴδαμεν, ὅτι ἁμαρτωλός ἐστι. φησὶν οὖν, ὅτι ἡ φῶτος ἔργα πράττομεν, κοινωνοὶ αὐτοῦ ἐσμέν, ἡ δὲ μὴ πράττομεν, ἀμοιρεύομεθα αὐτοῦ. πῶς οὖν οὐκ ἀληθὲς φησίν ἐστι τὸ, καὶ ἁμαρτίαν οὐδεμίαν οὐκ ἐποίησεν, ἡ καὶ ᾧ τοῖς ἀνόμοις ὑφ' ἡμῶν ἐλογίσθη; ἐὰν οὖν φησὶν ἡμεῖς οἱ ἡμένοι τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, ἑτοιμοι ἀναδῶς, ὅτι οὐχ ἡμάρτομεν, ἑαυτοὺς πλανῶμεν, ῥητέον ἀπατῶμεν, ὡς μὴ οὔσης ἁμαρτίας τὸ σωθῆναι τὸν Χριστόν. ἔστι γάρ καὶ μεγάλη, διὸ οὐκ εἶπε ψευδόμεθα, ἀλλ' ἑαυτοὺς ἀπατῶμεν. ὅτι δὲ πλάνη ἐκτὸς τῆς ἀληθείας ἐστίν. ἡ δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας καὶ ὁμολογήσωμεν, ἀφήσει ἡμῖν. τὴν κοινότητα δὲ τοῦ λόγου ἐλέγχει τὸ ἄγαν αὐχηρὸν τοῦ ἐλέγχου λέγων, ἐὰν εἴπωμεν.

Ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. τεκνία μου ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας. ἐπαναλαμβάνει τὸν λόγον φιλοτιμότερον χρώμενος, ὡς ἂν τῷ κατακόρῳ τῆς τοῦ ἐλέγχου προαγωγῆς,

προαγωγῆς, αὐτὸς τε ἐπίσης τῷ τοῦ ἐγκλήματος μεγέθει, καὶ ἐπὶ ὁμολογίαν παρακαλέσῃ. ὅσον δὲ τὸ ἀπὸ τῆς ὁμολογίας πίπτεται ἀγαθόν, ἐδήλωσεν ἡμῶν. λέγει σὺ πρώτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. τὸν δὲ ἕνα τῷ τὰ παρόντα ἡγαπημένου μαθητὴ διδασκαλῷ, καὶ αὐτὸ πολλάκις ἀνακυκλεῖν, μετριώτερον πρῶτον, εἶτα τελεώτερον, ᾧ αρχηγέταν τῶν γνώσιν ὧν λεγομένων πρεσβυτέρων βουλομένῳ, ἐ ἕξιν αὐτῶν τὰς ἀκροατὰς ἐμπρῆσαι πεύδοντι. πιστὸν δὲ τὸν θεὸν αὐτὶ τοῦ ἀληθῆ εἶρηκε. πιστὸς γάρ μόνον ἐπὶ τοῦ πεπιστευμένου, σημὰ καὶ ἐπὶ τοῦ πιστικοῦ ἔρηται, ὃς ἀπὸ τοῦ ἑαυτοῦ ἀληθοῦς τρόπου ἔχει καὶ τὸ τοῖς ἄλλοις ῥύπου μεταδιδόναι. πιστὸς μὲν οὖν οὕτω θεὸς, δίκαιος δὲ ὡς μηδεὶς αὐτῷ προσιόντας ἀπωθούμενος, ὁποῖα αὐτῶν ἐστιν ἡμαρτηκότες. ἀφίησιν οὖν τὰς ἁμαρτίας ἀναμφιβόλως, τοῖς δὲ μεταγνόοις ἀγάπῃ πεπρέχουσι βαπίσματι, εἴτε ἅπαξ αὐτὸν, εἴτε ἅπαξ ἑτέρου πεπλημμελήκασιν. ἡ μὲν οὖν ὁμολογοῦμεν φησὶ, τευξόμεθα καὶ τῆς κατ' ἀγγέλων συγγνώμης. ἡ δὲ ἀναισχυνόμενοι λέγομεν ὡς ἡμαρτηκέναι, διπλοῦν ἐργασόμεθα τὸ κακὸν, καὶ ἑαυτοὶ ψεύσας ἀποφαίνοντες, καὶ τὸν ὑπὲρ πᾶσαν ἀλήθειαν ἅπαξ ψευδοῦς βλασφημοῦντες θεόν. αὐτὸς γάρ φησι δι' ἡμᾶς προφήτου. ἀνταπόδοσόν μοι πρόνοια αὐτὶ ἀγαθῶν. καὶ δι' ἑαυτὸ πάλιν. ἡ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, ἡ δὲ καλῶς, τί μεδέρδης; ἡ τούτων δὲ οὕτως ἐχόντων, αὐτοὶ λέγομεν μὴ ἡμαρτηκέναι, τὸν λόγον αὐτὸ ἀρνούμεθα, ὃς ἐστι πνεῦμα καὶ ζωή. (τὰ ῥήματα γάρ φησιν ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή.) καὶ οὐκ ἐπέχομεν τὸν λόγον αὐτοῦ ἐν ἡμῖν ἐμφιλοχωροῦντα. οὗ τί ἂν ἕταιρον βαρύτερον; Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν, δίκαιον. καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Τὸ ἀσάθμητον καὶ πολυμμελὲς τῆς φύσεως ἡμῶν ἔπεδάμλυος, καὶ ὅτι ἀεὶ ζυνοικοῦν ἔχοντες τὸν ἐπὶ τῷ χείρω ῥοπώμενον, καὶ τὸν ἐφεδρεύοντα τῇ σωτηρίᾳ ἡμῶν φθονερὸν Δαίμονα, ἀνάγκη μὴ προσεχόντως βιοῦντας ἁμαρτάνειν τινὰς ἄδε δ' ἐξομολογήσεως οἰκοφθέντας θεῷ, ἐπάγει ταῦτα, ὅτι καὶ μετὰ τὴν ἄφεσιν πεπαίσομεν, μὴ ἀπογνῶμεν ἑαυτῶν. ἐπιφέροντες γάρ τὺ χρόνῳ καὶ πάλιν τῆς σωτηρίας δεῖ τῆς τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μεσιτείας. αὐτὸς γάρ τῷ πατρὶ περὶ ἡμῶν ῥυπυχάνων, ἱλάσεται περὶ ὧν ἁμαρτιῶν ἡμῶν. καὶ ἡ περὶ ὧν ἡμετέρων μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. τοῦτο δὲ εἶπεν, ἤτοι ὅτι πρὸς Ἰουδαίους ἔγραφε, καὶ ἵνα μὴ μόνοις ἐκείνοις περικλείσῃ τὸ τῆς μετανοίας, ἀλλὰ καὶ πρὸς ὃ ἔθνη ἐξαπλώσῃ ταύτῃ. ἢ ὅτι μὴ τοῖς κατ' ἐκεῖνο καιροῦ ἡ ἐπαγγελία μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσι. πάρακλητον δὲ τὸν ὑπὲρ ἡμῶν φησι τὸν πατέρα παρακαλοῦντα, ἤτοι προτρεπόμενον. ἀνθρωπινώτερον δὲ ταῦτα καὶ οἰκονομικώτερον, εἴρηται. ὡς τὸ, χάριν δοῦναι πρεῖν ἀφ' ἑαυτοῦ ὁ ὑός. δεῖ γάρ μὴ τὸ ἀνάθετος δόξαι ταῦτα φησιν, ἐπεὶ ὅτι καὶ ὁ ὑὸς ἴσου ἔχει ἀφιέναι ἁμαρτίας, ἔδοξεν ἐπὶ τοῦ Παραλύτου. ἀλλὰ καὶ τοῖς μαθηταῖς τοῦτο δίδοσι τὸ ἀφιέναι ἁμαρτίας, ἵνα φησὶν ὡς αὐτοδεσπότοις τοῦτο πρέχει.

ἀμὴ ὡς

ἀληθῶς ἔφημεν, ἢ οἰκονομικῶς τοῦτο νῦν ὁ Ἀπόστολός φησιν, ἢ πιστῶν τὸ πρὸς τὸν πατέρα τοῦ υἱοῦ ὁμοφυές τε καὶ ὁμοδύναμον, καὶ ὅτι ὁ αὐτοποιὸς ἐστὶν ὧν τριῶν ἀγαπητῶν ὑποστάσεων, κοινὸν ἐστι καὶ ὧν λοιπῶν. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί. καὶ ἡ τούτῳ ἀλήθεια οὐκ ἔστιν. ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν. Ἀδελφοί οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς. ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν. ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. Εἰρήκως ἀνωτέρω περὶ τοῦ τὸν κύριον πεπιστευκότας κοινωνίαν ἔχειν πρὸς αὐτὸν, πιστικὰ τῆς κοινωνίας τῆς πρὸς αὐτὸν παρατίθεται νῦν, καὶ φησιν, ὅτι καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτόν. ἔτος μὲν τῷ μακαρίῳ τούτῳ ἀνδρὶ, ταῖς ὁμωνυμίαις χρῆσθαι καθάπαν, ὡσπερ καὶ τῷ, τῷ κόσμῳ ἴσως, καὶ ὁ κόσμος διαπέφευγε, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. οὕτως ὅσα καὶ νῦν χρῆται τῷ, ἔγνω. τὸ δὲ, ὅτι ἐγνώκαμεν αὐτὸν, ἀντὶ τοῦ ὅτι σωζόμενοι ἐγνώκαμεν αὐτόν· τῷ τούτῳ ἐπόμεθα ἐν τοῖς ἐντολαῖς αὐτοῦ τηρεῖν. δύο μὲν σημαίνοντος μάλιστα παρὰ τὴν θείαν γραφὴν τὸ γινώσκειν, τό, τε ἐπίστασθαί τι, ὡς ἐν τῷ, ἔγνων ὅτι ποιήσει κύριος πᾶν κρίσιν ὧν πάσχω. καὶ διὰ καὶ τὰς παντελοῦς πρός τινα ἀνακράσεως, γνώσεως λεγομένης, ὡς τὸ, γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων. καὶ ὡς Παῦλος. ἐπιγνώσεσθε ἡμᾶς φησὶ τὸν θεὸν καθὼς καὶ ὑπ' αὐτοῦ ἐπεγνώσμεθα. ὡσαύτως δὲ καὶ τὸ ἐναντίου τούτῳ, τὸ τέως τὸ ἀγνοεῖν, δηλοῦσθαι νοουμένου, (μία μὲν ὡς καὶ τρίς ἑξῆς δοκεῖ, ἢ ὧν ἀντικειμένων γνῶσις,) καθ' ὃ τὸν νῦν καὶ τὸ γνῶσιν δηλοῦσθαι ἐνταῦθα. τὸ μὲν γὰρ, τούτῳ γινώσκομεν, καθ' ὃ τὸ ἐπίστασθαι, τὸ δὲ, ἐγνώκαμεν αὐτὸν, καθ' ὃ ἀνεκράθημεν αὐτῷ. ὁ μὲν γὰρ κοινωνῶν τινὶ, καὶ ἀνακέκραται αὐτῷ καθὸ κοινωνεῖ. διὸ δ' ἐπάγει, τὰς ἐντολὰς αὐτοῦ τηρεῖ. ἐκ τούτου λυθεῖεν οὖν καὶ τὸ, ἔγνω κύριος τὸν ὄντα αὐτοῦ. καὶ τὸ, τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε. καὶ εἴτι ἕτερον παρὰ τὴν θείαν γραφὴν περὶ τὸ ἐγνωκέναι ἢ ἀγνοεῖν φέρεται. εἶτα αὖθις τὸ ἐναντίου τοῦτο αὖ καθ' ὑπεναξῆς, περιουσιαστικώτερον χρώμενος τῇ ἀποδείξει, καί φησιν. ὁ δὲ λέγων ἔγνωκα αὐτὸν, μὴ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ψεύστης ἐστί. πῶς μὲν οἷόν τε καὶ ἀνακεκρᾶσθαι ἑαυτῷ, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν,

ἡ Μωυσέως νῦν λεγομένη καθολικὴ, ἀγάπη διεσαλευμένη ἀπὸ τῶν ὁμοζύγων ἐπὶ ὁμοφύλου, μόνοις ἐσκηνωμένη ἀγαπᾶν τοὺς φίλους, τοὺς δὲ ἐχθροὺς μισεῖν. Διὸ ὧν φησὶν, ἀγάπησις τοὺς φίλους σου, καὶ μισήσεις τὸν ἐχθρόν σου, ἡ δὲ τοῦ αὐτοῦ ἐστὶν ἀποστόλου παλαιὸν μὲν τὸ καινοποιεῖσθαι ἐντεύξεις, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, ἐπηλλαγμένη, καὶ καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, τῇ φυσικῇ προσέχοντες ὑπαγούσῃ, ἢ τῇ ἐκ προνοίας τῶν καθεχόντων ἀνθρώπων τῇ φυσικῇ διαθέσει ἐπομένων. Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖν, καὶ οὐκ οἶδε πῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐπύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. Τοιοῦτόν τι δηλοῦντων φησίν. ὁ λέγων ἑαυτὸν εἶναι τοῦ Χριστοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ψεύδεται, καὶ οὐκ ἔστι τοῦ Χριστοῦ. ἠγάπησεν γὰρ ὁ Χριστὸς αὐτὸν ὡς καὶ τὸν ψυχὸν αὐτοῦ θεῖναι ὑπὲρ αὐτοῦ, πῶς ὁ αὐτοῦ εἶναι λέγων μισεῖ τὸν ἀδελφὸν αὐτοῦ ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν; ἢ καὶ οὕτως. ὁ λέγων ἑαυτὸν εἶναι τοῦ θεοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ὅς ἐστιν ὁ Χριστὸς, (αὐτὸς γὰρ φησιν, ἀπαγγελῶ τὸ ὄνομάσου τοῖς ἀδελφοῖς μου,) οὐκ ἔστι τοῦ θεοῦ, ἀλλὰ τοῦ Διαβόλου. ἠγάπησεν γὰρ τοῦ θεοῦ, ἐφίλει αὐτὸν τὸν ἀδελφὸν αὐτοῦ, καὶ δι' αὐτὸν τὸν Χριστόν. Γράφω ὑμῖν τεκνία ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. γράφω ὑμῖν νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. γράφω ὑμῖν παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ θεοῦ μένει ἐν ὑμῖν, καὶ νενικήκατε τὸν πονηρόν. Ἐπειδὴ εἶπεν, ἐντολὴν καινὴν γράφω ὑμῖν, ἐπισημαίνεται καὶ τὸν διάθεσιν ὧν τῶν ἐπιστολῶν δεξομένων. ἐπισημαίνεται δὲ διὰ τῆς κατὰ τὸν σωματικὴν αὔξησιν προαγωγῆς τε καὶ προκοπῆς. ἤδη γὰρ, ὡς ἂν ὁμοτίμως πάντες δέξονται τὸν λόγον, ἀδὲ μετὰ τῆς ἴσης ἀσυδησίας, ἀλλ' οἱ μὲν ὡς παῖδες, ἡσαγωγικώτερον. οἷς καὶ πέγγυᾶται, ἄφεσιν ἁμαρτιῶν διὰ τῆς εἰς Χριστὸν πίστεως. οἱ δὲ ὡς προκόψαντες εἰς ἄνδρα τέλειον τῆς ἡλικίας τὸ πλήρωμα τοῦ Χριστοῦ, ἐν οὕτως ὡς ἐτέροις δύναθαι τεκνοποιεῖν, οἷς καὶ ἔχειν τὴν γνῶσιν τοῦ ἀπ' ἀρχῆς μαρτυρεῖ. Τίς δὲ ὁ ἀπ' ἀρχῆς; ἢ μὴ ὁ θεὸς λόγος, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. οἱ δὲ ὡς νεανίσκοι, οἷς ὡς νεάζουσι καὶ σφεγγῶσι, τὴν ὧν τῆς ἀτιμίας παθῶν τὸν ἐπινίκιον μαρτυρεῖ. εἶτα καθ' ἑτέραν ἐπιβολὴν τὸ αὐτὸ ἐπαναλαμβάνει πρὸς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τὸν διδασκαλικὸν λόγον ἁρμοζόμενος. ἐπεὶ οὖν φησιν οὕτως ὑμᾶς οἶδα καθ' ἕως ὧν ἡλικιῶν διαφορᾶς δεξομένους τὸ παρ' ἐμοῦ γραφόμενα, ἀνάγκη καὶ μὲ παραμυθῆσαι τὴν διαθέσει τῆς ἡλικίας ὑμῶν τὸν διδασκαλίαν, ἐν τοῖς μὲν ὡς παιδίοις ἐπεγνωκόσι τὸν πατέρα, (λέγει δὲ τὸν θεὸν,) διαλελοιπέναι. τοῖς δὲ ὡς πατράσιν, οἳ πλέον ἔχουσι ὧν παιδίων καθ' ἡλικίαν γνῶσιν, τὸ μὴ ὡς πατέρα μόνον ἐπεγνωκέναι, ἀλλὰ ἐξ ὡς ἄναρχος καὶ ἀδιξίτητος. ὧν γὰρ ἀρχή. γράφοις δὲ καὶ τελειοτέρων ἄξιον παράθεσιν ποιήσασθαι λόγων. τοῖς δὲ ὡς νεανίσκοις ἰσχυροῖς οὖσι, ἐν πρὸς πάλιν ἐν ἀγῶνας ἐπὶ πλείοις ὑπαλείφεσθαι. οἷς ἐν τὸ ἀπὸ τῆς νίκης ἀοίδιμον προσεῖναι λέγων, χλιαίων δείκνυσι ἐν θρασυκωτέρων δεῖσθαι λόγων. οὕτω ταῖς τοῦ πνεύματος ἡλικίαις τὸν ἑαυτοῦ λόγον

ἑαυτοῦ λόγον διαιτήσας, ὧν μὲν ὡς οὕτω διατεθησομένων τοῖς τούτου λόγοις, ὧν δὲ ὡς τοιούτων ὄντων ὧν προσιόντων τῇ πίστει, καὶ καταλλήλως κατηχεῖσθαι τῇ ἑαυτῶν ποιότητι ὀφειλόντων, ἐπιφέρει λοιπὸν τὸν τῆς παρακλήσεως λόγον, καὶ φησι. μὴ ἀγαπᾶτε τὸν κόσμον. παῦθι ὡς παιδίοις λέγει. ἐπόνται γὰρ ἀεὶ τοῖς παιδίοις τὰ φαινόμενον ἡδύ. εἶτα τῶν αἰτίαν ἡτῶν τοῦ διὸ τι χρὴ ὀφείλειν τὸν κόσμον καὶ ἐν τῷ κόσμῳ ἀγαπᾶν, λοιπὸν πρὸς τοὺς πατέρας καὶ τῇ νεανίσκους ἐναπορείσθω τῶν διδασκαλίαν. τελειοτέρας γὰρ ἕξεως, ἢ τοῦτων ἀντίληψις. καὶ ἵνα μὴ νομίσῃς κόσμον τὸ σύστημα τὸ ἐξ οὐρανοῦ ἐκ γῆς σημαίνειν αὐτὸν τῷ λόγῳ, ἐπάγει τίς ὁ κόσμος, καὶ τί ἐν τῷ κόσμῳ. καὶ κόσμον μὲν τὸν συρφετὸν ὅλον φησὶν, ὃς χρὴ τῶν τοῦ κόσμου ἠγάπησε

» ἠκούσατε ὅτι ὁ Ἀντίχειστος ἔρχεται, καὶ νῦν Ἀντίχειστοι πολλοὶ γεγόνασιν·
» ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. Τὸ, ἐσχάτη ὥρα ἐστὶν, ἀνεπαχθέστερον
οὕτως. ἐπεὶ καθολικὴ ἡ ἐπιστολὴ ἁρμόζουσα παντὶ τῷ καθέκαστα ἀνθρώπῳ, ἡ μία
δὲ ὁροθεσμία ζωῆς παντὶ, ἄδηλον δὲ ἑκάστῳ τὸ οἰκεῖον τέλος, ἠκότως τῷ οἰκείῳ
τέλει ἐπέθεσησεν ἕκαστον, ἵνα ὡς περὶ ἐσχάτης τῆς ζωῆς ὥρας ἑκάστῳ φυλάσσηται,
νῆψις ἐπακολουθῇ, καὶ οὕτως βίος ἄμωμος καὶ καθαριότης πράξεων ἡμᾶς ἀεὶ Χριστια-
νοῖς ἐμπολιτεύηται. ἡκεῖχε χώραν ὁ διαβεβαιοῦσθαι ταῦτα μηλαγχολῶν, ἢ πὲρ
σοῦ τῶν ἐσῶν ἠρημωμένου τῆς, ἐσχάτη ὥρα ἐστὶ, μέχρι τοῦ νῦν ἡκ ἀνεμετρήθη τὸ ἔσχα-
τον. πὲς γὰρ τὸ ἀπ' ἀρχῆς τοῦ χρόνου διάστημα, πόσον τὸ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν; ἐ-
λέγωδὲ τὸ ἀπὸ Χριστοῦ. ἀμέλητε ἢ καὶ πάντες πράγματος ἡμᾶς τρία μεριζομένου,
πρώτου καὶ μέσου καὶ τελευταίου, πάντως τὸ αὐτὸ τοῦ μέσου ἦν, ἔσχατον λέ-
γεσθαι ἡδέως ἀπεικός. ὥστε ἢ καθ' ὃ τὸ μέσον τῆς χιλιοετηρίδος δεκάδος ὁ κύριος πρε-
σβύετο, (σχεδὸν γὰρ ἦν τῷ πεντακισχιλιοστῷ ἐν ᾧ καὶ ἡμῖν παρουσία αὐτοῦ,) τὸ αὐτὸ
δύνατο ὡς αὐτὸ τοῦ μέσου ἦν, ἔσχατον λέγεσθαι, χδέεις ἀν μέμψοιτο. ὧν γὰρ ἑκα-
τὸν φέρει ἐτῶν, καὶ καθ' ὥρα ἤγει καθ' ἡμέρα, καὶ καθ' ἑβδόμη καὶ ἑξῆς, ἔσχατον ἀν
ἐνθεῖεν. οὕτως οὖν κἀνταῦθα, ἐπεὶ τὸ μὲν αὐτὸ τῆς τοῦ κυρίου ἐλεύσεως ἐν χι-
λιοετηρὶς ὑστέρου σωρεία, καλῶς ἀν ἅπαν τὸ αὐτὸ δύνατο ἔσχατον λέγοιτο. πῶς
μὲν οὖν τὸ ἀληθέστατον καὶ καθ' ὃν χρυσοῦν Ἰωάννην. ἔστι δὲ τὸ ἔσχατον καὶ
κατὰ τὸ χείριστον ἐκλαβεῖν. ὡς ὅταν φαμὲν, ἡμᾶς ἔσχατον ἀφῖγμαι κακῶν. ἐπεὶ
οὖν ὁ κόσμος πεπλήρωται ἐπὶ μεγάλων ἐσάλευε κακῶν, τοῦ Διαβόλου ταῦτα
μέχρι πῶν τοῦ ἀγαθοῦ παρουσίαν θραματεύομένου, ἕνεκεν ὧν ἀγα-
θῶν, ἢ καὶ συγχύσεως ὧν χρηστέρων, ὡς ἂν μὴ ἔχοιτις διακρίνειν τὸ τὸ κα-
λόν τε καὶ καλὸν, διὰ τοῦτο ἐσχάτην εἴρηκεν ὥραν τὸν χρόνον ἐκεῖνον, ὡς τοῦ ἐ-
σχάτου τὸ χείριστον ἡγησαμένου, ὡς ἂν πρὸς ἢ ὑπερβάλλοις ἐτέχοντος λόγον. πε-
ποίηται δὲ τὸ τῆς ἐσχάτης ὥρας, ἤγουν τῆς χειρίστης, ἢ καὶ τῆς τοῦ χρόνου ὑστέ-
ρου, τοῦ Ἀντιχρίστου. ἢ γὰρ φησι τὸν Ἀντίχριστον ἐν ἐσχάτοις καιροῖς προσδοκᾶσθαι,
νῦν δὲ Ἀντίχριστοι πολλοὶ ἐπεπλάσαντο τῷ βίῳ, (λέγει δὲ Κήρινθον καὶ τοὺς
ὁμοίους ἐκείνῳ,) ἔνθεν ὅτι καὶ ὁ καιρὸς τῆς συντελείας ἐφέστηκε, προσδοκῶν
οὕτων ὧν πολλῶν Ἀντιχείστων τῷ ἑνί. εἶτα τοῦτ' ἤτων ἐπιφέρει καὶ αὐτὸ τί-
» νων οἱ Ἀντίχειστοι, ὅτι ἐξ ἡμῶν. Ἐξ ἡμῶν ἐξῆλθον ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. εἰ γὰρ
» ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν. ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάν-
» τες ἐξ ἡμῶν, καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντα, οὐκ ἔγρα-
» ψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς
» ἀληθείας οὐκ ἔστι. Ἐξ ἡμῶν ἐξῆλθον. Ἐπιφέρει δὲ καὶ τοῦτο, μηδὲν ἡμᾶς σαφήνειαν
τοῦ λόγου διοικισάμενος. λέγω δὲ ὡς ὧδε ἐρωτήσας ἑαυτὸν, ὅτι, καὶ πόθεν οἱ
Ἀντίχειστοι οὗτοι; εἶτα τί τὸ ἐπενεγκεῖν τὸ, ἐξ ἡμῶν ἐξῆλθον. οὕτως δέον εἰπεῖν, ἢ
τοῦτο εἰπεῖ. ἀλλὰ συγκεχυμένως οὕτως, ἴσως τῇ συγχύσει τοῦ λόγου, τὸ περὶ αὐτοὺς
ἐν ἀκούει ἡμῶν εἰς ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι καθ' ὃ θέλημα αὐτοῦ πρότερον τὰ
αἰτήματα ἡμῶν, καὶ ἐσμὲν ἐν ἑαυτοῖς τὰ αἰτήματα ἃ ἠτήκαμεν. ταῦτα δέ ἐστι,
ἡ βασιλεία καὶ ἡ δικαιοσύνη αὐτοῦ. ἃ καὶ αἰτεῖν αὐτὸς ἡμῖν ἐνετείλατο. ταῦτα ἁπλῶν
καὶ ῥητῶς πρατέτακται, ὧν αἰτεῖν ἡμᾶς βούλεται ὧν κατὰ τὸ θέλημα τοῦ θεοῦ.
ἐπεὶ γὰρ πλύσεσι σχεδὸν δι' ὅλης τῆς ἐπιστολῆς, πῶς εἰς τὸν ἀδελφὸν ἀγαπῶν

ἀξιμνῶν

BIBLIOTECA
UNIVERSITARIA
SALAMANCA

ἀξιωμῶν, καὶ πῶς βούλεται τὸν θεὸν, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἀνάπτυγμα τηρεῖν, πῶς εἶναί φησι νικῶν ἐν τοῖς θελημάτων αὐτοῦ, ἵνα ἑαυτὸς ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα μὴ πρὸς θάνατον, αἰτήσῃ, καὶ δώσει αὐτῷ. καὶ τί δώσει; ζωὴν
Κεφ. ξ'. αἰώνιον. τισὶ τοῖς μὴ πρὸς θάνατον ἁμαρτάνουσιν. Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν
» αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν τοῖς
» ἁμαρτάνουσι μὴ πρὸς θάνατον. Τοῦτο ἐν τοῖς θελημάτων ἐστί. δικαιοζήλως
χρὴ τὸ τῷ ἡμαρτηκότι ἀδελφῷ σωαλγεῖν καὶ συμπράττειν εἰς σωτηρίαν.
» Ἔστιν ἁμαρτία πρὸς θάνατον, ὑπὲρ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία
» ἁμαρτία ἐστί. καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος
» ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ
» ἅπτεται αὐτοῦ. οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.
» οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν
» ἀληθινὸν θεόν. καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.

Τὸ ἐξῆς. ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. ὑπὲρ τῆς πρὸς θάνατον λέγω ἵνα αἰτήσῃ, ἀλλὰ περὶ τῆς μὴ πρὸς θάνατον. εἶτα διασαφεῖ τὸν λόγον, πῶς διαίρεσιν ποιούμενος τῆς πρὸς θάνατον ἁμαρτίας, καὶ τῆς μὴ πρὸς θάνατον. ὡς γὰρ ἀπὸ νόσους τῆς ἀπωλοῦς ἁμαρτίας ποιεῖ τὴν διαίρεσιν, καί φησι. πᾶσα ἀδικία, ἁμαρτία ἐστί. τουτέστι καὶ ἡ πρὸς θάνατον καὶ ἡ μὴ πρὸς θάνατον. ἀλλὰ μείζων τῆς πρὸς θάνατον, μὴ ἐρωτάτω φησὶν ἵνα αἰτείτω. ὑπὲρ γὰρ ἠσκηθαι ὅτι κακῶς αἰτεῖ μείζω τὸ μὴ δι' μίαν λέγων ἐπιδεικνυμένου Ἡσυχίου. πρὸς θάνατον γάρ αὕτη ἐστὶν ἁμαρτία μόνη, ἣ μὴ πρὸς μετάνοιαν ἀφορῶσα, ἣν καὶ Ἰούδας νοήσας τῷ αἰωνίῳ ὑπέπεσε θανάτῳ. ἀλλὰ καὶ οἱ μνησικακοῦντες, πρὸς θάνατον ἁμαρτάνουσιν. ὁ δοὺς γὰρ μνησικάκων εἰς θάνατον, φησὶ Σολομών. ὑδὲ γὰρ ὑδὲ οὗτοι μετανοοῦντες ἠφίεσθαι, μνησικακίας ἐχόμενοι, καὶ διατηροῦντες τὸν κατὰ τὸ πολιτικὸν ὀργὴν, ἀλλὰ μετάγνωστα ἁμαρτάνουσι. ταῦτα δηλώσας, ἐπισημαίνεται λοιπὸν καὶ τίνων ἐστὶ τὸ πρὸς θάνατον ἁμαρτάνειν, καί φησιν, ὅτι ὁ γεγεννημένος ἐκ θεοῦ οὐκ ἁμαρτάνει οὔτε πρὸς θάνατον, οὔτε μὴν πρὸς θάνατον ἁμαρτίαν νοσήσῃ. ἅπας γὰρ ἑαυτὸν ἐκδοὺς τῷ ποιητῇ τῷ αὐτῷ διὰ τῆς ὑποστάσεως Χριστῷ, ἀνέπαφος διαμενεῖ ἁμαρτίας, πλὴν ἵνα μή τις οἰηθῇ πάντα πῶ φύσιν τὸν τοιοῦτον μεταποιεῖσθαι, ὡς ἀνάλωτον εἶναι λοιπὸν τῆς ἁμαρτίας, ἐπιφέρει τὸ, τηρεῖ ἑαυτὸν, ὡς εἰ μὲ μὴ τηρῇ ἑαυτὸν καὶ φυλάττῃ ἐκ τοῦ πονηροῦ, πάντως ἁμαρτησόμενος. ὁ φύσει δῶν εἰς ἀναμαρτησίαν περβαίνει φησὶν, ἀλλ' ἐκ τῆς τοῦ θεοῦ μεγαλοδωρεᾶς. ὃς διὰ τὸ ὑποστῆσαι ἡμᾶς, ταύτης ἠξίωσε τῆς χάριτος, ἵνα φυλάσσοντες ἡμεῖς καὶ τηροῦντες τὸ δωρηθὲν ἡμῖν ὑπ' αὐτοῦ, καὶ τὸ μὴ ἁμαρτάνειν ἔχωμεν, ἐπεὶ ἄλλως φησὶ τὸν κόσμου ὅλον τῷ πονηρῷ κεῖσθαι, (λέγει δὲ κόσμον τοὺς μὴ διὰ δεξιῶν ἔργων εἰς ὑποστασιν ἑαυτοὺς τοῦ θεοῦ μεταστάντας,) ὑδὲν οὖν ἐκώλυε, τοῖς ἀπολλυμένοις συνεξετάζεσθαι ἡμᾶς, καθότι ἔκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἁπλῶς ἢ τὸ πονηρὸν ἐκ νεότητος αὐτοῦ, ὡς ἐπὶ τοῦ καθ' κλυσμοῦ ὁ θεὸς

ἀπεφήνατο.

ἀπεφήνατο, ἀλλ' ἐπειδὴ ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα διὰ γνώσεως τοῦ ἀληθοῦς γινώσκειν αὐτὸν ἀληθινὸν θεὸν, καὶ εἶναι ἐν αὐτῷ τῷ ἀληθινῷ ἐν τῷ αὐτοῦ Ἰησοῦ χριστῷ, ἐγνωμεν διὰ τῆς μεγαλοδωρεᾶς ταύτης, ὅτι οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος, καὶ γνόντες μένομεν ἀνεπηρέα-
» στοι ἐκτὸς πονηροῦ, καὶ τῶν σκανδάλων αὐτοῦ. Οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ἡ ζωὴ αἰώνιος. Κἀνταῦθα τὸ, οὗτος, ἀντὶ ἀναφορικοῦ ἄρθρου κεῖται. Τεκνία
» φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν ἰδώλων. λιμήν. Ἐξιτηκάσιν, ἢ πρὸς τελείους πιστοὺς ταῦτα γράφῃ, τίνος χάριν νῦν παρεγγυᾷ φυλάττεσθαι αὐτοὺς ἀπὸ τῶν ἰδώλων. φαμὲν ὅτι, ὡς ἐπειδὴ Ἐκκλησία ὅλη ταῦτα ἔγραφεν, ἥτις ἐν πᾶσα κεκριμένῳ λαῷ σωζομένῳ τε, ἀλλ' ἥντις ἐν ταύτῃ καὶ νοσθέστερον διακείμενος, πρὸς τοῦτο ταῦτα παρεγγυᾷ, τὸ ἐυόλισθον αὐτῶν ὑφορώμενος:—

Τέλος σὺν θεῷ τῆς Ἰωάννου καθολικῆς
πρώτης ἐπιστολῆς.

Ὑπόθεσις τῆς Ἰωάννου καθολικῆς δευτέρας ἐπιστολῆς.

Αὐτῷ ὡς πρεσβύτερος γράφει, κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. τὴν δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους πεμπομένους καὶ λέγοντας μὴ εἶναι τὴν προυσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα, καλῶς πεποιηκυῖαν. εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. καὶ λοιπὸν διδάσκει Ἀντίχριστον εἶναι τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. παραγγέλλει δὲ τοῖς τοιούτοις μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μὴ δὲ λέγειν τοῖς τοιούτοις χαίρειν. καὶ οὕτως τελεῖ τὴν ἐπιστολήν:—

Κεφάλαια τῆς Ἰωάννου καθολικῆς, β'. ἐπιστολῆς.

α' Μετὰ τὸ προοίμιον περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ θεοῦ, διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου. ἐν ᾧ τὸ, χρὴ δεῖ αἱρετικὸν ἐκβάλλειν, ἢ χαίρειπεῖν ἐφ' ἁμαρτίᾳ.

β' Ἐπαγγελία προυσίας αὐτοῦ ἐν ἐλπίδι πρὸς ὠφέλειαν.

Ἰωάννου

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, (καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα,) ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ θεοῦ πατρὸς, καὶ παρὰ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. Τίνες ὡρίσαντο ταύτην καὶ τὴν μετ' αὐτὴν ἐπιστολὴν, μὴ εἶναι Ἰωάννου τοῦ ἠγαπημένου, ἀλλ' ἑτέρου ὁμωνύμου τούτῳ, καθότι καὶ πρεσβύτερον ἑαυτὸν ἐν ταύταις γράφῃ, καὶ πρὸς γυναῖκα, καὶ ἕτερον Γάϊον, ἵνα καὶ αὐτὸν, ὥσπερ καὶ τὴν γυναῖκα μίαν. ὅσπερ γὰρ κατ' ἐπιστολὴν καθολικὴν. καὶ τὴν προγραφὴν δὲ ὅτι μὴ καθ' ἣν πρώτην ἐποίησατο ἐπιστολήν. γὰρ ἐκείνην οὕτως ἀπήρξατο. φασὶν, ὅτι ἐν τῇ πρώτῃ οὐκ ἐποίησε τοῦτο οὕτω προγράψας, ἀλλ' πρὸς ὠφελιμίου ἔγραψε πρόσωπον, δὲ πρὸς Ἐκκλησίαν τοῦτο τινῶν, ὥσπερ ἐποίησεν ὁ μακάριος Πέτρος, ἀφωρισμένως πρὸς τοῦτον ἐν τῇ διαστολῇ ἐπισημαινόμενος Ἰουδαίους γράφειν, καὶ πρὸ τούτου ὁ θεῖος Ἰάκωβος ταῖς δώδεκα φυλαῖς τῶν Ἰουδαίων ἀφορίζομενος γράφειν, ἀλλὰ πᾶσι πιστοῖς κοινὸν ποιούμενος τὸν λόγον ἐκκλησιάζουσι καὶ μὴ ἐκκλησιάζουσι, τῆς προγραφῆς πρέποντος τούτου. Πρεσβύτερον δὲ ἑαυτὸν γράφει οὐ ταῦτα καὶ οὐκ ἀτόσολον, δὲ δοῦλον Ἰησοῦ Χριστοῦ, ὡς οἱ λοιποὶ ἀπόστολοι. ἀτόσολον μὲν οὖν γε γράφει ἑαυτὸν, ἴσως ὅτι μὴ πρῶτος κατήγγειλεν τὴν Ἀσίᾳ τὸν λόγον, ἀλλὰ μετὰ Παῦλον, καὶ καθ' ὁδὸν ὥσπερ ἐκεῖνος, τὸν τοῦ εὐαγγελίου διατρέχων κύκλον, ἀλλ' μένων ἐκεῖ, καὶ πρῶτον προῦσιν ἐκτίθεται τὸν λόγον. ἀλλὰ δοῦλον Ἰησοῦ Χριστοῦ. ἐπάρθη γὰρ, διὰ τὸ ἄγαν ἠγαπῆσθαι, ἐξωτικῆς δουλείας εἶναι φόβου. Πρεσβύτερον δὲ μόνον ἑαυτὸν ἠξίωσε καλέσαι, ἤτοι ὅτι γηραιὸς ὢν ἤδη ἔγραψε ταύτας, ἢ καὶ ἐπίσκοπον καλῶν ἑαυτὸν διὰ τοῦ πρεσβυτέρου, ᾠκονόμησε κατ' ἐκεῖνο καιροῦ, καὶ ἐπὶ ὧν ἐπισκόπων φέρεσθαι τὸ ὄνομα τοῦ πρεσβυτέρου, ὡς ἀπὸ ὧν πράξεων δῆλον, ὧν ὁ μακάριος ἔγραψε Λουκᾶς, καὶ διὰ τοῦ Πέτρου τῆς ἐπιστολῆς. πρὸς δὲ γυναῖκα γράφων πίστιν, δοκεῖ ὑπεσχέλαρ ὅτι οὐ Χριστῷ Ἰησοῦ ἐκάρη δὲ θῆλυ εἶδε. πρὸς δὲ Γάϊον ἕνα γράφων ἔχει Παῦλον Τίτον τε γράφοντα καὶ Τιμοθέου, καὶ πρὸς Φιλήμονα δὲ ἰδιώτην. ταῦτα μὲν οὖν περὶ τῆς προγραφῆς. δείκνυται δὲ ἀπὸ τῆς ἀπαγγελίας καὶ τῆς ἀρχῆς τοῦ λόγου οἰκονομίας τὸ γνήσιον ὧν ἐπιστολῶν. ἐπεὶ καὶ ταῦτα πολλάκις ἐπαναγει τὸν λόγον, τὰ αὐτὰ περὶ ὧν αὐτῶν λέγων, μετὰ τοῦ μικρᾶς παρεμπίπτων ἀφορμῆς, καὶ ταύτῃ καθασφαλίζεσθαι τὸν λόγον. δύο δὲ τὴν ἐκλεκτὴν ταύτην ἡμαρτυρεῖ, ἓν μὲν, τὸ οὐ ἀγάπη περιπατεῖν, ἕτερον δὲ, τὸ ἐκτρέπεσθαι τοὺς αἱρετικούς. ἐκλεκτὴν δὲ, ἢ ἀπὸ τοῦ ὀνόματος, ἢ ἀπὸ τῆς περὶ τὸν αἱρετικὸν φιλοτιμίας, καλεῖ. ὧν καὶ ἀγαπᾶν φησὶν ἐν ἀληθείᾳ, καὶ οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ πάντας

πάντας τοὺς ὁμότροπους αὐτῇ, τοὺς τὸν ὄντα ἀλήθειαν ἔχοντας οὐ ἑαυτοῖς ἱδρασμένον. τοῦτο γὰρ σημαίνει διὰ τοῦ, τὸν μένουσαν οὐκ ἡμῖν. τοῦτο δέ ἐστιν ἡ τοῦ Χριστοῦ πίστις. ἐν ἀληθείᾳ δὲ ἀγαπᾶν λέγει. ἔστι γὰρ καὶ ἁπλάστως ἀγαπᾶν, σώματι, ὡς αὐτός οὗτος οὐ τῇ πρώτῃ ἐπιστολῇ περί τινων νοσφρευομένων ἐδήλωσε πιστῶν. ἡτοῦν δὲ, τὸν μένουσαν ἐν ἡμῖν, οἷον τὸν ἀληθῆ ἑδραίαν καὶ μὴ κατεσχηματισμένον, ἐπίνευκε τὸ, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα, τὸ ἀναπόβλητον τοῦ χαρίσματος σημαίνων. ἔστι γὰρ καὶ τοὺς ἱδρασμένους ἐπίτινος, πάλιν σαλευθῆναι, μὴ καλῶς τῇ ἑδραιότητι κεχρημένους. τοῦτο δὲ πάλιν ἐπιφέρει τὸ, ἔσται μεθ' ἡμῶν χάρις ἐλεος, ἐμφαίνων ὅτι ἀπὸ τῆς τελείας ἀγάπης ἐπαγγέλλεται καλά. ἀπὸ θεοῦ δὲ πατρὸς φησὶ καὶ παρὰ κυρίου Ἰησοῦ Χριστοῦ, ἐπάγαγε τὸ, τοῦ υἱοῦ τοῦ πατρός. μόνος γὰρ κυρίως οὗτος πατήρ. διὸ καὶ Παῦλος, ἐξ οὗ πᾶσα πατριὰ φησιν οὐ γράφων ἐν ἐπὶ γῆς ὀνομάζεται. καὶ πάλιν δὲ, τὸ, οὐ ἀληθείᾳ, ἐπιφέρει, καὶ ἀγάπῃ, ἀσφάλεια τῷ λόγῳ προτιθεὶς καὶ γνώρισμα ἧς φησιν ἀγάπης. Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς οὐ ἐνετειλάμεθα πρὸς τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπὸ ἀρχῆς. Καὶ ἔστιν ὡς ἀληθῶς χαρᾶς αἴτιον τῆς μεγίστης τὸ εὑρεῖν τινα ἀπροσκόπτως ὁδεύοντα ἐν τῇ πίστει Χριστοῦ δρόμον καθὼς ἐντολήν· τίς δὲ ἡ ἐντολή; ἣν περὶ ἧς οὐ εὐαγγελίοις ὁ Χριστὸς, ὁ ἀγαθὸς μου, φησὶ, τὰς ἐντολάς μου τηρήσει. πατέρα δὲ νῦν τὸν Χριστὸν καλεῖ, ἐπεὶ καὶ πατὴρ ἐστὶ τῶν δι' αὐτὸν οἰκονομίας αὐτῷ πρὸς τὸ ἑαυτοῦ πατρὸς δοθέντων ὑῶν. καθὸ εἴρηται. ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεός. σημαίνει δὲ καὶ τὸ γνήσιον τῆς ἐπιστολῆς ταύτης, ὅτι συμφωνεῖ διὰ τούτων, τῷ ἐν τῇ πρώτῃ ἠρημένῳ, τῷ, καὶ οἴδαμεν, ὅτι ὁ ἀγαπῶν τὸν θεὸν τὰς ἐντολὰς αὐτοῦ τηρεῖ. ταυτὸν δέ ἐστι τὸ περιπατεῖν καθὼς τὰς ἐντολὰς, τῷ τηρεῖν αὐτάς. φανερὰ γὰρ αἱ ἀρεταὶ, ἐν αἷς τὸ ἐνεργεῖσθαι ἔχουσι τὸ εἶναι. ὥστε ὁ παυσάμενος τοῦ μὴ ταῦτας ὁδεύειν, οὐδὲ τηρεῖ ἢ περιφυλάσσει αὐτάς. τὸ περιπατεῖν δὲ καθὼ προκατέλαβε εἴρηται. ὅσον γὰρ τις κατ' ἀρετὴν ἐνεργεῖ, τοσοῦτο τὸ πρόσω ἴεται, ἕξιν ἑαυτῷ περιποιῶν τοῦ καλοῦ τελείονα. ἄπειρος γὰρ καὶ ἀνέκλειπτος ἡ τῆς ἀρετῆς ὁδός. καθὸ τοῦτο δὲ οἶμαι ἠρῆσθαι, καὶ τὸ, ἃς οὐ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. ὧν γὰρ δεδωρημένων ἡμῖν ὑπὸ τοῦ σωτῆρος ἀγαθῶν πολὺ τὸ μεγαλεῖον, ὡς ἐν ἀγγέλοις ἐφιέτο εἶναι βραχεῖαν τούτων λαβεῖν κατανόησιν. τοῦτο γὰρ τὸ παρακύψαι αἰνίσσεται. ἐφίεται δὲ τὶς σωφρονῶν, ἀλλὰ τοῦ παυσαμένου, ἀλλὰ τοῦ ἀεννάως προϊόντος, καὶ ἀκηράτῳ δόξῃ φαιδρυνομένου. καὶ ἐπιδεῖ τὸ ἀνεξάντλητον ὂν οὐχ οἷόντε ὅλον περιλαβεῖν, ἀγαπητὸν κἂν πρὸς γοῦν μυρσίας τούτου γεύεσθαι. εἴρηκε δὲ οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, σύμφωνον καὶ τοῦτο λέγων τοῖς ἐν τῇ πρώτῃ, καὶ ἅμα πιστῶν, ὡς τοῖς ἤδη ἐφωδευμένοις αὐτὴν πίστα, καὶ ὧν πεῖραν ἔλαβον ἐκ τοῦ ἐνεργῆσαι κατ' αὐτὴν, ἀλλὰ ξενίζουσι καὶ δυσπόλοις, ἵν' ἀπροσκόπτηται τῷ ἀληθεῖ τὸ ἐγχειρήσεως. Ἀλλ' ἵνα ἔχωμεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν καθὼς τὴν ἐντολὴν αὐτοῦ. αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς

Κεφ. α'.

καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε, ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί.

Προσέχετε δὲ καὶ τὸ τῆς ἐντολῆς ἔργον, ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ τὴν ἀγάπην ἔξηγεῖται. ὅτι ἐν τῷ κατ' αὐτὴν πρέπειν ἔχει τὸ εἶναι, ἐκ τῆς ἐντολῆς πάλιν τὴν ἀπ' ἀρχῆς ἀκολουθεῖ τὰ, ἢ μὴ ἵνα ἐν αὐτῇ περιπατῆτε φησιν, ἄνω καὶ κάτω τὸ αὐτὸ φέρων. καὶ διὰ μὲν τῆς ἀγάπης τὸ ἀδιάσπαστον αὐτῆς προμηθούμενος, καὶ μὴ πρὸς τοὺς πλάνους ἀπροσχίζεσθαι, τοὺς ἤδη ἐν τῷ κόσμῳ περιπατοῦντας, καὶ διὰ σαρκὸς ἐπιδημίαν τὸν κύριον ἀθετοῦντας. διὰ δὲ τοῦ κυρίου καὶ τὴν ἐντολὴν φείδεται τὴν ἀπ' ἀρχῆς, τὴν πεπλανημένην ὧν αἱρετιξόντων δόξαν ἐμφανίζων προσφατον οὖσαν, καὶ παρακαλῶν τῆς ἀπ' ἀρχῆς ἐντολῆς αὐτοὺς ἐχομένους, μὴ ὑπάγεσθαι τῇ ἀπάτῃ αὐτῶν. καὶ γὰρ ἐπιτείλατο ὁ Χριστὸς τοῖς μαθηταῖς φεύγειν τοὺς πλάνους τούτους λέγων. πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. τούτους οὖν φησὶ τοὺς ἐντολὰς τηροῦντας, κελεύει μὴ ἀπατᾶσθαι, ἀλλὰ τὸν ταῦτα λέγοντα, Ἀντίχριστον εἶναι. Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος. βλέπετε ἑαυτοὺς μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, θεὸν οὐκ ἔχει. ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.

Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος. προσυπακουστέον τούτοις ἡ ὑντελεσθέραν διάλυσιν, τὸ ὃς οὐ μὴ τοῦτο ὁμολογεῖ, ἵνα εὐσύχως ἐπάγηται, οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος. χωρὶς γὰρ τούτου ἀσυναρτήτως ὁ λόγος, ὡς ἐκπλήθωτικοῦ ἢ ἐνικὸν μεταβαίνων. οὗτός ἐστι φησιν ὁ Ἀντίχριστος καὶ ὁ πλάνος. ἤτων δὲ, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί, οὐκ ἐλθόντα, ἐμφαίνον τοῦτό ἐστιν, ὡς ἡ ἀθετοῦντες λέγει τὴν δευτέραν τοῦ κυρίου παρουσίαν, ἐπεὶ καὶ αὐτὸς ὁ κύριος λέγων, πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, ἡ περὶ τῆς πρώτης αὐτὸς φησὶ παρουσίας, ἀλλὰ περὶ τῆς δευτέρας. ὁμοίως ἀληθεῖ λόγῳ οἱ τὴν δευτέραν ἀθετοῦντες, καὶ τὴν πρώτην ἀπβάλλονται. ἡ γὰρ ὁ ὢν σαρκὶ παραγόμενος καὶ τὴν δευτέραν ἐπαγγείλατο, πάντως ὁ τὴν δευτέραν ἀθετῶν, καὶ τὴν πρώτην ἀθετεῖ. ἡ γὰρ πιστεύει παραγόμενον, καὶ τὴν ἐπαγγελίαν πιστὴν ὑπάρξεται τοῦ παραγομένου. ἡ δὲ τὴν ἐπαγγελίαν ἀθετεῖ, οὐδεὶς λόγος μὴ δὲ τὴν πρώτην αὐτὸν ἀπιστεῖν. διὰ τοῦτο οἶμαι οὕτως ἐχρήσατο τῇ φωνῇ ταύτῃ ὁ ἠγαπημένος, ἐρχόμενον ἤτων, ἀλλ' οὐκ ἐλθόντα, ἵνα τοὺς ἀμφοτέρας ἀρνουμένους τὰς παρουσίας τοῦ κυρίου τοὺς ἐν σαρκί, περιλάβῃ. διασέλλεται οὖν αὐτοῖς φυλάττεσθαι ἀπ' αὐτῶν. καὶ τὸ αἴτιον προστίθησιν, ἵνα μὴ φησὶ διὰ τῆς πρὸς αὐτοὺς ἀνακράσεως, ἀπολέσητε ἃ προεργάσασθε, ἀλλὰ ἀπολάβητε τὸν μισθὸν ὑμῶν λάβητε. ἀλλ' ἴσως ἐρεῖ τις τῶν τοιούτων. τί δὲ ἡ μὴ τὴν παρουσίαν πιστεύσω τοῦ Χριστοῦ τὴν ἐν σαρκί, διὰ δὲ ἀγαθοεργίας βιώσω, οὐ δύναμαι διὰ τῶν ἔργων τούτων μέλλων εὐσεβῶν τῶν σωτηρίαν ἔχειν; οὐδὲ τὸν ὑπὲρ τούτων ἀπολαβεῖν μισθόν; ταύτην τὴν ἀντίθεσιν προαναιρῶν ὁ ἀπόστολος οὕτω φησὶν,

ὅτι μηδεὶς οἰέσθω, ὁ τὴν ἐνσαρκὶ ἐπιδημίαν τοῦ κυρίου ἀθετῶν ὡς δύναται ἢ ἔργων ἀμοιβὴν ἀπολαβεῖν τελείαν ἥτις καὶ πιστοῖς ἐπιφέλεται, ἢ ὅλως θεοσεβὴς νομισθῆναι, ἀλλὰ πᾶς ὁ παραβαίνων τὴν ἐντολὴν αὐτοῦ, τοῦ Χριστοῦ δηλονότι παραγενομένου, καὶ μὴ μένων ἐν τῇ διδαχῇ αὐτοῦ, θεὸν οὐκ ἔχει. ἡ γὰρ ὁ θεογνωσίαν ἵκων ἀνθρώποις τελείαν διδάξαι, οὗτος ἀθετούμενος ὁρᾶται, πῶς οὐκέτι θεοσεβὴς ἐστι, ὁ ὧν θείων θαυμάτων τὴν ὑφηγητὴν ἀπροσωρακίζων; ἄθεος ὅμως οὗτος, ὥσπερ ἀντιτάσσων ἑνθέως καὶ θεοφιλῶς, καὶ πᾶν τὸ τῆς θεότητος ἔχων ἐν ἑαυτῷ πλήρωμα, πατέρα δηλαδὴ καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, ὁ ἱδρασμένος ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ. αὐτὸς γὰρ ἥκει μὲν τὸ πατρὸς διδάσκων λέγων, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι. καὶ πολλαχοῦ δὲ διδάσκει περὶ ἑαυτοῦ καὶ τοῦ πατρὸς, ὅτι ὁ μέν ἐστι πατὴρ, ὁ δὲ υἱός. περὶ δὲ τοῦ πνεύματος ὅταν λέγῃ. τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει τοῦ πατρὸς ἐκ πορεύεται. τελειότερον δὲ τούτων ἡνίκα λέγει. βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡ δὲ περὶ τοῦ πατρὸς μόνου καὶ τοῦ υἱοῦ εἴρηται ἑνταῦθα τῷ μαθητῇ τοῦ κυρίου, ἡμῖν τε καὶ περὶ τοῦ ἁγίου πνεύματος, μηδὲν σκανδαλισθῆς. πεπείρακται γὰρ τούτου μόνου κατὰ πίστιν ἑνταῦθα ἡρῆσθαι νῦν, τοῦ πατρὸς φημὶ καὶ τοῦ υἱοῦ. καὶ ταῦτα μὲν πρὸς τὸ πρόν, ἵνα μὴ μακρολογῶμεν. μέλλει δὲ ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, ἤτοι τῇ εὐαγγελικῇ διδασκαλίᾳ ὁ κατ' αὐτὸν φρονῶν καὶ πράττων, θεωρητικῶς ἅμα καὶ πρακτικῶς βιῶν. ὁ δὲ ταύτης ἀπάγων ἑαυτὸν, ἄθεος. ὡς γὰρ ὁ δι' ἀκριβοῦς πολιτείας οἰκειῶν ἑαυτὸν τῷ θεῷ, ὥσπερ ὁ Ἀβραάμ, καθὸ καὶ ἤκουε παρ' αὐτοῦ, ἐγὼ θεὸς σὸς, οὕτως ὁ ἐξω τῆς ἐντολῆς τοῦ εὐαγγελίου βιοὺς, ἄθεος, ἐὰν τὸν ἀπρσχοινίσας τοῦ ἔχειν θεόν. ἀθέου δὲ τούτου ὄντος, τοῦ ἑαυτὸν, φημὶ, τῆς θείας ἀλλοτριώσαντος παιδείας, ὁ μένων ἐν αὐτῇ, οὗτος καὶ τὸν πατέρα ἐν τὸν υἱὸν ἔχει. περὶ γὰρ τοῦ τρίτου καὶ ὁ υἱὸς ἔφη, ὅτι ἐλευσόμεθα παρ' αὐτὸν, μετὰ τοῦ πατρὸς δηλονότι, καὶ μονὴν πρὸ αὐτῷ ποιησόμεθα. ἐκ γὰρ τῆς ἐν τολῶν τηρήσεως, ναὸν ἑαυτὸν καὶ οἰκητήριον ἑποίησε θεοῦ, καὶ θεὸν ἐνοικοῦντα ἔχει, διὸ οὗτος τοῦ ἔχειν θεόν. λέγεται γὰρ ἔχειν θεὸν καὶ τὰ κτίσματα πάντα, πρὸς ὃ καὶ Παῦλος εἴρηκεν. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. τίνα δὲ καὶ τὸν τῆς χριστώσεως εἴρηται τρόπον. ἑτέρως δὲ τὰ διὰ καλοκἀγαθίας θεραπεύοντες θεὸν, πάλιν ἔχειν λεγομένου θεὸν, καθὸ σημαινόμενον, καὶ τὸν Ἀβραὰμ θεὸς εἴρηται ὁ θεὸς, καὶ τὸν Ἰσαὰκ, καὶ ὅλως τῶν θεοφιλῶν Ἑβραίων, ἐπιστατέον τοῖς νῦν ἡρισμένοις, ὁ ἔχων τὸν υἱὸν ἔχει καὶ τὸν πατέρα. ὁ γὰρ ἑωρακὼς τὸν υἱὸν, ὡς καὶ αὐτὸς φησιν ὁ υἱὸς, ἑώρακε τὸν πατέρα. καὶ ἐμφαλιν, ἐγὼ γὰρ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ, ὁ αὐτὸς φησι βητὴρ. ὥστε ἐκ τούτου, τὸ τοῦ πατρὸς ἐκ τοῦ υἱοῦ ὁμοούσιον γνώσεσθαι. ἡ δέ τις ἐρεῖ, ὅτι καὶ τοῦτο ἐκ τοῦ τοῖς μαθηταῖς δεχόμενος ἔχει καὶ τὸν υἱὸν ἐκ τὸν πατέρα, φησὶ γὰρ καὶ περὶ τούτων ὁ βητὴρ, ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται. ὁ δὲ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με, ἴσως κακῶς οὕτως λέγων, ἐκ ὧν δεῖ πρόσωπον ὑποτάμενος. περὶ γὰρ τῆς διδασκαλίας εἴρηται ταῦτα, ἐπεὶ ὁ δεξάμενος τοὺς ἀποστόλους συναπαθέσει τῇ διδασκαλίας αὐτῶν, ἐδέξατο διαὐτῶν υἱὸν ἐκ πατέρα διδάσκοντας.

καὶ ἑτέρως.

καὶ ἑτέρως. ἐπεὶ ὁ μένων ἐν τῇ διδαχῇ ἔχει καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, ἔμενον δὲ οἱ
ἀπόστολοι ἐν τῇ διδαχῇ, ὡς καὶ κηρύσσειν αὐτοῖς, ὁ δὲ ἀμένων οὐκ αὐτοῖς ναοὺς ὄντας θεοῦ, δι' αὐτῶν δὲ χεῖσθαι αὐτοῖς, ἔχει τὸν ἐν αὐτοῖς υἱὸν καὶ πατέρα.

» Εἴπις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς
» οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. ὁ γὰρ λέγων χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ
Κεφ. β'. » τοῖς πονηροῖς. πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος.
» ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ
» πεπληρωμένη. ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς. ἀμήν.

Ἐξασφαλίζεται τοὺς πρὸς οὓς ἡ ἐπιστολή, ὅτι εἴπις μὴ μετὰ τῆς ὁμολογίας ταύτης ἔρχεται πρὸς ὑμᾶς, μὴ μόνον σκέπτεσθαι ὑμῶν μὴ τυγχάνετω, ἀλλὰ μὴ δὲ προσρήσεως ἀξιούσθω, ἀκριβῶς ταῦτα λέγων, ὡς τῆς προρρήσεως ταύτης τοῖς ὁμοπίστοις ἡμῶν μόνοις καὶ ὁμοπίστοις ὀφειλομένης. τίνι γὰρ χαίρειν εὐξόμεθα, ἢ τοῖς ὁμοπρόσωποις καὶ ὁμοπίστοις; ὥστε ἡ τοῖς ἀσεβέσι προσεύχεσθαι παρ' ἡμῶν οὐ ταύτην προρρήσεως, πάντως ὡς ὁμοπρόσωποις καὶ πίστοις προσηύχθη, καὶ κοινωνοὶ οὐχ ἡμῶν ἐλήφθησαν διὰ τοῦτο, καὶ ἵνα τὰ ἑαυτῶν ἡμᾶς κατέσπασαν βάραθρον. πλὴν δὲ αἰτίαν τοῦ ζώνυμον ἐκθέσθαι πλὴν ἐπιστολήν, καὶ οὐ ταῦτα καὶ οὐ τῇ μετὰ ταύτην, αὐτὸς ἐδίδαξε, τὸ ἐλπίζειν παραγένεσθαι, καὶ δι' αὐτοψίας τὰ ἐλλείποντα προσθεῖναι. διὰ δὲ τὸ προσθεῖναι, ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς, βούλονταί τινες βεβαιοῦν ὡς ὑπὲρ τῆς γυναικὸς ἐπιστολή, ἀλλὰ πρὸς Ἐκκλησίαν. περὶ οὗ, ὑπὲρ τοῦ βουλομένου νῦν διενεχθῆναι.

Τέλος τῆς Ἰωάννου δευτέρας ἐπιστολῆς.

Ὑπόθεσις

Ὑπόθεσις τῆς Ἰωάννου καθολικῆς, γ'. ἐπιστολῆς.

Ἔστιν ἡ ἐπιστολὴ περὶ φιλοξενίας. καὶ πρῶτον μὲν ἀποδέχεται τὸν Γάϊον, μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ. καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν, καὶ προπέμπειν καὶ δέχεσθαι τοὺς ἀδελφούς. πάλιν τε αὖ μὴν τῶν περιφορὰν ἀποδέχεται, αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα. τοὺς δὲ περὶ οὗτος λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μὴ δὲ ἰδέναι τὸν θεόν. Δημήτριον δὲ σωίζησι μαρτυρῶν αὐτῷ τὰ κάλλιστα:~

Ἑτέρως τῆς ὑπόθεσις.

Καὶ ταύτην τὴν ἐπιστολὴν γράφει, σωίζων τινὰς ἀδελφούς. γράφει δὲ Γαΐῳ, καὶ μαρτυρεῖ τοῦτῳ φιλοξενίαν πολλήν, ἣν καὶ μεγάλων ἐπαίνων ἀξίοι. τὸν γὰρ ἀγαθοποιοῦντα ἐκ τοῦ θεοῦ εἶναι λέγει. πλεῖον δὲ αὐτὸν διεγείρει καὶ ἐξ ὧν διαβάλλει τὸν μὴ τὸν ἐγνωκότα ποιεῖν Διοτρεφῆ. ἐπαινεῖ δὲ καὶ Δημήτριον τὸ αὐτὸ πράσσοντα. καὶ μαρτυρίαν αὐτῷ πρέχεται πιστήν. ζώνυμος δὲ αὖτη ἡ ἐπιστολή, διὰ τῶν περιεργημένων αἰτίαν οὐ τῇ πρώτῃ ἐπιστολῇ:~

Κεφάλαια τῆς Ἰωάννου καθολικῆς. γ'. ἐπιστολῆς.

α' Εὐχὴ ὑπὲρ τελειώσεως καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας ὧν ἀδελφῶν διὰ Χεισόν. οὐ ὧν περὶ τῆς διοτρεφοῦς φαυλότητος καὶ μισανθρωπίας.

β' Περὶ Δημητρίου. ὧν μαρτυρεῖ τὰ κάλλιστα.

γ' Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς οὐ τάχει ἐπ' ὠφελείᾳ.

ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΤΡΙΤΗ.

Ο πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ. Εἴρηται πρεὶ τούτου ἐν τῇ πρὸ ταύτης. καίνυν δὲ τὸ αὐτὸ ἐπαναλαμβάνειν παρέλκον καὶ περισσόν.

» Ον ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. Εν ἀληθείᾳ ἀγαπᾷ ὁ καὶ κύριον ἀγαπῶν ὠφελεῖται ἀγάπῃ, ὡς πολλάκις καὶ ἀνωτέρω εἴρηται.

Κεφ. ά. » Αγαπητὲ περὶ πάντων εὐχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦται σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ. Καθὼς εὐοδοῦταί σου ἡ ψυχή. εὐοδοῦταί δὲ ἐν τῇ καθ' ἡμέραν πολιτείᾳ. Καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. Εν ἀληθείᾳ περιπατεῖ ὁ καθ' ἑαυτὸν εὐαγγελικὴν ἀπλότητα πρεπόντως. πρέπει δὲ οὐ τὸν διὰ σκελῶν φησὶ κίνησιν, μιᾶς οὔσης παντὶ πρόδηλον ἐχούσης ἐν ἐμοὶ τοιαύτης ἐκβάσεως ἧς ἕνεκεν μεταβατικῆς χρείας, ἀλλὰ τὸν καθ' ἕξις ψυχικὰς ὁρμὰς τεταγμένως καὶ σώφρονα πρόοδον, ἧς ὀλίγοι τυγχάνουσιν οἱ τὸν ἐπίγνωσιν ἔχοντες.

» Μείζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

Τὸ μειζοτέραν καθ' ἀκρίβειαν τῆς ἑλληνικῆς γλώσσης ἀδόκιμον, ὡς ἐπίτασιν ἐπιτάσει προσρίζον. Αγαπητὲ πιστὸν ποιεῖς, ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς » ἀδελφοὺς καὶ εἰς τοὺς ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον Εκκλησίας. » οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ. ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. Πιστὸν ποιεῖς. ἀντὶ τοῦ ἄξιον πιστοῦ ἀνδρός.

» Ημεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀλη » θείᾳ. ἔγραψα τῇ Εκκλησίᾳ, ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. Απολαμβάνειν ἀντὶ τοῦ ἀναλαμβάνεσθαι, ὑποδέχεσθαι, ὡς καὶ τὸ, ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος ἧς θήραν. παιδεύσῃ δὲ διὰ τούτου ἡμᾶς, μὴ ἀναμένειν τοὺς ξενοῦντας, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν, ὡς » ὁ Αβραὰμ καὶ ὁ Λὼτ. Διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ. Εἰ προστέταται μὴ ἀντιδιδόναι κακὸν ἀντὶ κακοῦ, πῶς οὗτος νῦν ἀντιλεῖ ταῦτα; φαμὲν οὖν, ὡς ἐκείνῳ μὴ ἀντιδιδόναι ἰδίᾳ ἐντολὴ αὖτη, τῷ ἧς ἡμᾶς αὐτοὺς μόνους ἁμαρτάνοντι, ἐπεὶ ἡ εἰς πρὸς ἡμᾶς ἁμαρτία, καὶ ἧς πίστιν ἐμποδὸν φέρει, ἀνταποδοτέον τῷ τοιούτῳ, ὡς καὶ Παῦλος τῷ Ελύμᾳ τὰς ὁδοὺς διαστρέφοντι κυρίου.

» Λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς. Αντὶ τοῦ λοιδορῶν, κακολογῶν.

» Καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς, καὶ τοὺς βου » λομένους κωλύει, καὶ ἐκ τῆς Εκκλησίας ἐκβάλλει. ἀγαπητὲ μὴ μιμοῦ τὸ κακὸν, » ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστὶν, ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν. Μηδεμιᾶς οὔσης κοινωνίας φωτὶ πρὸς σκότος, μηδὲ συμφωνίας Χριστοῦ πρὸς Βελίαρ, οὐ χρὴ τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ ἐπιγνώσεως πεφωτισμένον, τῷ σκότῳ συμφύρεσθαι διὰ μιμήσεως ὧν ἀσεβούντων, ἤγουν τοῖς ἀσελγείαις αὐτῶν ἔργοις. ὡς γὰρ ὁ ἀγαθὰ φησὶν

ἀγαθὰ φησὶν ἐργαζόμενος ἐκ τοῦ θεοῦ ἐστὶ, καὶ τῷ τῆς ἐπιγνώσεως αὐτοῦ φωτὶ τὸν νοερὸν αὐτοῦ ὀφθαλμὸν κατηρτισμένος, καὶ διὰ ταῦτα ὅλος τε φωτὸς ὢν, καὶ ὁρᾶ τὸ ὄντως φῶς τὸν θεὸν, καὶ ὁρᾶται ὑπ' ὧν ἄλλων φωτὸς ἐν τῷ κόσμῳ, λόγον ζωῆς ἐπέχων, οὕτω καὶ ὁ τὰ καλὰ ἐργαζόμενος ἐν σκότῳ διαπρεπόμενος, οὔτε αὐτὸς ὁρᾶν θεὸν δύναται, φυτέσι τε τοῦ θεοῦ πρέπει, οὔτε ἄλλοις ὁρᾶσθαι κατευθύνων, ἀλλὰ μισητός ἐστιν ἅπασι ἐβδελυγμένος, καθὸ τὸ, ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, θεῖον λόγιον. Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας. Κεφ. β'. » καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε, ὅτι ἡμῶν μαρτυρία ἀληθής ἐστι.

» πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι. ἐλπί- Κεφ. γ'. » ζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν. Εἰρήνη σοι. ἀσπάζονταί σε οἱ » φίλοι. ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

Μεμαρτύρηται ὑπὸ πάντων, ὧν πᾶν ἀλήθειαν διλονότι ἐχόντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας τὸ ἐνεργοῦς λόγου. Ἔστι γάρ τινες, οἷς μαρτυρεῖται μὲν ἀρετὴ, κατεψευσμένη δὲ ἐπὶ ἀπράκτῳ λόγῳ. Ἥδεται τὸ, ὑπὲρ πάντων, καὶ ἐπὶ ὧν ἀπίστων ἐκλάβοι, διὰ τὸ πελαγικὸν τῆς, πᾶς, μορίου, ἢ κακῶς οὗτος ὑπολαμβάνων φωραθείη. ἀπροσπόριστος δεῖναι φησὶ Παῦλος τοῦτο πιστεύειν, καὶ Ιουδαίοις καὶ Ελλησι, καὶ τῇ Εκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω·~

Τέλος τῆς Ιωάννου τρίτης ἐπιστολῆς.

Υπόθεσις τῆς Ιούδα καθολικῆς Ἐπιστολῆς.

Αὐτὸν τὸν Ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν. ἡ δὲ πρόφασις αὐτῆ. παρελθόντων τινῶν ἐδιδασκόντων ἀδιάφορον εἶναι τὸν ἁμαρτίαν, ἐ ἀρνουμένων τὸν κύριον, ἀναγκαίως ἔσχε γράψαι καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι ἐ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους. ἐ παραγγέλλει μηδεμίαν ἔχειν κοινωνίαν πρὸς τοὺς τοιούτους, ἱκανὰς ὅτι χαρκεῖ τὸ κλιθῆναι μόνον, ἐὰν μὴ ἐ ἀξίως τοιαῦτα τίθεμεν τῆς κλήσεως. ἐ γὰρ ἐ ἔτερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ κς, μὴ ἐμμείναντα τῇ πίστει, ἀπώλεσε. ἐ ἀγγέλων δὲ μὴ τηρησάντων τὸν ἰδίαν τάξιν, ἀλλ ἐφείσατο. δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. ἐ γὰρ ἐ Μιχαὴλ ὁ ἀρχάγγελος, ἀλλ ὑπήνεγκε βλασφημίας τοῦ Διαβόλου. ἔσεσθαι γοῦν τὸν ἀπώλειαν αὐτῶν, ὡς Σοδόμων, Διδάσκει. εἶτα παραινεῖ ἐξ ἑαυτῶν. καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ κυρίου, τελειοῖ τὸν Ἐπιστολήν.

Κεφάλαια τῆς Ιούδα καθολικῆς Ἐπιστολῆς.

α΄ Περὶ προσοχῆς τῆς ἐξ Χριστὸν πίστεως, διὰ τὸν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν. ὧν ὃ πρεῖ μελλούσης αὐτῶν κολάσεως, καθ ὁμοίωσιν τῶν πάλαι ἁμαρτησάντων καὶ πονηρῶν.

β΄ Παραινεῖ αὐτοὺς ἐπὶ τῇ πλάνῃ καὶ ἀσεβείᾳ καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ, καὶ ἐπιπλάστῳ ὑποκρίσει, τῇ ἐξ ἀποστάσεως δωροδοκίᾳ.

γ΄ Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς ἐξ τὸν πλησίον ἐπὶ σωτηρίᾳ ὧν ἁγιασμῷ.

δ΄ Εὐχὴ αὐτῶν ἐξ ἁγιασμὸν, καὶ παῤῥησία καθαρὰ ζωοδοξολογία χριστοῦ.

ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

ΙΟΥΔΑΣ Ιησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ιακώβου.

Ηρκισεν αὐτῷ, τῷ πρόντι ἀποστόλῳ φημί, ἐξ ὑπεροψίαν δόξης, μετὰ τὸ δοῦλον ἑαυτὸν ὀνομάσαι Χριστοῦ, καὶ ἀπὸ Ιακώβου συμβολογήσασθαι. τὸ γὰρ τοῦ Ιακώβου πρὸ πάσιν ἐπ ἀρετῇ ζηλωτοῦμενον, εὐπροσδεκτότερον ἐξ πίστεως λόγου διδασκαλίαν καθίστη τοῖς ἀκροαταῖς τοῦτον, ἐπεσπᾶτο γνησίως καὶ ἄμωμος κοινωνὸς, ὃς οὐκ ἀπαλλοτριοῦμενος ὀφθείη καὶ πρώτων τοῦ ᾧ κεκοινώνηκε τῆς συγγενείας, καὶ μάλιστα ἡ καὶ ὑφ ἑνὶ δεσπότῃ Χριστῷ τελῶν, τὸν τῆς δουλείας ζυγὸν ἰσοῤῥόπον τῷ ὁμοίμονι πρόσκειται ἕλκειν.

Τοῖς ἐν θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ιησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς, ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. Τοῦ κυρίου ἐρικότος, ὀδοὺς ἔρχεται πρόσωμεν ἐὰν μὴ ὁ πατὴρ μου ἑλκύσῃ αὐτὸν, δείκνυσι τὸν λόγον ὁ μακάριος οὗτος ἀνὴρ ἐπαληθεύοντα νῦν. τοὺς γὰρ τῷ πατρὶ ἡγιασμένους, τῷ Ιησοῦ Χριστῷ τετηρῆσθαι φησί. διὸ καὶ κλητοὺς λέγει. οὐ γὰρ ἀφ ἑαυτῶν, ἀλλ ἀπὸ τοῦ πατρὸς ἔχουσι δηλαδὴ τὸ ἑλκύσθαι καὶ τὸ κεκλῆσθαι. ἔλεον δὲ εἰρήνην καὶ ἀγάπην αὐτοῖς ἐπεύχεται πληθυνθῆναι. ἔλεον μὲν, ὅτι δηλαδὴ σπλάγχνα ἐλέους θεοῦ ἀνεκλήθημέν τε καὶ ἀνελήφθημεν αὐτῷ ἐξ ὑπηρέτας. εἰρήνην δὲ, ὅτι καὶ παύσασι ἡμῖν ὁ αὐτὸς θεὸς ὁ πατὴρ ἐδωρήσατο, διὰ τοῦ υἱοῦ αὐτοῦ Ιησοῦ Χριστοῦ τοῖς προσκεκρουκόσι ἡμᾶς, ἑαυτῷ καταλλάξας. ἀγάπην δὲ, ὅτι διὰ πλῆθος πρὸς ἡμᾶς ἀγάπην, ὁ μονογενὴς αὐτοῦ υἱὸς ἐκδέδοται ὑπὲρ ἡμῶν ἐξ θάνατον. ταῦτα οὖν ὑπεκπίπτοντος βραβευθῆναι αὐτοῖς εὔχεται, σωφρονίζων τῷ μακαρίῳ Δαυὶδ φθεγγόμενος, παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Αγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος Κεφ. α΄.
γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν.

Τῶν ὑποθέσιν τῆς Ἐπιστολῆς δηλοῦ τοῦτον μηνύει, ὅτι προμηθείᾳ τῆς αὐτῶν σωτηρίας, τὸ μὴ ἁλῶναι δι ἀπλότητα τοῖς μαρωτάτοις αἱρετικοῖς, τοὺς πρόσθεν ἐκτίθεται λόγους, ὡσπερεί τίζων αὐτοὺς καὶ δηλονότι ποιῶν τοῖς ἀγνοοῦσι, διὰ τῆς ἐκθέσεως τοῦ ἀσελγοῦς αὐτῶν βίου. περὶ τούτων δὲ καὶ Πέτρος εἴρηκε μὲν, πλατύτερον δὲ καὶ διεξοδικώτερον οὗτος νῦν. προλεγραμμένους δὲ αὐτοὺς λέγει, ὅτι ἐ Πέτρος καὶ Παῦλος περὶ αὐτῶν εἴρηκεν, ὅτι νῦν ἐσχάτοις καιροῖς ἐλεύσονται πλάνοι τοιοῦτοι. καὶ πρὸ τούτων δὲ αὐτὸς ὁ Χριστὸς φάσκων, πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐ πολλοὺς πλανήσουσι. μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. χριστιανοὺς γὰρ ἑαυτοὺς ὀνομάζοντες, ἐπὶ τῷ ὀνόματι τούτῳ. πολλοὺς ἀπατῶσι. λέγει δὲ τοὺς ἀπὸ Νικολάου καὶ Ουαλεντίνου καὶ Σίμωνος τῶν μαρωτάτων καὶ ἀκαθάρτων. οὗτοι γὰρ ἀσχήμονες ὄντες ἐ ἀκόλαστοι, ὑπεκρίναντο τὴν διδασκαλίαν, ἵνα δι αὐτῆς παρείσδυσιν ἐξ τὰς οἰκίας ἕνρωσι, καὶ αἰχμαλωτίζωσι γυναικάρια σεσωρευ-

μλύα ἁμαρτίας. τελεῖς γὰρ νυκτείνας πλασάμλυοι, κοίτας ἐ ἀσελλείας ἑαυτῆ ἐκλεδώκασι. τὸ δὲ μεταπιθέντες ἡς ἀσέλγειαν, ἀντὶ τ προχαράττοντες ἀπὸ τῆς θεοφροζύνλις ἡς ἀσέλγειαν. ἀφ' οὗ ἐ ἀρνεῖσθαι συμβαίνει αὐτῆ τὸν μόνον ἡμῶν Ιησοῦν Χν. ἐ πως γὰρ ἂν ἀρνοῦνται, οἱ διὰ τ βίου ἀκαθαρσίας τ πάσης θεοφροζύνλις διδάσκαλον οἰονεί τινι διαζέρω φωνῆ ἀπώρμου ποιούμλυοι; τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; » Παρακαλῶν ἐπαγωνίζεσθαι τῆ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. πρείσδυσαν » γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμλυοι ἡς τοῦτο τὸ κρίμα, ἀσεβεῖς.

Ἐπαγωνίζεσθαι παρακαλεῖ τοὺς ἅπαξ τὸν Χειστὸν καταδεξαμλυους σωτῆρα, καὶ σύτῳ πεπιστευκότας, ρυτέσι μὴ ἐκλελυμλύως διατεθῆναι, ἀγὰ σωτείναντας ἑαυτῆ, ἔτι μᾶλλον ἐχθαι τῆς πρεὶ τὸν ἀπροσδόκητος. δεξάμλυοι γὰρ τὸν ἀναθρωπίσαντα λόγον, ἢ λέγοιμλυ ἕτερον μὲν εἶναι τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς, ἕτερον δὲ τὸν ἐσ' ἐσχάτων ἐκ τῆς μητρὸς καὶ κατ' ἰδίαν ὑπόστασιν, πῶς οὐκ ἂν ἀρνηθείημλυ τὸν ἕνα κύριον καὶ δεσπότην; εἷς γὰρ κύριος Ιησοῦς κατ' ἕνωσιν οἰκονομικήν. ὁ γὰρ πρὸ αἰώνων θεοῦ λόγος καὶ θεὸς, ἡς πὼ τῆς θεότητος δεξαν ἀναφοιτῶσαν ἔχων πὼ σάρκα, ἣν ἀπ' τῆς ἁγίας Παρθένου δι' ἀρχῆς συλλήψεως ἀνέλαβεν, εἷς καὶ ὁ αὐτός ἐστιν » ἁπάντων δεσπότης. Τιὼ τὸ θεοῦ ἡμῶν χάειν μεταπιθέντες ἡς ἀσέλ- » γειαν, καὶ τὸν μόνον δεσπότην θεὸν καὶ κύριον ἡμῶν Ιησοῦν Χειστὸν ἀρνούμενοι.

Μεταπιθέντες ἀντὶ τ μεταποιοῦντες, πραγοιοῦντες.

» Υπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ πάντα, ὅτι ὁ κύριος λαὸν ἐκ » τῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. Αγγέλους » τε τοὺς μὴ τηρήσαντας πὼ ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, » ἡς κείσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρικεν. ὡς Σόδομα καὶ » Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀ- » πελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκειται δεῖγμα, πυρὸς αἰωνίου δίκλυ ὑπέ- » χουσαι, ὁμοίως μὴν καὶ οὗτοι ἐνυπνιαζόμλυοι, σάρκα μὲν μιαίνουσι, κυριότη- » τα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσι. ὁ δὲ Μιχαὴλ ὁ Αρχάγγελος, ὅτε τῷ » Διαβόλῳ διακενόμλυος διελέγετο περὶ τ Μωυσέως σώματος, οὐκ ἐτόλμησε κρί- » σιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, Ἐπιτιμήσαι σοι κύριος.

Εἰρικὼς πὼ ἀσέλγειαν τῶν ἀναθάρτων Νικολαϊτῶν καὶ Ουαλεντινιανῶν, καὶ Μαρκιωνιστῶν, καὶ ὥσπερ ἐγκαύσει τινὶ ἐπισήμους αὐτοὺς ποιήσας ἀπὸ τῆς περσούσης αὐτῆς βορβορότητος, ἐπάγει καὶ ταῦτα. ὁ κύριος λαὸν ἐκ γῆς Αιγύπτου καὶ ἐξῆς. ὁ μοῦ μὴν δι' ρυτῶν δηλοῖ, ὡς ὁ αὐτὸς θεὸς τῆς παλαιᾶς ἐστὶ καὶ νέας διαθήκης, ἀληθῶς οἱ μακροὶ οὗτοι, ἄλλον μὲν τὸν τῆς παλαιᾶς φάσκοντες προφητικὸν καὶ ὠμὸν, ἄλλον δὲ τὸν τῆς νέας, πρᾶον καὶ φιλάνθρωπον ἕφορον εἶναι θεὸν, ἅμα δὲ καὶ ὡς ἀληθῶς οἱ νῦν ἀπόστολοι μένειαν. ὡς ἀληθῶς οἱ τοῦ Αιγύπτου, διὰ μὴν πὼ ὑποβάλλουσαν δύναμιν, καὶ πὼ πρὸς τοὺς πατέρας αὐτῶν ὁρκωμοσίαν, τὸ θεοῦ τῆς Αιγυπτιακῆς αὐτοὺς ἀπαλλάξαντος βίας, ἀμὴ μόνον καὶ παρανομήσαν-

τες ἀπόστροφοι

τες ἀπόστροφοι διὰ μεμψίμοιρίαν, ἀμὴ ἔδοσαν δίκας ἀξίας, ἀλλὰ αὐτοῖς ὠφελήσαντες τὸ πρὸς τοὺς αὐτῶν πατέρας τὸ θεοῦ ἐυμφυοῦς, οὐδὲ τῆς ὧν θαυμάτων ὑποφυοῦς διὰ ρύτριος ὑπαργείας, ὡς γὰρ τοὺς ἐκπεπτωκότας Αγγέλους, τὸ ἀπὸ θεοῦ γενέσθαι, καὶ νοερᾶς φύσει τετιμῆσθαι, γὰρ τοὺς Σοδομίτας ἢ μετὰ τὸ Λὼτ σωσαυλία. ἀλλ' οἱ μὲν πὼ Ερυθρᾶν θάλασσαν διὰ ξηρᾶς διελθόντες διὰ πίστεως, ὕστερον ἀπιστήσαντες ἀπώλοντο. τοὺς δὲ τῆς Αγγελικῆς ἀξίας λαχόντας τὸ τίμιον, ἐκ ραθυμίας μὴ ἐμμείναντας τῆ ἑαυτῶν ἀρχῆ, ἀλλ' ἀθετήσαντας πὼ δεδομένην αὐτοῖς δι' ἀγαθότητα διαιταν ἐπουράνιον, ἡς κρίσιν, ἤτοι ἡς κατάκρισιν μεγάλης ἡμέρας τῆ πιωείᾳ καὶ ἀνυπρίσου τεταμίευκεν. τοῦτο γὰρ καὶ νῦν τὸ τετύρικε σημαίνει. καθὸ καὶ ὁ Χειστός φησι, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Αγγέλοις αὐτοῦ. καὶ διὸ οἱ Σοδομῖται τεκμήριον τὸ ὑποδεχομλυου αὐτοὺς ἀτελευτήτου πυρὸς πρόκεινται. ὀπίσω σαρκὸς ἑτέρας ἀπελθόντες, καὶ πορνεύσαντες, ρυτέσιν ἐκκλίναντες. ὃ τὸ πορνεύειν σημαίνει. σάρκα δὲ ἑτέραν πὼ ἀρρένα φύσιν λέγει, ὡς μὴ πρὸς συνουσίαν ὑσέως συντελοῦσαν. ἡ γὰρ πρὸς συνουσίαν σὰρξ, τὸ θήλεός ἐστι, κατὰ τὸ ὑπὸ τοῦ προφήτορος ἠρημλυον, ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἡ δὲ ὧν ἀρρένων σὰρξ, ἑτέρα τῆς συνουσίας φημί. πὼ καὶ ἐπὶ τὸ θήλεος, ἡ μὴν κατὰ νόμους ἐνὶ μία, ἰδία σὰρξ καὶ οἰκεία, ἡ δὲ ἐκκεχυμλύη καὶ δημοσία, ἑτέρα καὶ ἀλλοτρία, καὶ μικρῷ τῆς ἀρρενικῆς ἡς μίασμα λειπομλύη. ἠρικὼς δὲ τούτῳ τῷ ὑποδείγματα, κατέλιπε τὸ ἀκόλουθον ρύτρις νοεῖν τὸν ἀκροατήν. τί δὲ τοῦτο; τὸ ἐπενεγκεῖν, ἤδω ρύτρις οὕτως ἀπεχρήσατο μηδὲν δυσφπιθεὶς τῆ πατέρᾳ αὐτῶν ἐυκλειᾳ, ἆρα ρύτρις νῦν ἀσελγοῦντας ἀφαιρήσεται τὸν τοῦ θεοῦ δι' ἀνθρώπους ἡς τὸν κόσμον ἐλθεῖν καὶ ἀνασχέσθαι ὑπὸ ρύτων ὕβρεων καὶ παθῶν; οὐκ ἂν εἴποι τις τοῦτο. καὶ γὰρ φιλάνθρωπός ἐστιν, ἀλλὰ καὶ δίκαιος ἀληθείᾳ. καὶ διὰ μὲν ἀληθῆ δικαιοζύνλυ, ὧν ἡμαρτηκότων οὐκ ἐφείσατο, διὰ δὲ φιλανθρωπίαν, πέρνας καὶ τελώνας ἡς πὼ βασιλείαν ἤσπαγλυ. οὕτω τὸ ἀκολούθου ὄντος χρήσασθαι, αὐτὸς πέπικε, καὶ δι' ἃ μὴν προείπομλυ, ἤκουσε τῷ μακαρίῳ Πέτρῳ προφηνλυου, ὅτε ἔλεγλυ. γὰρ ὁ θεὸς Αγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο καὶ ἑξῆς. καὶ πορὶ μὲν ρύτων οὕτως. τὸ δὲ, σάρκα μὴν μιαίνουσιν ὑποπνιαζόμλυοι, θαυμάζειν ἄξιον τῆς σεμνότητος τὸ λόγου. πολλὰ γὰρ αὐτῶν ἀσέλγειαν καταμαρτυρεῖ, φάσκων ὅτι ἐ βίῳ ἤσιν ἀκάθαρτοι, καὶ γλώσσῃ ἀσελγέστατοι. τὸ γὰρ ἄγαν αἰσχρὸν τῆς πράξεως, διὰ τ ὑποπνιαζόμενοι πεύσεσθαι. ὃ μικρὸν ἡμεῖς καὶ ὅσον πρόσκε παραγυμνώσομλυ, ἐκ τοῦ πεπνυμλύου τῷ μακαρίῳ Επιφανίῳ τῷ Κύπρου πορὶ τούτων, ὃ καὶ Πανάρειον ἐκάλεσε, πὼ γνῶσιν ἁλιφόητες. φησὶ γὰρ οὗτος. τοὺς μαρουὺς τούτους βορβοείτας αἰσχρῶς γυναιξὶν ἡμιγυμλύους, μὴ τῇ μήτρᾳ πὼ γονὼ καθέχειν, ἀλλ' ἀτελέστῳ τῇ ἐθελυείᾳ, ταῖς ἑαυτῶν ὑπολαβόντες ταύτην χερσὶν, εὐθὺς τῷ σώματι ταύτην προσάγειν μεθ' ὧν συνεφθάρησαν γυναίων, καὶ οὕτως ἀποχέσθαι ἀπ' ἀλλήλων τοὺς ἀναθάρτους, μέγα, τι οἰηθέντας ἡμ-

τετελεκέναι. τὸν δὲ ἀκάθαρτον δραμα δηλῶ τὸ ἀτέλεστον, ἐνυπνίασμα καλεῖ. ἐπεὶ καὶ τοιοῦτοι τοῖς ἐνυπνιασμοῖς. μιαίνοντες μὲν δὴ τῆς βορβορώδους ταύτης τροφορᾶς τὴν ἑαυτῶν σάρκα, ἔτι φησὶ καὶ καθ' ὑπερβολὴν τῆς θείας φύσεως μαίνονται, τὴν κυριότητα ταύτης ἀθετοῦντες, καὶ τὴν τοῦ πάντος αὐτῆς δεσποτείαν. πλατύτερον δὲ περὶ τούτων ὁ μακάριος Εἰρηναῖος ὁ Λουγδούνου εἴρηκεν ἐν τῷ ἐλέγχῳ τῆς ψευδωνύμου γνώσεως. πρὸς οὗ ὁ βουλόμενος λαμβανέτω τὴν γνῶσιν. ἡ κυριότητα, τὴν τοῦ καθ' Χριστὸν μυστηρίου τελετὴν ἀθετοῦσιν, ἐν τάξει μυστηρίων ἀγγελικῶν ἐαυτοῖς ἀσελγείας ἐκτελοῦντες. δόξας δὲ τὴν παλαιὰν φησὶ δηλοῦσθαι ἐκ τῆς νέας, ὡς Παῦλος φησί. ἡ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ, καὶ πάλιν. ἡ γὰρ τῆς διακονίας τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης δόξα. ἡ δὲ δόξας, τὰς ἐκκλησιαστικὰς ἀρχὰς φησιν, ἃς ἐβλασφήμουν. ὡς ἔστι καὶ ἀπὸ τῆς πρίτης Ἰωάννου τὸν ἀγαπημένου μαθεῖν. ἐν οἷς φησὶ τὸν Διοτρεφῆ, λόγοις πονηροῖς καταφλυαρεῖν αὐτῶν. ὅτι δὲ βλασφημίας ἐμνήσθη, σωφρονίζων καὶ αὐτοὺς μόνους, ἀλλὰ καὶ πάντας ἀνθρώπους καθαρὰς ἔχειν τὰς γλώσσας τοῦ μισεῖν καὶ κακῶν, καὶ μὴ δὲ καὶ τὸν ἀξίων βλασφημίας τοῦτο κεχρῆσθαι, φησίν. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος καὶ ἐξῆς, τί τοίνυν λέγων; ὡς οὖν μὲν προχείρως καὶ ἀκρατῶς κέχρηται τῇ πάντων τὴν βλασφημίᾳ. ὃ χρὴ δὲ τοῦτο, ὅπου γε δὴ τοὺς ἀξίους βλασφημίας, δικαίων βλασφημεῖν. ὡς δῆλον ἀπὸ τοῦ ἀρχαγγέλου Μιχαήλ. πρὸν γὰρ αὐτῷ κρίνομένῳ μετὰ τοῦ Διαβόλου περὶ τοῦ Μωϋσέως σώματος βλασφημῆσαι τὸν Διάβολον δικαίως ἀναίδειαν αὐτοῦ, τοίνυν οὐκ ἐτόλμησεν, ἢ μὴ τὸ, ἐπιτιμήσαισοι μόνος ὁ Θεὸς Διάβολε, ἐπήνεγκεν αὐτῷ. ἡ δὲ ὁ ἀρχάγγελος οὐδὲ ἀνδρὸς βλασφημουμένου ἤνεγκε, πῶς οὖν τὸν πάντων Θεὸν βλασφημεῖν ὅλως τολμῶσι; ΚΑΙ ΑΛΛΩΣ ΓΡΑΦΕΤΑΙ. ἡ δὲ ὁ ἀρχάγγελος οὗτος, οὐκ ἦν Δίκη ἀνδρὸς ἀδελφοῦ καὶ ὁμογενοῦς βλασφημίας συμβολέσιμον. καὶ ταῦτα μὲν περὶ τούτων. ἐν δὲ περὶ τοῦ Μωυσέως σώματος κρίσις ἐστὶν αὕτη. λέγεται τὸν Μιχαὴλ τὸν ἀρχάγγελον τὴν τοῦ Μωυσέως ταφὴν διατεθεικέναι. τοῦ γὰρ Διαβόλου τοίνυν μὴ καταδεχομένου, ἀλλ' ὑπερόντος ἔγκλημα διὰ τὸν τοῦ Αἰγυπτίου φόνον, ὡς αὐτοῦ ὄντος τοῦ Μωϋσέως, ἐδὲ διὰ τοίνυν μὴ συγχωρεῖσθαι αὐτῷ τυχεῖν τῆς τοιούτου ταφῆς. ἢ καὶ διὰ τοῦτο τὸ πᾶσιν ἀνθρώποις ἐπιφειλόμενον μετὰ τὸν αὐτοῦ τὸ σώματος ἔξοδον λογοθέσιον σημαίνειν βουλόμενος ὁ λόγος, καὶ ὅτι αὐτοῖς εἶναι ὁ πάλαιος καὶ κενὴς διαθήκης Θεὸς, τοίνυν προφέρει νῦν. δεῖξαι γὰρ βουλόμενος ὁ Θεὸς τοῖς τότε παχύτερον διακειμένοις ἀνθρώποις διὰ τοῦ φανεροῦ τὸ ἀφανές, ὅτι μετὰ τὸν ἐνθένδε ἀπαλλαγὴν τὰς ἡμετέρας ψυχὰς ἀνθίσταται ὁ Διάβολος μετὰ ὧν ἑαυτοῦ πονηρῶν Δαιμόνων, ἐκκόψαι βουλόμενος τὴν τοῦ ἄνω πρεῖαν αὐτῶν, (καὶ ὁ μὲν ἀνθίσταται, οἱ δὲ ἅγιοι θεοῦ ἄγγελοι συμμαχοῦσιν αὐταῖς, ὡς καὶ ὁ μακάριος Ἀντώνιος πεθέαται,) ταῦτα τότε προχθῆναι σωτηρίου. πλὴν τὸν Μιχαὴλ τότε, τὸν Διάβολον ἀπόσ-

βεσαι μὲν, μὴ μέντοι ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ κυρίῳ ὧν ὅλων πᾶσα χωρῆσαι τὴν κρίσιν, καὶ εἰπεῖν. ἐπιτιμήσαισοι ὁ Θεὸς Διάβολε. Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται. Ὁ μὲν Μιχαὴλ φησιν οὕτως, οὐδὲ καθ' ἁνδρὸς, εἴτοι τὸ Μωυσέως ἐνέσχετο βλασφημίας. οὗτοι δὲ περὶ δογμάτων ἃ οὐκ οἴδασι, βλασφήμους συντιθέασι λόγους, ὅσα δὲ φυσικὴ ὁρμὴ ἀδιακρίτως, ὡς τὰ ἄλογα, ἐπίστανται ζῶα, ταῦτα μεταδιώκουσιν, ὡς ἴσασοι θηλυμανεῖς ἢ χοῖροι. Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κεφ. β'.
Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. Ὁδῷ τοῦ Κάϊν. φυτέσι δὲ τῆς ἀδελφοποιίας. ἐπὶ γὰρ καὶ αὐτοὶ φιλοῦντα διδάσκοντες τοὺς ἀδελφοὺς, εἴτοι τις ὁμογενὴς αὐτοῖς ἀποκτιννύουσιν αὐτοὺς τὰς πονηρὰς διδασκαλίας. ἢ καὶ ἀπερμοφαγοῦντες, τὸν δυνάμει ἀδελφὸν ἀπολλύουσιν. ὃν καὶ τοῦ ἀπέρματος τελεσφορίαν ἐνέγκαν αὐτοῖς βίου. τῇ δὲ τοῦ Βαλαὰμ ὁδῷ, ὅτι κέρδοισ χάριν καὶ αὐτοὶ ὡς ἐκεῖνος ταῦτα πράσσουσι. τῇ δὲ τοῦ Κορὲ, ὅτι καὶ αὐτοὶ ὡς ἐκεῖνος διδασκαλικὸν ἀξίωμα ἀναξίοι ὄντες ἁρπασαν. Οὗτοι εἰσὶν οἱ ταῖς ἀγάπαις ὑμῶν, ἀπλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα δὶς ἀποθανόντα καὶ ἐκριζωθέντα, κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. προεφήτευε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων. ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων. Ἦσαν δέ τι καὶ τὸν χρόνον ἐκεῖνον τοῖς ἐκκλησίαις γινόμενα πράγματα, ὡς καὶ Παῦλός φησιν ἐν τῇ πρὸς Κορινθίους. αἷς καὶ ἀγάπας ἐκάλουν. ἐν ταύταις φησὶ συνέρχονται, ἃ δὲ χρείαν τοῖς οὐ ταύταις γινομένοις, ἀλλ' ἵνα καιρὸν εὕρωσι, ψυχὰς ἀσυνειδήτους δελεάζειν, ὡς καὶ Πέτρος φησὶν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ. τὸ δὲ, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες, εἴτοι πρὸς τὸ ἀπλῶδες σωτηρίου, ἵνα ᾖ τὸ νόμιμον οὗτος. ἀπλάδες ἀφόβως συνευωχούμενοι, οὐτέσι μηδένα φόβον τοῖς σωδεήτοις προσδοκῶσιν, ἀβραφνὶς ὥσπερ ἀπλάδες ἐπάγοντες αὐτοῖς τὸν ὄλεθρον τῶν ψυχῶν. ἢ πρὸς τὸ ποιμαίνοντες, τὸ, ἀφόβως ἑαυτοὺς, σωτάποντες. ἃ δεδιότες φησὶ τὸ αὐτὸ τοῦ μὴ ἐπίστασθαι ποιμαίνειν κρῖμα, ἀλλὰ τυφλοὶ τυφλοὺς ὁδηγοῦντες, καὶ ἃς βόθυνον, τὸ τοῦ κυρίου ἐρεῖν, μὴ τῶν ποιμαινομένων ἐμπίπτοντες. ἀπλάσι δὲ αὐτοὺς παρεικάζει, καὶ ἀνύδροις νεφέλαις, καὶ δένδροις φθινοπωρινοῖς, καὶ κύμασιν ἀγρίοις, καὶ ἄφροις πλανήταις. ἃ γὰρ ἐκείνοις ὑπάρχει καὶ φύσιν, ταῦτα τούτοις καὶ προαίρεσιν. αὐτὲ γὰρ ἀπλάδες τοῖς πλέουσιν ὀλέθριοι, ἀπροσδόκητος ἐπιγινόμεναι, ὡς καὶ αὐτοὶ τοῖς σωδεήτοις ἀνέλπιστον κακὸν ἐπιφύονται. αὐτὲ ἄνυδροι νεφέλαι ὑπὸ ἀνέμων ἐλαυνόμεναι, οἷς οὐ τοῖς ἐστενε χθὼν, οὐκ ἀναψύχοις τῷ ὁμβρῳ, (οὐ γὰρ ἔχουσιν,) ἀλλὰ ζόφον αὐτοῖς ἀπεργάζονται. ὡσαύτως καὶ οὗτοι, οὐ λόγῳ σωτηριώδει τοῖς ψυχὰς ἀρδουσιν ὧν τυγχανόντων, ἀλλὰ ζοφοῦσι τὰς μιαρωτάτας αὐτῶν ἐπιθυμίαις, ἐλαυνόμενοι τοῖς ὧν δαιμόνων πονηροῖς ἐπιπνεύμασιν. ἀλλὰ καὶ τοῖ

καὶ τὰ φθινοπωρινὰ δένδρα δὶς ἀποθνήσκοντα ζῶντε τῇ τῶν καρπῶν αὐξήσει ἀπροβολῇ, ἐ-
φ' ᾗ τὴν ὧν φύλλων ἀπορρέοῃ, (ξηρὰ γὰρ δοκεῖ ζῶντε τὰ καὶ λλους ἐστερημένα, τῆς ἀπό
τε τῶν καρπῶν ἀγλαΐας, καὶ τῆς ὧν φύλλων ἀνθηρᾶς εὐωρειωσείας,) αὐτοῖς τι κα-
τάλληλον πάσχει. διὸ γὰρ καὶ οὗτοι ἀποθνήσκουσι, γνεσαυῶν καρπὸν ἀποβαλ-
λόμενοι διὰ τῆς ἀσεβομοφαγίας, καὶ τῶν αὐτῶν τῆς σώφρονος πολιτείας εὐκοσμίαν ἀ-
φαιρούμενοι. διὸ ἐκείνοις ὠταὶ τῶν πρασείστου τ κυρίου τῆς ἐκκλησίας. ἐ ἐξω
ρισθούμενοι ζῶντε, συλλέγονται τῷ αἰωνίῳ πυεὶ. ποίαν γὰρ ἔχει στασιν ἢ ἰξίαν, ὁ
διὰ τὸν τῆς ἡδονῆς συρφετὸν ὑπὲρ πάντων βαλλόμενος; ἀστέρες δὲ πλανῆται χρημα-
τίζουσι καὶ αὐτοί, ὄχ ὅτι τῷ τῆς πίστεως ἡμῶν στερεώματι μεταπρέποντες, τὸν τῆς
δικαιοζωνίς ἥλιον Χεισὸν ἐ χοισι δ' αὐτῶν περιχόμενον, καὶ ζ ὧν ἀρετῶν ὥρας ἀπ
τελοῦντα, καὶ ξωογονοῦντα τοισὶ καζ' αὐτὰς τεταγμένους πιστοὺς, ἀλλ' ὅτι δο-
κοῦντες ἡς ἄγκυλον φωτὸς μεταχηματίζεσθαι, ὡς ὁ προκαθάρχων αὐτῶν πονηρὸς
Δαίμων, ἀπεναντίας μόνον ὧν τῶ κυρίου φέροντα δογμάτων, οἷς καὶ ζοφοῦσι τοισὶ
προσπελάζοντας, καὶ ζόφον τὸν αἰώνιον ἑαυτοῖς ἐκτρείζοντα. ἀμὰ καὶ κύμασιν ἀ-
γρίοις πλοκαθέντες, τῶν πρὸς αὐτὰ ὁμοιότητα γκ ἀναίνονται. μανικῶς γὰρ καὶ αὐ-
τοὶ καὶ ἀκατασχέτως ταῖς καζ' τὸ θεοῦ βλασφημίαις, ἐλαυνομένοι ὑπὸ ὧν τῆς πο
νηρίας πνευμάτων, ἐπαφείζουσι ζὰ ἑαυτῶν αἰσχύας, ἧς ἀφρὸν ἀπτελευτῶντες
μετὰ τὸν κόσμον τῆς βλασφημίας, ἐκ τῆς τοῦ βίου αὐτῶν ἀνυποστάτου καὶ ἐνυδα-
λύτου αἰσχρότητος. τοιοῦτος γὰρ ὁ πρὸς ὃν πλοκάθησαν ἀφρὸς ὧν κυμάτων. ταῦτα
ἡμῶν, φέρει καὶ τὸν Ενωχ τῶν ἀπεκρυμμένων αὐτοῖς προφητεύοντα ὑπὸ τοῦ θεοῦ κα-
κοσιν ἐν τῇ ἐσχάτῃ διλονότι τοῦ θεοῦ δικαιοκρισίᾳ. Καὶ ἐξελέγξαι πάντας
τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων ὧν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ
πάντων ὧν σκληρῶν, ὧν ἐλάλησαν καθ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. οὗτοί εἰσι γογγυ
σταί, μεμψίμοιροι, καζ' τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι. καὶ τὸ στόμα αὐτῶν λα-
λεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν. ὑμεῖς δὲ ἀγαπητοί μνή-
σθητε ὧν ῥημάτων ὧν προειρημένων ὑπὸ ὧν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ιησοῦ Χει
στοῦ, ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐπ' ἐσχάτου χρόνου ἔσονται ἐμπαῖκται, καζ' τὰς ἑαυτῶν
ἐπιθυμίας πορευόμενοι ὧν ἀσεβειῶν. Ασεβὴς ἁμαρτωλοῦ διαφέρει, καὶ τὸ
μὲν ἀσεβὲς πρὸς θεὸν ἔχει τὸ πλημμελές, ὁ δὲ ἁμαρτωλὸς πρὸς τὸ καζ' τὸν βίον
πρακτόμενα, τοῦ τῆς δικαιοζωνίς σκοποῦ τὸ ἀστόχημα. μετὰ δὲ ταῦτα ἀφέμενος
τούτων ὧν ἀσελγῶν ὁμοιώματος, ἤδη ἐ ἧς αὐτὸ χρημα τῆς καθ' αὐτῶν ἐνδείξεως χω
ρεῖ, γογγυσὰς αὐτοὺς καὶ μεμψιμοίρους καλῶν. ἔστι δὲ γογγυσὴς μὲν, ὁ οὕτω ὁδύ
ρεται καὶ ἀπαρρησιάστως τῷ δυσαρεστουμένῳ μεμφόμενος. μεμψίμοιρος δὲ ὁ πάν
τα καὶ ἀεὶ σκώπτων ἐπιτηδεύων. γογγυσὰὶ δὲ καὶ μεμψίμοιροι οὗτοι οἱ μαροίφη-
σιν. ἃ γὰρ ἐχουσι παρρησίαν τὴν διδασκαλίας ἑαυτῶν δ' αἰσχρότητα χρήσασθαι. οὐ
γὰρ ἀκίνδυνον δημοσίευμα τὸ μετὰ ἀσεβείας καὶ βλασφημίας ἀσέλγειαν. μεμ
ψίμοιροι δὲ, ὡς τὰ ὧν ἄλλων ἐ τὰ τῆς ἀληθείας διαβάλλοντες, ἵνα τὰ οἰκεῖα κα
κὰ δ' ἤθεν

κὰ δ' ἤθεν καὶ ἀσελγήματα ἐπίσωσιν. ὅπερ δὲ περὶ τὸ Βαλαὰμ εἴρηκεν, ὅτι μισθοῦ ἐ
οὗτοι ὡς ἐκεῖνος ἐξεχύθησαν, νῦν σαφέστερόν φησιν, ὅτι πρόσωπα θαυμάζουσιν ὠ-
φελείας χάριν, θαυμάζειν μὲν, τὸ κολακικῶς αὐτοὺς χρῆσθαι τοῖς ὀνπελῆ λέγων,
ὠφέλημα δὲ τὸ κέρδος. μνήσθητε ὧν ῥημάτων ὧν προειρημένων ὑπὸ ὧν ἀποστόλων.
ὧν ὑπὸ Πέτρου ἐν τῇ δευτέρᾳ ἐπιστολῇ, καὶ ὑπὸ Παύλου ἐν πάσῃ σχεδὸν ἐπιστο-
λῇ. ἐκ τούτου δὲ δῆλον, ὅτι ἔσχατον μὲζ τὸ πρελθεῖν τοὺς ἀποστόλους, ἔγραφε
ταῦτα. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, πνεῦμα μὴ ἔχοντες. ὑμεῖς δὲ Κεφ. δ'.
ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ
προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ
κυρίου ἡμῶν Ιησοῦ Χεισοῦ εἰς ζωὴν αἰώνιον. καὶ οὓς μὲν ἐλεᾶτε διακρινόμενοι, οὓς
δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπι
λωμένον χιτῶνα. τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατε
νώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν,
δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. ἀ-
μήν. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες. ἰδοὺ ἕτερον ἔγκλημα ὧν μιαρωτάτων τού-
των ἀνθρώπων. ἃ γὰρ αὐτοὶ μόνοι φησὶν ἀπόλλυνται, ἀλλὰ καὶ τοὺς τῆς Εκκλη
σίας ἀποσυλῶσι τροφίμους, (τοῦτο γὰρ τὸ, ἀποδιορίζοντες, βούλεται αὐτῷ σημαί
νειν,) τοιούτους ἐξω ὧν ἐκκλησιαστικῶν ὅρων ποιοῦντες, ἤτοι ὧν τῆς πίστεως, ἢ ἐ αὐ
τοῦ τοῦ ἱεροῦ τῆς Εκκλησίας σηνώματος. ἀσπίλαια γὰρ λήσων ζ ἑαυτῶν συναγω-
γαὶ ἀποδιορίζαντες, ἀπὸ μὲν τῆς Εκκλησίας ἀπάγουσιν, ἑαυτοῖς δὲ προσάγουσι.
ποιοῦσι δὲ τοῦτο, ψυχικοὶ ἀνθρωποι ὄντες, τοιοῦτοι καζ' τὸν τοῦ κόσμου συμπλοκο-
ρῶν ζῶντες. ἐπρμῶν γὰρ ἤδη, ὅτι ψυχὴν πολλάκις καὶ τὸν ζωὴν ἔποθε καλεῖν τὴ θεία
γραφὴ, ὡς τὸν Ιῶβ. πάντα ὅσα ἔχει ἄνθρωπος δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, ἔφη τις
τῆς ζωῆς αὐτοῦ. ὅτι καὶ Γαῶλός φησι ψυχικοὺς ὄντας, μὴ δύνασθαι δέχεσθαι τὰ
τοῦ πνεύματος τοῦ θεοῦ. ψυχικοὶ γίνω ὄντες, καὶ ψυχικὴ χρῶνται διδασκαλίᾳ,
ποιεῖ ἧς ἔφηται. ἁγκέστιν αὕτη ἡ σοφία ἄνωθεν κὰτ' τὸ πατρὸς ζῶν φώτων καταβαί-
νουσα, ἀλλ' ἐπίγειος δαιμονιώδης, πνεῦμα μὴ ἔχουσα θεῖον λαλοῦν. ὑμεῖς δὲ ἀ-
γαπητοί. ἐκεῖνοι μὲν οὕτως φησὶν, ὑμεῖς δὲ τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποι
κοδομοῦντες, ἤτοι ἑαυτοὺς ἀνακτώμενοι τῷ πνεύματι ἁγίῳ, τουτέστι κατὰ τὸν τοῦ ἁγίου
πνεύματος διδασκαλίαν ζ ἑαυτῶν ἀποίσεις ἐν ταῖς προσευχαῖς ὑμῶν ποιούμε-
νοι. ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, τουτέστιν ἑαυτοὺς διαφυλάττετε, ἤγ
ἀπὸ τοῦ κυρίου προσδεχόμενοι ἔλεον, τὸν εἰς τὸν ἐσχάτην ἡμέραν τῆς αἰωνίου ζωῆς
βραβευόμενον ὑμῖν. κἀκείνους δὲ, ἢ μᾶλλον ἀποδίεσθαι ὑμᾶς, (τοῦτο γὰρ σημαίνει τὸ,
διακρίνεσθαι,) ἐλέγχετε, τουτέστι φανεροῦτε τοῖς πᾶσι τὸν ἀσέβειαν αὐτῶν. ἃ δὲ
πρὸς ἴασιν ἀφορῶσι, μὴ ἀπωθεῖσθε, ἀλλὰ τῷ τῆς ἀγάπης ὑμῶν ἐλέῳ προσλαμβά
νεσθε, σώζοντες ἐκ τοῦ πυρὸς. προσλαμβάνεσθε δὲ μετὰ τοῦ ἐλεεῖν
αὐτοὺς

αὐτοὺς καὶ μετὰ φόβου, πυρὶσπεσπομένοι μηδὲ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα, ὡς τὴν πρὸς τὰ μιαρὰ αὐτῶν ἔργα, μισοῦντες καὶ τὴν ἀπὸ τοῦ φόβου πεσιεσθε αὐτοὺς, ἔτι μετὰ πυρὶσπεσπομένοι μὴ πως ἡ πρόσληψις τούτων, ἀμέλλως ὑμῶν τὸ πρὸς αὐτοὺς ἠκκλημένων, λύμης ὑμῖν γένηται αἰτία, ὧν ἤδη ἐσπειγμένων κλεπτομένων ὑπ' αὐτῶν τῆς τοῦ αὐτοῦ πλάνης ἀσεβείας αὐτῶν ἀνάχυσιν. ἐυξήλωτον γὰρ ἡ κακία. ἔστω δὲ ὡς ἡ πρόσληψις αὐτῶν φησίν. σωζε μετὰ φόβου πεσιεσθε αὐτοὺς, ἔτι μετὰ πυρὶσπεσπομένοι, καὶ τῷ ἐλέῳ τῷ πρὸς αὐτοὺς σωτηρίαθω τὸ μισῶς, τὸ πρὸς τὰ μιαρὰ αὐτῶν ἔργα, μισοῦντων ὑμῶν καὶ βδελυσσομένων, καὶ τὸν ἀπὸ τῆς σαρκὸς αὐτῶν ἐσπιλωμένον, ἔτι μεμιαμμένον αὐτῶν χιτῶνα, ὡς τὴν πρὸς τὰ αὐτῶν σάρκα προσφαύσει, καὶ αὐτὸ βδελυγοῦ χρῆμα πίζοντες. ἢ προσλαμβάνοντες αὐτοὺς τῷ φόβῳ τῆς μελλούσης κολάσεως φησὶν, ἐλέουσ' ἀξίους ὁρᾶθαι, μετανοοῦντας παρασπευάζετε. πᾶσα ἁπλῶς, ἐυχὴ λοιπὸν ἐπισφραγίζει τὸν Ἰησοῦν λιών·

Τέλος τῆς Ἰούδα καθολικῆς Ἐπιστολῆς.

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ.

ΕΥΘΑΛΙΟΥ ΔΙΑΚΟΝΟΥ ΠΡΟΛΟΓΟΣ.

Ο ΑΥλος ὁ ἀπόστολος, ἑβραῖος μὲν ἐξ Ἑβραίων τὸ γένος, ἐκ φυλῆς Βενιαμίν, Φαρισαῖος δὲ τὴν αἵρεσιν, ὑφ' ὃν διδασκάλῳ τε πιστῷ τῷ Γαμαλιὴλ, τὸν Μωυσέως νόμον ἐκπεπαιδευμένος, πρὸς δὲ πύρις, τὴν τῆς Κιλικίας ὀφθαλμὸν οἰκῶν, τὴν Ταρσὸν, διώκων δὲ καὶ πρῶτον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. διὸ δὴ καὶ συμπαρὼν τῇ ἀναιρέσει Στεφάνου τοῦ πρωτομάρτυρος καὶ μάρτυρος, κοινωνός τε ἐξ ἴσου τοῦ τε τοῦ φόνου, τῶν πάντα ἱματία τῶν λιθοβολούντων αὐτὸν καταδεξάμενος φυλάττειν, ἵνα ταῖς πάντων χερσὶ χρήσηται πρὸς τὸν φόνον. καὶ πρῶτος δὲ μετὰ τῶν στασιαζόντων ἐωρᾶτο, πανταχοῦ σπουδάζων καθαιρεῖν τὰς τῆς εὐσεβείας λογάδας. πολλά τε ἐξ ἴσου καὶ μεγάλα τῶν παρ' αὐτοῦ καὶ τῆς ἐκκλησίας γινόμενα, καὶ ὀδὲν ἧσσον ὑπερβολὴν μανίας ἐλάμβανεν. ἐν τούτῳ γὰρ εὐσεβεῖν καὶ τὰ μέγιστα καθορθοῦν ἐνόμιζε, καθὼς αὐτός τε ἐν ταῖς Ἐπιστολαῖς ὁμολογεῖ, καὶ Λουκᾶς ἱστορεῖ ἐν τῇ δευτέρᾳ βίβλῳ ἑαυτοῦ. οὐ μόνον γὰρ οὗτος πάλαι καὶ τὰ πολλοὶ τῶν Ἰουδαίων ἐμίσει τε καὶ διεφέρετο τὸ τῆς ἀληθείας κήρυγμα, ἀφ' ὧν δὴ καὶ μείζονα πάντων πρὸς τοῦτο, καὶ νομίσας δικεῖσθαι τὰ μέγιστα, τῆς διδασκαλίας αὐτῶν ἀναπρεπούσης, πᾶσαν περιυμίαν καὶ σπουδὴν καθ' ὧν τῆς ἐκκλησίας ἤρμάτων ἐποιεῖτο, ὅπως ἂν αὐτοῖς ἡ τῆς ἀληθοῦς διδασκαλίας ἀρεσκήσειεν, ἢ δίκην ἀξίαν τῆς εἰς τὸν Χριστὸν πίστεως ἐξαράξειεν. κομισάμενος δὲ ὁ Παῦλος παρὰ τῶν ἱερέων καὶ διδασκάλων Ἐπιστολὰς κατ' ἐκεῖνο καιροῦ πρὸς τοὺς ἐν Δαμασκῷ Ἰουδαίους, ὥρμησε μορμύρων ὥσπερ τις χείμαρρος λάβρος, περικλύσαι δοκῶν τοὺς ἐν Δαμασκῷ μαθητάς, καὶ εἰς τὸ τῆς ἀπωλείας αὐτοὺς βάραθρον ἐκπέμψειν. γνοὺς δὲ ὁ κύριος ὅτι ἄδικον μανίαν, οὐ δικαίᾳ δ' ἦτεν προαιρέσει ἐκέκτητο, οὐ μόνῃ τῇ ὁδῷ ἐπιφανεὶς, ἀπεστέρησε μὲν αὐτὸν τῆς ὄψεως τῷ μεγέθει τοῦ φωτός. καὶ τοσοῦτον δὲ μέτεσιν, ὥστε τὸν πάλαι οὐδὲν ὅτι ὧν δεινῶν καθ' τῆς Ἐκκλησίας οὐκ ἐπινοοῦντα, ἐς πάντας τοὺς μαθητὰς ἀπλέσθαι ἀθρόως προσδοκῶντα, αὐτίκα δὴ τὸν καὶ πρᾶγμα, ἀγαπητὸν ἑαυτῷ πιστὸν γενήσεσθαι. ἱκέτης γὰρ εὐθὺς τοῦ θεοῦ, ὁ πρέμβης γίνεται, καὶ παυτίκα τὸ ζώνταγμα τῆς μανίας ἀπορρίψαμενος, ἐς προσβείαν ἐχώρει, καὶ τὸν εἰς Χριστὸν εὐσέβειαν ὁμολογεῖ. καὶ πέμπεται πρὸς Ἀνανίαν τινὰ μαθητὴν ἐν Δαμασκῷ. ἰδὼν δὲ ὁ τῆς ἀληθείας ἐξέτασις θεὸς, σωφρονισθέντα τὸν ἄνδρα, καὶ βελτίω ἐκ κακοῦ γεγονότα, οὐχ ἕτερος αὐτὸν ἢ οὕτως ἀπαλλαγήσεσθαι τῆς τιμωρίας ἔφη. βαπτίζεται γοῦν ἀπελθών, καὶ ὧν ἀπορρήτων μυστηρίων γίνεται κοινωνὸς, καὶ σύμμαχος ἀξιόχρεως τοῦ κηρύγματος. καὶ καινὸν κήρυγμα ἐμ

» πιότητος τῆς ἐλαίας ἐγένου, μὴ κατακαυχῶ τῶν κλάδων. Ὀλιγότητος
σημαντικὸν τέθηκε λέξιν παραμυθούμενος αὐτοὺς, ἐπεὶ ἄνω δηλοῖ, ὅτι ὀλίγοι ἐσώθησαν. ὡς ὅταν λέγῃ. τὸ κατάλειμμα σωθήσεται. ἐξεκλάσθησαν τῇ ἀπιστίᾳ. σὺ δὲ ἀγριέλαιος ὤν. ὅσον δείκνυσιν ἐυτελεῖς τοὺς ἐξ ἐθνῶν, ποσοῦτον πλέον παρακινίζῃ αὐτοῖς. ἢ τῶν δὲ ἐνεκεντρίσθης, δείκνυσιν ἐν τῇ διαφερούσῃ αὐτοῖς ῥίζῃ ἐφεστηκότας τοὺς ἐξ ἐθνῶν. ἆρα γὰρ παρακίζοντες τὰ ῥήματα; καὶ συγκοινωνοὺς τῆς ῥίζης. πῦρ παλαιστικὴ Ἰουδαίων, τὸ τοὺς κατὰ μηδὲν διαφέροντας, κοινωνοὺς τῆς διαφερούσης αὐτοῖς χλιάδας ῥίζης, αὐτοῖς δὲ ἐξωθεῖσθαι. μὴ κατακαυχῶ τῶν κλάδων. δείκνυσι πάλιν ἀγῶνα ἐυτέλειαν τῶν Ἰουδαίων. γὰρ εἶπε κατακαυχῶ, ἀλλὰ κατακαυχῶ. ὅπερ

ἀπ' ὧν χαμαὶ κέκλωνται. εἶτα καὶ παραδάκνει αὐτούς, δεικνὺς καὶ χάσεως ἄξια
συμβεβηκέναι τοῖς ἔθνεσιν ἐκπίπτοντας πίστεως, ἣ καὶ μὴ προσήκει καυχᾶσθαι, φησίν.

» Εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλὰ ἡ ῥίζα σέ.

Καὶ τί τὸν πρὸς τοὺς ἐκκλασθέντας κλάδους; οὐδέν. ἡ μὲν γὰρ τῆς ῥίζης κατε-
καυχώμην, εἶχε λόγον τινά. ἡ δὲ τὴν ῥίζαν ὡς ἄξιαν προσκυνῶ, τί πρὸς τοὺς ἐκπε-
σόντας κλάδους ἡ βαστάζομαι ὑπὸ τῆς ῥίζης; ἀλλὰ βούλεται σπουδὴν αὐτοῖς ὑφευρεῖν
παραμυθίας, ἵνα μὴ τὴν προϊστοτέρας λύσωσι καταπροθῶσιν, ἀλλ' ἀναπήψωσιν ὡς ὑπολε-
» λειμμένης σωτηρίας. Ἐρεῖς οὖν ὅτι ἐξεκλάσθησαν κλάδοι ἵνα ἐγὼ ἐγκεντρισθῶ;
» καλῶς. τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει ἀλλὰ φοβοῦ.
» εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσηται.

Ἐσχημάτισται ὁ λόγος ὡς τῶν ἐθνῶν λεγόντων, καὶ διατί μὴ καυχήσομαι, τοιού-
των μοι, φησίν, ὑπαρξάντων χρηστῶν; οὔτοι ἐξεκλάσθησαν, καὶ ἐγὼ ἐγκεντρισθῶ, καὶ
κληρονόμος γέγονα τῆς τῶν πατέρων αὐτῶν δόξης, καὶ τῶν ἐκείνοις δοθησομένων ἐσαγ-
γελιῶν ὀξένος ἐγώ καὶ κατ' οὐδὲν προσηκόντως ἐπαίρομαι. ἐκ δὲ τοῦ ἁπλοῦν, καλ-
λῶς, σωφρονεῖ τοῖς ἔθνεσιν, ὡς ἀληθῆ φρονήσασιν. τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν. ὅρα
τὸ σοφὸν τοῦ ἀποστόλου, ὡς τῷ δοκεῖν τὸν ὑπὲρ Ἰουδαίων πρεσβεύεσθαι λόγον, πολέου
αὐτοὺς ἐπιτρίβει καὶ καθυπόπτους. σὺ δὲ τῇ ἀπιστίᾳ ἕστηκας. τὴν αἰτίαν τῆς τε
ἐκείνων ἀποβολῆς καὶ τῆς ἡμῶν προσλήψεως, τὴν εἰς Χριστὸν λέγει πίστιν. εἰ γὰρ
ὁ θεὸς τῶν κατὰ φύσιν, κλάδων. θέλει αὐτῶν ἐκτραγωδῆσαι τὴν συμφοράν,
ἐνταῦθα ἐπιμήσεως τῶν ἐθνῶν. μήπως οὐδὲ σοῦ φείσηται. περιαιρεῖ τὸ λόγου
» τὸ φορτικὸν τῇ ἀμφιβολίᾳ. Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν
» θεοῦ. ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμεί-
» νῃς τῇ χρηστότητι. ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. Ἐπὶ τὸν θεὸν ἄγει τὸ πρᾶγμα,
καὶ τὴν αὐτοῦ χάριν. οὐδὲ γὰρ λέγει, ἴδε πόσον ἔσχες πόνον καὶ κατορθώματα,
ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι, ἐὰν ἄξια πράξῃς τῆς τοῦ θεοῦ φιλανθρωπίας. οὐ
γὰρ πίστεώς σοι δεῖ μόνης, φησίν. ἀποτομίαν δὲ θεοῦ, τὸ μὴ φείσασθαι αὐτῶν, διὰ
τὸ ἀναξίους αὐτοὺς εὑρηκέναι τῆς τῶν πατέρων ἀρετῆς. ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.
οὔτε γὰρ σοὶ τὰ ἀγαθὰ, οὔτε ἐκείνοις τὰ καινὰ ἀμεταβλητα.

» Καὶ ἐκεῖνοι δὲ ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. δυνατὸς γὰρ ὁ
» θεὸς ἐστὶ πάλιν ἐγκεντρίσαι αὐτούς. Οὐ γὰρ ὁ θεὸς αὐτοὺς ἀπέκοψεν,
ἀλλ' αὐτοὶ ἑαυτούς. δυνατὸς γάρ ὁ θεὸς ἐστί. τὸ πιθανὸν τῷ λόγῳ ἐκπίπτει τοῦ
θεοῦ δυνάμως παριστῶντος, δυνάται ὁ θεός.

» Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς
» καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

Καὶ λογισμὸν ἀποδίδωσι τοῦ δυνάσθαι αὐτοὺς θελήσαντας ἐγκεντρισθῆναι,
ἣ γὰρ, φησι, τὸ παρὰ φύσιν οἱ πίστις ἐποίησε, πόσῳ μᾶλλον τὸ κατὰ φύσιν; ἐγκεντρι-
σθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. ἵνα μήτις πλέον τι τὸν Ἰουδαῖον ἔχειν νομίσῃ ἐν τῷ ἀκούειν
περὶ τῶν ἐθνικῶν παρὰ φύσιν, καὶ ἐνεκεντρίσθης, πίστει καὶ περὶ τῶν Ἰουδαίων τὸ,
ἐγκεντρισθῶσιν,

ἐγκεντρισθῶσιν, ἵνα ἰσοτιμίαν δείξῃ, καὶ ὅτι χάριν αὐτοῖς πλέον ἐκτὸς εἶναι ἐκτῆς
καλλιελαίου, ἃ παρὰ δικαίωσις καὶ αὐτοῖς τὸ ἐγκεντρισθῆναι. ὅταν δὲ ἀκούῃς τοῦ
Παύλου τὸ κατὰ φύσιν λέγοντος, τὸ ἀκόλουθον καὶ τὸ ἀκόλουθον. οἷον ἀκόλουθον τὸ τέκνον
τοῦ ἁγίου Ἀβραὰμ, ἅγιον εἶναι, ὥσπερ οὖν παρὰ φύσιν, ἀντὶ τοῦ ἀκόλουθον καὶ ἀνακόλου
θον, τὸ τέκνον τοῦ μιαροῦ Ἕλληνος, ἅγιον γενέσθαι.

» Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρό-
» νιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν
» εἰσέλθῃ. καὶ οὕτως πᾶς Ἰσραὴλ σωθήσεται καθὼς γέγραπται.

Τὸ παρ' ὑμῶν, φησὶν, ἀγνοούμενον. παρ' ἑαυτοῖς φρόνιμοι. τῷ γὰρ ἀγνοεῖν, τὴν
ἰδίαν ἐκύρουν βουλιὰν. ὅτι πώρωσις. Ὡς ἂν δέ, φησι, μὴ μέγα τι καὶ θαυμαστὸν Γαλατ.
ὑπονοῆτε πορίσεως, ἀπατώμενοι ὡς ὄντες ὑπὲρ τοὺς ἄλλους ὑμεῖς σωτηρί, μά-
θετε σωτῆρος μυστήριον φεισοφόρεσαν, ἄφατον τοῦ θεοῦ τὴν πρὸς πάντας πρόνοιαν ὑπὲρ
φαῦλον τῶν Ἰσραηλιτῶν, πλὴν τῆς ἐκλέξεως. τὸ γὰρ, ἀπὸ μέρους, τοῦτο, φησί. πεπρω-
θέντων καὶ τὴν σωτηρίαν ἀπωθουμένων ἐκείνων, ἐφ' ὑμᾶς μετήνεγκε πάντα ὁ θεός. ἵνα
πρὸς πάντων μᾶλλον πάντων ὑμῶν, πάντας ἐκείνους αὖθις ἡ χάρις ἅπαντας περιλήψεται.
μαρτυρεῖ γὰρ αὐτὸ τοῦτο, καὶ τὸ τοῦ Ἡσαΐου λόγιον γραφικόν. ἀπὸ μέρους. ἐκ δὲ ὁλο-
κλήρου, φησί. καὶ γάρ ἦσαν καὶ ἐξ Ἰουδαίων ἀμύητοι πιστεύσαντες, καὶ πιστεύειν μέλ
λοντες. τὸ πλήρωμα τῶν ἐθνῶν. πλήρωμα τῶν ἐθνῶν, φησι, πάντας τοὺς ἐξ ἐθνῶν πι
στεύειν μέλλοντας. ὅταν τριγαροῦν πάντες εἰσέλθωσιν εἰς τὴν πίστιν, τότε ὁ Ἰσρ
πιστεύσας σωθήσεται. Ἰσραὴλ δέ, φησι, τοὺς τοῦ Ἰουδαϊσμοῦ ἀπομυθικότας. ὅπ
θήσεις γὰρ αὐτούς, φησι, νῶτον ἐν τοῖς πορίλοις τοις, πυτέσι καταλοίποις, ἐρημάσεις
τὸ πρόβατον αὐτῶν. καὶ οὕτως πᾶς Ἰσραὴλ σωθήσεται. ἀντὶ τοῦ οἱ πλείονες. πυτέσι δὲ
ἀπροσέψει μὲν ἐξ ἁμαρτιῶν, ἐπιστρέψει δὲ πρὸς αὐτόν.

» Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ. καὶ αὕτη αὐτοῖς
» ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.

Τὸν Ἡσαΐαν πάλιν ἐπάγει βοῶντα, ὅτι ἥξει ἐκ Σιὼν ὁ σωζόμενος σῶσαι, καὶ κα-
θαρεῖσει τὰς ἁμαρτίας τῶν Ἰσραηλιτῶν. καὶ πότε ταῦτα ἔσαι; ὅταν ἀφέλωμαι τὰς
ἁμαρτίας αὐτῶν. τοῦτο ἐστὶν ἡ διαθήκη, οἷον σημεῖον, ὅταν τῆς διὰ τοῦ βαπτίσματος
ἀφέσεως καταξιώσω. ὥς τε ἐπεὶ οὐ πάντες τοῦτο ἔτυχον, (πεπώρωνται γὰρ,) ὕστερον
μέλλει γενέσθαι τοῦτο. καὶ αὕτη αὐτοῖς. ἵνα μή τις ἐξ ἡμῶν ἢ δι' ἀπιστίαν ἐκπεσόντας ἐξ Ιου
δαίων νομίσῃ τὸν γραφικὸν ἁρμόζειν, λέγει σημεῖον δι' οὗ δείκνυται, ὅτι μέλλει ἡ
πρόφητεία. ποῖον τοῦτο; ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. ἢ οὐ μήπω ἀφείλε-
το, ἀλλὰ μέλλει γραφή. ὅταν ἐπάγει. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ θεοῦ.
ὅταν ἀφέλωμαι. τότε, φησὶν, ἐκβήσεται ἡ ἐπαγγελία τοῦ θεοῦ.

» Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ
» τοὺς πατέρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ θεοῦ.

Ὅσον μὲν, φησὶν, ἥκουν ἐξ ἐθνῶν, ἐχθροί εἰσιν οἱ Ἰουδαῖοι.
πῶς; ὑμῶν γὰρ τὴν πίστιν εὐαγγελισθέντων, φιλονεικότεροι γενόμενοι, ἀπεσκίρτησαν

Φωτ. τῆς πίστεως. ἐχθροί δ' ὑμᾶς. ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι διὰ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ὡς ἀνωτέρω ἔλεγλον, ἐφ' ὅσον μὴ ἤμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω. διὰ τί, φησιν; εἰ τως παραζηλώσωμου τὴν σάρκα. ἢ γὰρ διὰ τῆς πίστεως ὧν ἐθνῶν, παραζηλοῦσι δὲ μιμοῦνται οἱ Ἰουδαῖοι, καὶ πιστοὶ γίνονται, πῶς δ' αὐτοὶς ἐχθροὶ γίνονται πάλιν τῆς πίστεως καὶ τοῦ εὐαγγελίου; ἀλλὰ πρῶτον φαμὴν ὅτι γὰρ ἔφη διὰ τῆς πίστεως ὧν ἐξ ἐθνῶν παραζηλοῦν καὶ μιμεῖσθαι τοὺς Ἰουδαίους, ἀλλὰ διὰ τὸ δοξάζεσθαι αὐτοὺς, διὰ τὸ ἐπαινεῖσθαι. ἦ γὰρ δόξα καὶ ὁ ἔπαινος ὁ ἐξ ἐθνῶν, ἀνερεθίσει αὐτοὺς εἰς ζῆλον καὶ μίμησιν παρακαλέσει. ὥστε γὰρ ἐναντία ἐστὶν ἀηλίοις τὰ ἐρημία. δεύτερον δὲ, γὰρ καὶ τὰ ἀποφασιν ἔφη, ὅτι παραζηλώσουσιν οἱ Ἰουδαῖοι, ἀηλ' ἀμφιβόλως διηάζων. εἴτως γάρ, φησι, παραζηλώσωμου τὴν σάρκα, οἷον, ἴσως, τάχα. ὥστε ἢ καὶ διὰ τῆς αὐτῶν πίστεως γὰρ δὲ διὰ τῆς δόξης καὶ τοῦ ἐπαίνου ἔλεγε παραζηλοῦν τοὺς Ἰουδαίους, γὰρ οὕτως ἐμάχετο. διὰ μὴν γὰρ τὸ ἦττον ἐχθροὶ δ' ὑμᾶς, τῶν Ἰουδαίων τὴν ἀπίστιαν λέγει, καὶ τὴν αὐτῶν, ἵ ἦν σφοδρότερον ἀπεχθάνονται τῇ πίστει. διὰ δὲ τό, εἴτως παραζηλώσωμου τὴν σάρκα, τὴν ἰδίαν ἐνδείκνυται ἀσυνδιὴν καὶ πεθυμίαν, ἵνα εἶχεν εἰς τὸ σῶσαι τοὺς ἐξ Ἰουδαίων. καὶ χωεὶς δὲ τῶν ἐρημιῶν, γὰρ οὕτως ἐμάχετο τὰ λεχθέντα, καὶ ἄμφω ἀποφαντικῶς εἶρητο. καὶ γὰρ γὰρ ἐκώλυε, τινας μὲν τῶν πεπιστευκότων ἀνερεθισθέντας τῇ πίστει τῶν ἐθνῶν, παραζηλῶσαι καὶ πιστεῦσαι, καὶ τῶν μὴ πεπιστευκότων πάλιν πολλοὺς, ἀνεχθείᾳ καὶ μίσει τῷ πρὸς τοὺς ἐξ ἐθνῶν, σκληροτέρους καὶ ἀπιθεστέρους χωέσθαι τῷ εὐαγγελικῷ κηρύγματι, ὡς ἐστὶν καὶ ἐπ' αὐτῶν ἰδεῖν τῶν πραγμάτων. οἱ μὲν γὰρ μιμούμενοι τοὺς ἐξ ἐθνῶν, προσέρχονται τῇ πίστει καὶ σώζονται, οἱ δὲ τύφις ἀνεχθαιόμενοι, σφοδρότεροι ἐχθροὶ καὶ τῆς πίστεως καθίστανται. κατὰ δὲ τὴν ἐκλογήν. καθ' ὃ δὲ τὸ ἐκλελέχθαι τοὺς πατέρας

Οἰκουμ. αὐτῶν ὑπὲρ θεοῦ, ἀγαθωτοί ἐισιν. διὰ τοὺς πατέρας. Εἶτα ἐπειδὴ ὑπερμεγέθη καστὴν ἀπίστιν, καὶ διὰ τὸ γὰρ ἐισὶν ἀγαπητοί, ἀσφαλῶς λαλῶν, φησὶ, διὰ τοὺς πατέρας. ὡς ἢ εἶπεν. ἢ καὶ αὐτοὶ διὰ τὴν ἀπίστιαν γὰρ ἀγαπητοί, διὰ μέντοι τοὺς πατέρας ἔτι ἀγαπῶνται. ὅθεν δ' ὑποπτείαν ἐκδέχονται. ἐὰν κλῆσις τοῦ θῦ. Ἡ γνωμὴ

Τοῦ αὐτοῦ. » νη, φησὶ, περὶ τὸ ἔθνος τῶν Ἰουδαίων. Ὡσπερ γὰρ δ' ὑμεῖς ποτὲ ἠπειθήσατε τῷ θῷ, » νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτως καὶ οὗτοι νῦν, ἠπείθησαν τῷ ὑμετέρῳ » ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. Δείκνυσιν ὀνταῦθα τοὺς ἐξ ἐθνῶν πρότερον κεκλημένους, εἶτα ἐπειδὴ γὰρ ὑπώκουσαν, τοὺς Ἰουδαίους ἐλεηθέντας. καὶ τὸ αὐτὸ πάλιν συμβαὶν μεταταῦτα. ἐπειδὴ γὰρ ἠθέλησαν οἱ Ἰουδαῖοι πιστεῦσαι, πάλιν ἐκλήθη τὰ ἔθνη, καὶ κληθέντα τὸ δεύτερον ἐπίστευσαν, ἀηλ' γὰρ ἐς τὴν ἐκβολὴν τῶν Ἰουδαίων τελευτᾶ, ἀηλ' ἐς τὸ καὶ αὐτοὺς ἐλεηθῶναι πάλιν. πρὸ ἠπειθήσατε. Προτρέπεται

Φωτ. τοὺς Ἰουδαίους ἐπὶ τὴν ἐς χν πίστιν διὰ τούτων, ἐπάμα χρηστὰ αὐτοῖς ἐλπίδας ὑποτείνει, καὶ πᾶσαν αἰσχύνην ἀναιρεῖ. μὴ αἰσχυνθῆς, φησι, καὶ ἠπειθήσας προσελθεῖν, μὴ δ' ἀποστῆσης ὡς βραδύτερον προσερχόμενος. τεύξῃ γὰρ ὧν προσῃ τῆς ἐλέους. καὶ γὰρ καὶ τὰ ἔθνη κληθέντα, ἠπειθηκότα πρότερον, ἀηλὰ νῦν ἐπίστευσαν, μήτε τὴν

προτέραν αἰσχυνθέντα ἀπειθείαν, μὴ δ' ὅλως τῆς βραδυτῆτος εἰς τὴν σωτηρίαν παρεμποδισθέντα. μὴ δ' αὐτὸς γίνου ὦ Ἰουδαῖε, μήτ' αἰσχυνθῆς, μήτε ἀπειθήσῃς. ἀλλὰ πρόσελθε προθύμως τῇ πίστει, καὶ πάντως ἐλεηθήσῃ. ἢ οἷν προτροπῆς καὶ παραινέσεως τὸν ἐπέχει τὰ ἐρημία, ἢ καὶ προφητείας, πιστούμενα τὸ μέλλον, ἀπὸ τῆς ὧν ἐκβεβηκότων παραβάσεως καὶ μαρτυρίας. τὸ δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, καὶ ἠπειθήσαι τῷ ὑμετέρῳ ἐλέει, φησὶν, γὰρ ὅτι διὰ τὴν ἀπείθειαν ὧν Ἰουδαίων αἰτία γέγονε τὸ ἐλεηθῆναι τὰ ἔθνη, γὰρ δ' ὅτι τὸ ἔλεος ὧν ἐθνῶν, αἴτιον γέγονε τῆς Ἰουδαίων ἀπειθείας, ἀηλὰ ταῦτα φησὶ δεικνὺς καὶ διδάσκων, ὅτι ὁ θεὸς γὰρ ἔστε διέλιπε τὸ αὐτὸ πρῶν, καὶ τὸ ἔλεος αὐτὸ πηγάζων. καὶ γὰρ πάλαι μὲν ἠπείθει τὰ ἔθνη, νῦν δὲ ἀπειθοῦσιν Ἰουδαῖοι, αὐτὸς ὅμως ἐνεργεῖ καὶ ἐλεῶν γὰρ διαλιμπάνει. καὶ δῆλον ἐκτὸς καὶ ὅτε ἐλεεῖσθαι τοὺς Ἰουδαίους ἀπειθοῦντων ὧν ἐθνῶν, καὶ νῦν ἐλεεῖσθαι τὰ ἔθνη, ὧν Ἰουδαίων ἀπειθούντων. καὶ τὸ ἐπ σαφέστερον ὅτι καὶ ἐπὶ τοὺς Ἰουδαίους καὶ ἠπείθησαν ἐλεήσει. ἅμα δὲ καὶ ὧν λέξις ἐπὶ πρὸς τοὺς Ἰουδαίους, ὅτι καὶ αὐτοί, φησιν, βλέψητε τῆς πίστεως, μὴ νομίσητε ὅτι ἐλαττόν πίσχυν ἡ πίστις. ὥσπερ γὰρ πάλαι ὧν ἐθνῶν βλεπόντων, γὰρ εἶχον ἐλαττον τὰ τῆς εἰς θεὸν θεραπείας, οὕτως καὶ νῦν, ὑμῶν ἀπορριπτομένων τῆς πίστεως, γὰρ ἐλαττον ἔσχε τὰ τῆς πίστεως βλέπ. ἐσχημάτισε δὲ πρὸς τοὺς ἐξ ἐθνῶν τὰ ἐρημία ἀνεπιχθέστερον τὸν πρὸς Ἰουδαίους ἐλεγχον βουλόμενος προιεῖσθαι. θαυμαστὸν δὲ, εἰ πρὸς τῇ ἐξ ἐθνῶν ἐκλαβεῖν ἐρῆσθαι ταῦτα, ὥστε μὴ μεγαλοφρονεῖν ὅτι ἐπίστευσαν. ἐλέει γὰρ καὶ ὑμεῖς πεπιστεύκατε, καὶ οἱ ἀπειθήσαντες, φησὶν, ἐλεηθήσονται καὶ

» πιστεύσουσιν. Συνέκλεισε γὰρ ὁ θεὸς, τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς

» πάντας ἐλεήσῃ. Τουτέστιν ἤλεγξεν ἅπαντας ἀπειθοῦντας. ΚΑΙ Φωτ.

ΑΛΛΩΣ. Τὸ συνέκλεισεν ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, δύο δύναται δηλοῦν. ἢ ὅτι ἀπειθεῖς ἐποίησεν, ὅπερ γὰρ ἔκεῖνα χώραν, ἢ ὅτι ἀπειθεῖς ἀπέδειξεν, ὅπερ ἐστὶ καὶ ἀληθές. διὰ γὰρ τῆς πολλῆς αὐτοῦ προνοίας καὶ ἐνεργείας ἐπὶ τὸ ἀπειθεῖν καὶ ἀγνωμονεῖν διαπαντὸς εἰς ἀνθρώπους ἐπέδειξατο, μᾶλλον αὐτῶν τὴν ἀπείθειαν καὶ ἀγνωμοσύνην, ἐσκληρύνετό τε καὶ ἐθεριμβύετο. δῆλον δὲ ὅτι ὧν μὴ πεπιστευκότων εἰς αὐτὸν, εἴτε ἐξ Ἰουδαίων, εἴτε ἐξ ἐθνῶν εἶεν. διὸ δὲ τὸ πάντας, φησὶ, τοὺς ἐκ ὧν δύο λαῶν ἀπιστήσαντας ἐπελαμβάνων. πῶς συνέκλεισεν ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν; ἐνεργειῶν καὶ προνοούμενος καὶ οἰκτείρων. τί οὖν; ἀπειθεῖς γεγονότες γὰρ δώσουσι δίκας; καὶ τί τὸν πρὸς τὸν ἐνεργέτην; ἐκεῖνος μὲν γὰρ ἵνα πάντας ἐλεήσῃ, πάντως προὐνόει καὶ ἐνεργέτει. ἢ δὲ ἠπείθησαν ἐκεῖνοι, γὰρ ἦν τὸν πρὸς τὸν ἐνεργέτην. ὅμως οὖν καὶ οὕτως ἐπιτρέφοντας ἐλεήσει καὶ γὰρ ἀπροφασίστους. ἢ οὕτως. ἠπείθησαν τὰ ἔθνη πάλαι, ἠπείθησαν νῦν οἱ Ἰουδαῖοι, καίτοι ἐδὴ καὶ κεῖνοις τηλικούτοις τέρασι καὶ σημείοις ἐνεργουμένοις τοὺς Ἰουδαίους ὁρῶντας, μὴ ἀπειθῆσαι, καὶ τοὺς Ἰουδαίους νῦν, μείζονα βλέποντας θαυματουργούμενα, πρὸ ὧν ἐθνῶν τῇ πίστει προσελθεῖν. ἀηλ' οὔτε τὰ ἔθνη τότε, οὔτε νῦν οἱ Ἰουδαῖοι τὸ ἀμείνονος σφίσιν ἑλοντο. ὡς τε δῆλον, ὅτι καὶ τότε οἱ Ἰουδαῖοι, καὶ νῦν τὰ ἔθνη, ἐλέει θεοῦ

καὶ φιλανθρωπίᾳ, καὶ πρὸς τὸν πίστιν ἐχειραγωγήθησαν, καὶ τῆς σωτηρίας ἔτυχον. μᾶλλον οὕτως. (ἐπειδὴ εἶπεν, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι, ἵστι Ιουδαίους διαλῶν.) ἵνα τοὺς πάντας ἐλεήσῃ. ἵνα, φησὶ, τοὺς ἑτέρους διὰ τῆς ὧν ἑτέρων σώσῃ φιλονεικίας. πρότερον γὰρ ἀπειθησάντων ὧν ἐθνικῶν, ἔσωσεν, ὡς εἴρηται, τοὺς Ἑβραίους. πάλιν ἐπὶ Χειροῦ ἀπειθησάντων ὧν Ιουδαίων, ἐφρόντισαν οἱ ἐθνικοί. σωθέντων ὧν ἐθνικῶν παραζηλοῦντες Ιουδαῖοι, σώζονται καὶ αὐτοί, καὶ οὕτως
» πάντες ἐλεοῦνται, οὓς διὰ ἐκείνων, κακεῖνοι διὰ τούτων. Ω βάθος πλούτου
» καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι
» αἱ ὁδοὶ αὐτοῦ. Οτι μὲν βάθος, εἶδε, ὁ πρῶτον δὲ τὸ πρόσω, ἀγνοεῖ. πλοῦτον
δὲ ὀνομάζει τὸν ἀγαθότητα. πλούτου καὶ σοφίας. ζωονόησας τὸν ἐξ ἀρχῆς σοφὴν
τοῦ θεοῦ οἰκονομίαν, ὡς διὰ ὧν ἀναπόν τὰ ἀναπόνα οἰκονομεῖ, καὶ τί πρὸς αὐτὸν
ἡμᾶς ἀπρέπειαν ἐπρήσας, ἐθαύμασε μόνον. ὡς ἀνεξερεύνητα. ἐγὼ μόνον γνωσθῆναι ἐδύναται, ἀλλ' οὐδὲ ζητηθῆναι. αἱ ὁδοὶ αὐτοῦ. αἱ οἰκονομίαι αὐτοῦ, φησιν.
» Τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ
» καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.
» αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν. Αὐτὸς, φησὶ, τὸ ἑαυτοῦ οἰκεμόνος, καὶ οὐδεὶς
ἕτερος. σοφὸς δὲ ὤν, οὐ παρ' ἑτέρου συμβούλου ἐδιδάχθη, ἀλλ' αὐτὸς ἑαυτῷ αὐτάρκης ἐστίν. ἀνάγκη καὶ πάντων ὧν ἀγαθῶν πηγή ἐστι. ἢ τίς προέδωκεν αὐτῷ; οὐδενί φησιν, ἀμοιβὴν χρεωστῶν εὑρεῖν, ἀλλ' αὐτὸς ἀεὶ καταρχεται ὧν δωρεῶν. ὅτι ἐξ αὐτοῦ. αὐτὸς εὗρε τὰ ἀγαθά, φησιν. καὶ δι' αὐτοῦ. αὐτὸς, φησι, καὶ ἐποίησε τὰ ὄντα. καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτὸς, φησι, συγκρατεῖ τὰ γινόμενα ὡς σωοχεύς.
αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἐπειδὴ μεγάλα εἶπε καὶ ἄγνωστα θαυμάσας μό-
Κεφ. ιά. » νον, ὡς ἔθος ἐστὶ αὐτῷ, εἰς δοξολογίαν ἐτελεύτησεν. Παρακαλῶ οὖν ὑμᾶς ἀδελ-
12 » φοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐά-
» ρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. Αὐτοί, φησιν, οἱ οἰκτιρμοὶ τοῦ θεοῦ δι' ὧν ἐβοήθητε, παρακαλοῦσιν ὑμᾶς. (αὐτὴ γὰρ εἰς φέρει τὴν ἱκετηρίαν τριχμήχος,) ὅπως ἀξίαν
Φωτ. αὐτῶν μετέλθητε πολιτείαν. παραστῆσαι τὰ σώματα ὑμῶν. εἰς τὰ δύο προτρέπει, εἰς τὸν βίου τὴν μέλλοντα, ἐ εἰς τὴν τῆς πίστεως ἀπουδὴν. διὸ μὲν γὰρ, φησι, παραστῆσαι τὰ σώματα ὑμῶν καὶ ἐξῆς, ἀρίστην πολιτείαν πολιτεύεσθαι παραινεῖ. διὸ δὲ τὴν λογικὴν λατρείαν ὑμῶν, φησι, τὴν ὀρθότητα τῆς πίστεως διώκειν αὐτοὺς ἀναπείθει. προτίθησι δὲ τὰ τῆς πολιτείας, ἐπειδὴ τῷ καθαρῷ βίῳ, καὶ ὁ τῆς εὐσεβείας ἀκόλουθεῖν εἴωθε λόγος. ὅρα δὲ πῶς εἶπεν ἄμφω εὐφυῶς ἐ διημένως. παραστῆσατε γὰρ, φησι, τὰ σώματα ὑμῶν, θυσίαν, ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ. εἶτα μὴ ἀρκεσθεὶς τούτοις, ἐπάγει καὶ ἕτερον. ποῖον; καὶ τὴν λογικὴν λατρείαν ὑμῶν, φησι, τούτοις κατὰ τοὺς ἐκείνης νόμους, συμφώνως ἐκείνῃ κατ' ἐκείνην, οὐ μηδενὶ διαφωνοῦντες αὐτῇ. τοῦτο γὰρ ἐστιν ἁγίαν καὶ ζῶσαν ἐ εὐάρεστον τῷ θεῷ θυσίαν παραστῆσαι τῷ σώματι ἡμῶν, τὸ μηδὲν ἔξω ὧν καὶ τὴν λατρείαν ἡμῶν νομοθετηθέντων πολιτεύεσθαι. δεῖ γὰρ ἄμφω, τὴν πίστιν τῷ βίῳ, καὶ τὸν βίον συνομολογεῖν τῇ πίστει. ὥσπερ γὰρ ὁ πίστις ἐπαγγελάμενος

ἐπαγγειλάμενος ὀρθῶ, φαῦλος δὲ τὸν τρόπον, δι' ὧν πράττει, τὴν ὁμολογίαν ἐλέγχει τῆς πίστεως, οὕτως καὶ ὁ πράξεις ἀπηκριβωμένος ἀγαθὰς, πίστιν δὲ πρεσβεύων δυσσεβῆ, δι' ὧν. δυσσεβεῖ, καὶ τοὺς πράξεις φαυλίζει, καὶ θεαμβεύει, μηδὲ ναπερὶ αὐτοῖς ὠφεῖναι πνευματικόν. δεῖ ἄρα πολιτεύεσθαι, καὶ τὴν λογικὴν λατρείαν ἡμῶν. ζῶσαν. ἐπειδὴ εἶπε θυσίαν, ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι ἑαυτοὺς κελευόμεθα, ἐπήγαγε ζῶσαν. πῶς δὲ ἔσται θυσία τὸ σῶμα; ὁράτωσαν ὀρθαὶ οἱ ὀφθαλμοί. ἡ γλῶσσα καὶ ἡ χείρ, ἡ μὲν εἰς ὑμνῳδίαν θεοῦ, ἡ δὲ εἰς ῥοπλας ἀσχολείσθω. καὶ γίνεται οὕτως τοιούτων, θυσία ζῶσα τὸ σῶμα. ἁγίαν. διαιρεῖ τοῦτον τὴν θυσίαν ἀπὸ τῆς Ιουδαϊκῆς, φησὶν, ἁγίαν, εὐάρεστον, καὶ λογικήν. ἡ γὰρ Ιουδαϊκὴ σωματικὴ οὖσα, ἡ σφόδρα ἦν ἁγία καὶ εὐάρεστος, ὡς ἄλογα θύουσα. τὴν λογικὴν λατρείαν. τὴν πνευματικὴν, φησι, διακονίαν, τὴν καθ' ἡμᾶς πολιτείαν, ὡς ἔφθην εἶπεν. παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν, διὰ λογικῆς λατρείας, τουτέστι τῆς ἀναμαίκτου. ἢ ὅτι προσενέγκατε θυσίαν ζῶσαν, καὶ τὴν λογικὴν λατρείαν, ἀπὸ νοῦ τὸ προσενέγκατε. Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινίσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον. Καὶ πῶς ἄντις ἑαυτὸν προσενέγκη θυσίαν ζῶσαν; πῶς; μὴ συσχηματίζεσθε, τουτέστι μὴ τυποῦτε ἑαυτοὺς, καὶ τὸ σχῆμα τοῦ κόσμου τούτου. χρὴν γὰρ ὑμᾶς ἔχειν ἡ μόνιμον. διὸ καὶ σχῆμα αὐτὸ καλεῖ, διὰ τὸ μὴ μένον. τοῦτο δὲ ἡττων, διὰ τὸ ἐπίκηρον. Η ὅτι μὴ συμμεταβάλλεσθε Οἰκουμ.
τοῖς καιροῖς. ΑΛΛΩΣ. Εἰ πῶν μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, τουτέστι Φωτ.
μὴ συμμεταβάλλεσθε ἐ συμμετατίθεσθε ταῖς διδασκαλίαις ὧν ἐκτὸς αἰῶνος τούτου ἐρέοντος καὶ χρὴ ἱσταμένου τὴν διδασκαλίαν προσαγόντων, τοῦτο ἦπον ἵνα μή τινες ὧν Ιουδαίων εἴπωσιν, χρὴ ὧν δὴ ὅλως δεῖ ἡμᾶς μετατίθεσθαι καὶ μετασχηματίζεσθαι ἀπὸ τῆς παραδεδομένης ἡμῖν ἀπὸ τοῦ νόμου διδασκαλίας, διὰ τοῦτο ἐτάλει, ἀλλὰ μεταμορφοῦσθε, τουτέστιν ὅτι δεῖ ὑμᾶς καθ' ὃ θέλημα τοῦ θεοῦ μετατίθεσθαι. πλὴν δὲ τὸ μεῖζον τῆς ἀπὸ τοῦ κόσμου διδασκαλίας, καὶ τῆς καθ' ὃ θέλημα τοῦ θεοῦ σοφίας. καὶ ἡ μὲν καὶ αὐτὸ τὸ σχῆμα τὸ νομικὸν ἀπόλλυσιν, ἧς ἄλλο σχῆμα κακίας καὶ διαφθορᾶς ἄγουσα, ἡ δὲ χ μόνον χρὴ ἀπόλλυσι τὸ τοῦ νόμου σχῆμα, (ἐν σχήματι χρὴ καὶ τύπῳ καὶ σκιᾷ τοῦ νόμου ὑπῆρχεν,) ἀλλὰ καὶ βελτίοι αὐτὸ, τὴν λειτουργίαν αὐτῷ μορφὴν καὶ τὸ κάλλος, ἀπαρτίζουσα καὶ ἀναπληροῦσα. διὸ καλῶς μὴ συσχηματίζεσθε, φησὶν, ἀλλὰ μεταμορφοῦσθε. τὸ μὲν γάρ ἐστιν ἀπώλεια, τὸ δὲ σωτηρία καὶ τελειότης. ἀλλὰ μεταμορφοῦσθε. τὸ τοῦ κόσμου σχῆμα καλῶν, τὴν τῆς ἀρετῆς μορφὴν καλεῖ, διεικνὺς τὸ φυσικὸν αὐτῆς κάλλος. τῇ ἀνακαινώσει. ἐπειδὴ ἄνθρωπον ὄντα οὐκ ἔστι μὴ ἁμαρτεῖν, φησιν, ἀνακαίνου σαυτὸν διὰ μετανοίας ἀεί. χρὴν γὰρ οὕτως παλαιοῦ ψυχὴν καὶ σῶμα, ὡς ἁμαρτία. εἰς τὸ δοκιμάζειν. ἢ τοῦτο, φησὶν, ἀνακαινώθητι, ἵνα μάθῃς τί τὸ συμφέρον, καὶ τί τὸ θέλημα τοῦ θεοῦ. ἢ ὅτι οὕτως δυνήσῃ ἀνακαινωθῆναι, ἐὰν μάθῃς τί τὸ συμφέρον, καὶ τί τὸ θέλημα τοῦ θεοῦ. καὶ εὐάρεστον. πρὸς Ιουδαίους ἀπτείνεται, οἵτινες εἶχον τὸν νόμου, λέγων ὅτι καὶ ὁ νόμος μὲν,

νόμος μὴ, θέλημα τοῦ θεοῦ, ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον, ἀγαθὸν μὲν τὸ ἀθέμιτα φησὶν, ὑμῶν συγχωρητέον. τέλειον δὲ καὶ εὐάρεστον, ἡ νέα διαθήκη.

» Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν.

Ανω, διὰ τῶν οἰκτιρμῶν, ἔρικας, ναὶ, διὰ τῆς χάριτος, φησὶν, ἑδαμοῦ ἀξιόπιστον ἑαυτὸν νομίζων διὰ ταπεινοφροσύνην, πρὸς τὸ πεῖσαι. διὰ μὲν γὰρ τοὺς οἰκτιρμοὺς, τοὺς δὲ καὶ τὴν χάριν προβάλλεται. ἡδέως δὲ διὰ τῆς χάριτος, τῶν ἐνεργουσῶν ὑπομιμνήσκει τὸ θεοῦ. παντὶ τῷ ὄντι ἐν ὑμῖν. τὸ παντὶ τῷ ὄντι τί ὑμῖν;

Φωτ. διαφόρως ἐγχωρεῖ νοηθῆναι. Η ὅτι λέγω παντὶ τῷ ὄντι τί ὑμῖν, τουτέστι πᾶσι λέγω, πᾶσι φρονῶ, καὶ τοῦτο τὸ ἐξουσίαν ἐκτῆς χάριτος ἔχω. ἢ λέγω, μὴ ὑπερφρονεῖν ὑμᾶς ἐν παντὶ χαρίσματι τῷ ὄντι ἐν ὑμῖν. τοῦτο γὰρ τὸ ἐνοχλοῦν καὶ τὰ ἐπαγόμενα δηλοῖ, ἐν οἷς, φησὶν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε καὶ ἕξης. σοφῶς δὲ λίαν καὶ σωτηρίως τοῦτο ἔξεμέλλων αὐτοὺς νουθετεῖν εἰς τὸ μὴ ὑπερφρονεῖν, τὸ διὰ τῆς χάριτος τοῦ θεοῦ. ἐπειδὴ γὰρ καὶ τὸ νουθετεῖν καὶ ἐπιτάττειν, ἄλλοις ποτὲ ἐξ ὑπερφρονήσεως γίνεται, προλαβὼν ἀσαφῆ τοῖς πολλοῖς λογισμοὺς. ὑπ' ἐμῆς, φησὶν, ὁρμῆς τὸ νουθετεῖν ὑμᾶς. διὰ τῆς χάριτος τοῦτο τοῦ θεοῦ. αὐτὸς κελεύει. αὐτὸ ἐπίταγμα πληρῶ. δεῖ οὖν πείθεσθαι καὶ μὴ ἀντιλέγειν.

» Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέ» ρισε μέτρον πίστεως. Παραινεῖ περὶ τοῦ ὑπερφρονεῖν, μὴ παρὰ τὰ μέτρα, φησὶ, φρονοῦμεν. τοῦτο γὰρ ἀνοίας ἢ ἀφρονείας ἐστὶν. ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. φρόνησις γὰρ ἐλάβομεν, οὐχ ἵνα εἰς ἀφρόνειαν αὐτὴν χρησώμεθα καὶ μωραίνωμεν αὐτὸν, ἀλλ' ἵνα εἰς σωφρονῶμεν, τουτέστιν εἰς τὸ ὑγιαίνειν τὸν διάνοιαν. τοῦτο γὰρ ναὶ σωφρονῶ καλεῖ, ὃ τὸν πρὸς ἀσέλγειαν ἀντιδιαστελλομένων. ὡς ὁ θεὸς ἐμέρισε; Πῶς ἐμέρισε; καὶ τὸ φιλοτιμίαν; μὴ γένοιτο. ἀλλὰ πῶς; καὶ τὸ μέτρον τῆς πίστεως. πίστεως δὲ, ὃ τῆς μετὰ τῶν λατρείαν, φησὶ. πάντες γὰρ πιστοὶ καὶ εὐσεβεῖς καὶ τέλειοι οὐ κατὰ τὴν ἕξιν δηλονότι, οἱ χαρισμάτων ἀξιωθέντες, ἀλλὰ τῆς καὶ τὸ χαρίσματα νῦν, φησὶ, πίστεως, καθὼς καὶ ὁ εὐαγγελίοις εἴρηται. κἂν δῶς ἡμῖν πίστιν. καὶ πάλιν. ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως. δῆλον γὰρ ὡς ἕτερον τοῦτο τὸ σημαινόμενον τῆς πίστεως, παρὰ τὸ ἐπὶ τῆς εὐσεβείας λαμβανόμενον. εἶσαν τινὲς παρ' αὐτοῖς χαρισμάτων ἠξιωμένοι. καὶ οἱ μὲν ἐφρόνουν μέγα ἐπ' αὐτοῖς, καὶ ἀπενοοῦντο κατ' ὧν ἄλλων, οἱ δὲ ἐζήλουν. καὶ φησὶ. τί ἀπονοῇ; ἢ τί παραζηλοῖς; ὁ θεὸς ἐμέρισε; πάντως καλῶς καὶ συμφερόντως ἐμέρισε. στοιχείτω τοιγαροῦν ἕκαστος ᾧ ἔχει. καὶ μήτε ὑπεραίρεσθω, (θεοῦ γὰρ δόσις ἐστὶν, ὃ σὸν τὸ καύχημα,) μήτε ζηλούτω. ὁ θεὸς γὰρ ἐμέρισε, καὶ οἷς δὲ τὸ ἑκάστῳ πρέπον ἐ ἁρμόδιον. μέτρον πίστεως. ἕκαστος εἰς αὐτὸ, φησὶν, ἐμμενέτω, καὶ μήτε ζηλούτω, μήτε ὑπεραιρέσθω. πίστεως δὲ, φησὶν, ἣν ἐγὼ λαλῶ.

» Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν. τὸ δὲ μέλη πάντα ὃ τὴν αὐτὴν » ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμα ἐσμὲν ἐν Χῷ. ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη.

Τί γὰρ σύ, φησι, μέγα φρονεῖς; τί δὲ σὺ ζηλοῖς; ὃ πάντες ἐσμὲν σῶμα ἕν, μέλη δὲ ἀλλήλων; καὶ ὃ εἶπεν ὁ τελέως δοκῶν ἔχειν χάρισμα, μέλος ἐστὶ τὸ μεῖζον ἔχοντες

ἔχοντες, ἀλλ' ὅτι καὶ ὁ τὸ μεῖζον ἔχων, τὸ τὸ εὐτελὲς, τῇ ἀνακρίσει θέλων, καὶ τοῦτο κατασκεῖλαι, κἀκείνοις παραμυθήσασθαι. τὰ δὲ μέλη πάντα ὃ τὴν αὐτὴν ἔχειν πρᾶξιν. πρὸς τοῦτο αὐτῷ ὁρᾶν ἡ παραβολή. ὥσπερ, φησὶ, τὰ μέλη διάφορον ἐγκεχείρισται πρᾶξιν, οὕτως διάφορα ἐδόθη πρὸς τὸ πνεύματος χαρίσματα. ἔχοντες κεφαλαιώδη τὴν

» Χειρὸν, ἡμεῖς δὲ ἀγγέλων μέλη. Εχοντες δὲ χαρίσματα τὰ κατὰ τὴν χάριν τὴν » δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακο» νίαν, τῷ τῇ Διακονίᾳ, εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν τῷ τῇ » παρακλήσει. Δυσὶ τρόποις ἐσχημάτισται ὅλον τὸ χωρίον τοῦτο, ἕως τοῦ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει. τρισὶ τούτοις; τῷ λεγομένῳ ἀπὸ κοινοῦ, καὶ τῷ ἐλλειπτικῷ. καὶ γὰρ τὸ, ἔχοντες, ἀπὸ κοινοῦ καθ' ἕκασον κῶλον παραλαμβάνεται, οἷον, εἴτε προφητείαν ἐχέτω τις, εἴτε διακονίαν ἐχέτω τις. τοῦτο δὲ ἀπὸ κοινοῦ, καὶ ξεῦγμα καλεῖται, ὅτι συζεύγνυσι πλῆθος ἐνικῷ, καὶ μετὰχθὲν ῥήματι. οὕτως οὖν ἀπὸ κοινοῦ τὸ, ἔχοντες, ἐπὶ τὸ ζεῦγμα λαμβανόμενον, ἀπαρτισμένον ἐπὶ τοῦτο τέως τὴν ὕλην καὶ τὰ χωρία ποιεῖ. ἐλλειπτικῶς δὲ πάλιν ἐσχημάτισται, ὅτι λείπει τὸ πρὸς αὐτοτέλειαν τοῦ νοήματος. οἷον τὸ, μενέτω ἐν ᾧ ἐλάβομεν ἕκαστος χαρίσματι, ἢ ἀρκείσθω, ἢ στοιχείτω, ἤ τι τοιοῦτον. οἷον εἴτε προφητείαν ἔχει τις, εἴτε διακονίαν, μενέτω ἕκαστος, καὶ ὁ τὴν προφητείαν ἔχων, καὶ ὁ τὴν διακονίαν, καὶ ὁ τὴν διδασκαλίαν, καὶ ὁ τὴν παράκλησιν ἔχων, ἁπλῶς ἕκαστος, ἐν ᾧ ἐλαβε χαρίσματι. ἐπὶ πλείονι δέ ἐστιν ἐν τοῖς τοιούτοις χρῆσις παρὰ τῷ θαυμασίῳ Παύλῳ. καὶ μὴ θαυμάσῃς ἡμᾶς θὴς ὧν τούτων, ἐκ χρηστοῦ τύπου. ἐν γὰρ χαρίσει τὰ μείζω χορηγοῦσα, καὶ ὧν εὐτελῶν πολλάκις παρεῖχε τὴν γνῶσιν, ὀλίγως μέγαται τούτων ὑπάρχοντων. τί γὰρ ἂν καὶ εἴη περὶ λέξεως καὶ συλλαβὰς καὶ τὴν τοιαύτην σωφιστικὴν μικρολογουμένων ἀνθρώπων τόνος καὶ ὀνόματα; οὐκοῦν ὡς μεγάλων τινῶν τούτων ὄντων ἐκ χρηστοῦ τούτοις, ἀλλ' ἐς τὸ καταισχύνειν τοὺς ἐπὶ τοῖς τοιούτοις μέγα φρονοῦντας, καὶ κερδῆσαι αὐτοὺς ἐς τὸ σωφρονίζειν, καὶ ὑπακοὴν τῆς αὐτοῦ νουθεσίας. ἄοκνα γὰρ ὑπῆρχεν ἅπαντα Παύλῳ, ὅσῳ σωτηρίαν ἔφερον ἀνθρώποις. διὸ καὶ χρήσεις ποιητικὰς ἴσχων, καὶ ἱστορίας Ελληνικὰς, καὶ μυρία τοιαῦτα ἐκ οἰκείου προκομίζων, οὐ μόνον καὶ διὰ τούτων ἐλπίζει τινὰ σωτηρίαν ἀνθρώπων ἁρπάσαι. βαθεῖ τῆς παλαιᾶς ψυχῆς καὶ πολυδαῆς. καλῶς δὲ καὶ τῷ τοιούτῳ κέχρηται τῶν λόγων ἔθους. καὶ πάλιν τὸ ἀπροσλήπτου καὶ ἁπλοῦ καὶ εὐγλώσσου καὶ ἀπειράργου χαρακτῆρος ἐκ ἀφίσταται. ἡμεῖς γὰρ ἐδ' ὅλως ἐκ χρηστοῦ τύπου, ἀδιαφανίαν οὐ τοῖς πάντα πλημμελοῦντες καὶ ἰδιωτισμὸν ἀπάσαντες ὄρθου καὶ ναῦν τινὲς μὴ σωιέντες τὸ τοιοῦτο, ἀπειρίαν αὐτὴν τῶν τοιούτων ἔχοντες ἐδ' αὐτοῖς σωίασιν, ὑπολαμβάνουσιν. ἐδ' αὖ πάλιν τούτοις ἅπαντες ἐχρῆτο, ὁ ἀπροσλήπτως χαρακτὴρ οὐ τοῖς παιδαριώδεσιν ἐπίτηδες. διήτησεν οὖν σωτῆρος καὶ πανσόφως ἀμφω. ἐχρήσατο μὲν γὰρ ἐκείνοις, ὥστε δεῖξαι ῥᾴδιον εἶναι βουλομένῳ τὸ τοιοῦτον, καὶ ὅτι ἐκ ἀγνοεῖ. ἐνέμιξε δὲ τῷ ἀπροσλήπτῳ χαρακτῆρι, τὴν εὐγλωσσίαν καὶ τὸ ἀπειράργον καὶ καθαρὸν καὶ αὐτοφυὲς τοῦ λόγου τιμῶν. τί οὖν μὴ καὶ οἱ λοιποὶ, οὕτως τοῖς ἑαυτῶν κατέμιξαν λόγοις, ἀρκεῖ καὶ οὗτος

καὶ οὗτος μόνος δεῖξει, ὅτι κἀκεῖνος ῥᾴον ἐν ὑπερορᾶν ἐβούλοντο πρᾶξαι. καίτοι καὶ ὧν τοῖς ἐκείνων ἱστολαῖς ἐστιν, ἃ καὶ ἀπανθρωπότερον, ἀλλὰ ῥᾴονα εὑρεῖν. ἃ δὲ τὸ, ἔχοντες χαρίσματα, κατὰ τὴν δοθεῖσαν ἡμῖν, μέχρι τοῦ, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, ἄλλην μὲν διάνοιαν ἀνακύπτει. μονοσχημάτιστος δὲ οὐ ζήτησις ἔσται. εἰς πνεῦμα δὲ λέγων οὐ περιορᾷ τὴν πρᾶξιν. καὶ τοῦτο πῶς λέγει. ἃ ὁ θεὸς ἐχαρίσατο, σὺ τί μέγα φρονεῖς; μὴ γὰρ σὸν καὶ τοῦτο τὰ χαρίσματα; θεοῦ, φησὶν, οὐ δόσις. διάφορα. καλῶς τὸ διάφορα, ἵνα δείξῃ τὸ μὲν μέγα, τὸ δὲ μικρόν. μεγάλα γὰρ ἄπαντα καὶ ποικίλα καὶ ἁρμόδια. καὶ ἀναλογίαν τῆς πίστεως. νῦν δείκνυσιν ὅτι ὧν δοκούντων μείζονων χαρισμάτων, οἱ λαμβάνοντες εἰσὶν αἴτιοι πρὸς τὸ λαβεῖν. ἃ γὰρ ἐὰν χαρις ἐστὶ, τοῦτον μέτρι ἐπιρρεῖ, ὅταν οὐχ εὕρῃ σπουδὴν ἑαυτὸν καταξιοῦσαν διὰ τῆς πίστεως, εἴτε προφητείαν καὶ τὴν ἀναλογίαν τῆς πίστεως ἔχοντι, φησὶν εἴτε διακονίαν ἔλαβέ τις, φησὶν. ἐν διακονίᾳ μενέτω ἐστί. πάντα γὰρ εἰς διακονίαν δίδοται τὰ χαρίσματα. λοιπὸν δὲ καὶ περὶ τῶν ἀδικούντων ἐπεξέρχεται. εἴτε διακονίαν ἔλαβέ τις, ἐν τῇ διακονίᾳ μενέτω, φησὶν. εἴτε ὁ διδάσκων, ἔλαβε, φησὶ, χάρισμα διδασκαλίας, ἀπὸ κοινοῦ τὸ, μενέτω. εἴτε ὁ παρακαλῶν, χάρισμά, φησὶν, ἔλαβε παρακλήσεως, ἐν τῇ παρακλήσει μενέτω. Ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. Λοιπὸν δείκνυσιν, ὅτι οἱ κακῶς τοῖς χαρίσμασι χρώμενοι, ἀνόνητα αὐτὰ ποιοῦσιν. ὁ μὲν ἁπλότητι. Ἐπειδὴ τὰ χαρίσματα, ἢ ἐνδόσει τὴν ἐνέργειαν αὐτῶν ἐπιδείκνυσιν, ἢ ἐν προσασίᾳ, ἢ ἐν ἐλέῳ, φησὶν, ὅτι οὐχ ἁπλῶς ταῦτα δεῖ ἐπιτελεῖν, ἀλλὰ διδόναι μὲν μετὰ ἁπλότητος καὶ χαρᾶς, οὐχ ὡς ζημιούμενόν τι, ἀλλὰ μᾶλλον κερδαίνοντα, καὶ προΐστασθαι μὲν ἀμελῶς, ἀλλ' ὡς ὑπὲρ ἑαυτὸν σπουδάζοντα, καὶ ἐλεεῖν ἱλαρῶς καὶ εὐθύμως, ὡς αὐτὸν πλουτοῦντα. ἔσται δὲ ταῦτα ὧδε; ἐὰν ἀγάπην ἔχωμεν πρὸς ἀλλήλους, ἀγάπῃ δὲ μὴ ὑποκρινομένῃ καὶ ἐν ὑποκρίσει, ἀλλ' ἄπλαστον καὶ ἀνυπόκριτον καὶ τελείαν, καὶ ἀληθῶς ἀγαπῶμεν. ἐν σπουδῇ. ἀρκεῖ γὰρ προσῆναι μόνον. ἐν ἱλαρότητι. μὴ ὡς ζημιουμένος ἐλεεῖ, ἀλλ' ὡς αὐτὸς μᾶλλον κερδαίνων. ὥστε γὰρ συμβήσεται τὸ ἱλαρόν. Ἡ ἀγάπη ἀνυπόκριτος. ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ. Ἡ ἀγάπη ἀνυπόκριτος ἐστω, φησὶ, μὴ πλάσμα ἀγάπης, ἀλλὰ ἀγάπη εἰλικρινής. ἧς οὔσης, καταφρονοῦσι τὰ ἥδιστα. ἀποστυγοῦντες τὸ, πονηρόν. μὴ μόνον ἀπεχόμενοι τοῦ πονηροῦ, ἀλλὰ καὶ λίαν μισοῦντες αὐτό. τοῦτο γὰρ δηλοῖ τὸ ἀπο. ἐὰν γὰρ εἴπωσι στυγοῦντες. εἶτα, φησὶ, μὴ μόνον μισεῖτε τὸ πονηρὸν, ἀλλὰ καὶ ἔχεσθε τοῦ ἀγαθοῦ. τὸ δὲ κολλώμενοι, πρὸς αὐτὸ διάθεσιν ἐμφαίνει. κολλώμενοι τῷ ἀγαθῷ. δῆλον γὰρ εἶναι λάτρεως καὶ ἐπ' ἀσχρῶς. διὰ τοῦτο εἶπε, μισεῖτε τὸ πονηρόν. Πῶς ἐστι κολλᾶσθαι τῷ ἀγαθῷ; διὰ τῆς φιλαδελφίας, φησὶ, τοιαύτης διὰ τῆς φιλαδελφίας. ἐν τούτῳ γὰρ γνώσονται, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ὁ δὲ μαθητὴς φυλάττων τὰ μαθήματα, κεκόλληται καὶ ἥνωται τῷ διδασκάλῳ, ὅπερ ἐστὶ τὸ κυρίως ἀγαθόν, ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. ἀλλὰ πόθεν φύεται ἡ φιλαδελφία; πόθεν ἐστὶ θηράσαι ταύτην; ἐκ τοῦ προηγεῖσθαι ἀγάπησιν, φησὶ, τῇ τιμῇ. ὡς ἀληθῶς

Φωτ.

Φωτ.

ἀληθῶς γὰρ ἀρχὴν λαμβάνει φιλία ἀσφαλῆ, ἐὰν ἕκαστος ἀγωνίζηται προλαβεῖν ἀλλήλους εἰς τὸ τιμᾶσθαι τὸν ἕτερον. Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι. τῇ τιμῇ ἀλλήλους προηγούμενοι. τῇ σπουδῇ μὴ ὀκνηροί. τῷ πνεύματι ζέοντες. τῷ κυρίῳ δουλεύοντες. τῇ ἐλπίδι χαίροντες. τῇ θλίψει ὑπομένοντες. τῇ προσευχῇ προσκαρτεροῦντες. Εἰ γὰρ σχοίητέ, φησι, φιλαδελφίαν, φιλήσετε πάντως ἀλλήλους. ἀδελφοὶ γάρ ἐστε. εἶτα λέγει πῶς οὖν ἡ φιλαδελφία καταρτισθείη. ἕκαστος, φησὶν, ἡγείσθω τὴν πρὸς τὸν ἀδελφὸν τιμήν. τῇ σπουδῇ μὴ ὀκνηροί. καὶ γὰρ τὸν ἀγάπην πίπτει, ὅταν μὴ τιμῶμεν μόνον, ἀλλὰ καὶ ὑπερσπουδάζωμεν. τῷ πνεύματι ζέοντες. ἔσται δὲ τοῦτο πῶς; ἐὰν ζῶμεν ἐν καλοῖς ἔργοις, ἔξομεν ζέον ἐν ἑαυτοῖς καὶ διακεκαθαρμένον τὸ ἅγιον πνεῦμα. τῷ κυρίῳ δουλεύοντες. διὰ γὰρ τῶν ἐρημώσεων, ἐκκινήσεται ἡμῖν δουλεύειν τῷ κυρίῳ, οὕτως φανούμεθα ἀληθῶς δουλεύοντες τῷ κυρίῳ διὰ τῶν ἀγαθῶν ἔργων, αὕτη ἀληθινὴ δουλεία ἐστίν. τῇ ἐλπίδι χαίροντες. πῶς δ' ἂν μόνοις ζέειν τῷ πνεύματι; ἐὰν τῇ ἐλπίδι χαίρητε, φησὶν. οὐδὲν γὰρ οὕτως πρὸς πάντα πρόθυμον ὡς ἐλπὶς καλή. ἐὰν φησὶν ὑπομένητε θλίψεις. καὶ ἐὰν εὐχὴν διαλιπεῖν ἔχητε. τῇ θλίψει ὑπομένοντες. οὐ γὰρ ὑπομονή, τίκτει δοκιμήν. τῇ προσευχῇ προσκαρτεροῦντες. ταύτης γὰρ βοηθούσης, ἔσται ῥᾴδια πάντα.

Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. πῶν φιλοξενίαν διώκοντες, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

Ἐν οἷς οὖν ἐν χρείᾳ γίνονται. πῶν πρὸς τοὺς ἁγίους ἐλεημοσύνην ἀσάγει. διὸ καὶ ἐφύλαξεν αὐτὴν ὁ ἀφαιρετέον. ἄνω μὲν, περὶ καθολικῆς εἶπεν ἐλεημοσύνης. κοινωνοῦντες φησὶ. κοινωνία γὰρ τὸ πρᾶγμα. σὺ μὲν γὰρ εἰς φέρεις χρήματα αὐτοῖς, ἐκεῖνοι δέ σοι πῶν πρὸς θεὸν παῤῥησίαν καὶ τὰ μυεία ἀγαθά. πῶν φιλοξενίαν διώκοντες. μὴ μείνῃς, φησὶν, ἐκεῖνον ἐλθεῖν πρὸς σέ. ἐρυθριᾷ γὰρ. ἀλλὰ σὺ δίωξον αὐτόν. εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. διδάξας πῶς δεῖ διακεῖσθαι πρὸς τοὺς ἀδελφοὺς, διδάσκει πῶς καὶ πρὸς τοὺς πολεμίους. ὅρα δὲ μὴ εἶπε μὴ μόνον μὴ καταρῶ, ἀλλ' ὅ μεῖζον, εὐλόγει καὶ ὑπερεύχου. Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. Μὴ μόνον, φησὶ, ῥήμασιν εὐλογεῖτε, ἀλλὰ καὶ τοῖς ἔργοις. χαίρουσι μὲν, συγχαίροντες, ἀλγοῦσι δὲ, συναλγοῦντες. μεῖζον δὲ τὸ, συγχαίρειν χαίρουσιν, ὅταν μὴ ἐνυπάρχῃ ἡ τῶν πλησίον, καὶ φθόνου πρόφασις τοῖς ἀσεβέσι γίνεται. τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες, οἷον μέγαν σεαυτὸν νομίζεις, τοιοῦτον νόμιζε καὶ τὸν ἀδελφὸν καὶ τὴν πένητα ἴσθι. ἐστὲ μὴ ἐστὶ πλούτου καὶ πενίας διάκρισις παρὰ θεῷ. πῶς δ' ἂν γένοιτο τοῦτο; ἐὰν μὴ φρονῆς σεαυτοῦ ὑψηλά, ἀλλὰ συμφέρῃ καὶ σεαυτὸν ἄγῃ τοῖς ταπεινοῖς, καὶ εἰς πῶν ἐκείνων συγκαταβαίνῃς εὐτέλειαν. ἐκδιὰ τούτων, τὸ φύσημα καὶ πῶν κενοδοξίαν αὐτῶν κατασβέννει. ἡκούσατε γὰρ ὧν αὐτοῖς διὰ πῶν πόλιν, τούτῳ ἁλῶναι καὶ κατέχεσθαι τῷ πάθει. Μὴ γίνεσθε φρόνιμοι παῤ ἑαυτοῖς. μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες.

» δόντες. προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ
» πάντων ἀνθρώπων εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί, ἀλλὰ δότε τό-
» πον τῇ ὀργῇ. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει κύριος.

Τοιγαροῦν μὴ οἰέσθω εἶναι σοφοὶ, καὶ μηδενὸς νόμιμος κρίνειν. φησὶ, γὰρ ἡ γραφή· καὶ οἱ σωτῆρι παρέσωτῆς, καὶ ἐνώπιον αὐτῶν ἐπίσημοι. κακὸν ἀντὶ κακοῦ. εἰ γὰρ ψεκτὸς καὶ ἄθλιος ὁ πρῶτον τὸ κακὸν, ἵνα τί μὴ φεύγῃς τὴν μίμησιν τῶν κακῶν, ἀλλὰ τῷ ἀμύνασθαι δοκοῦν σαυτὸν καθίστας καὶ κοινωνὸν τῆς ἀσεβείας; προνοούμενοι καλὰ. τοῦτο, φησιν, ὅτι πρόνοιαν τοιεῖσθε τοῦ καλοὶ φαίνεσθαι, ἐν τῷ μηδενὶ διδόναι ψόγου πρόφασιν. εἴ ἐστιδὲ ἄνω εἴτε μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προσέθηκε καὶ τὸ προνοούμενοι καλά. ὡς ἔλεγεν, οὐκ ἀρκεῖ, μόνον τὸ μὴ ἀποδιδόναι κακά, ἀλλὰ δεῖ καὶ προνοεῖν τοῦ μὴ δοκοῦντας, ἀλλὰ καὶ εὐλογεῖν προσέταξεν. εἰ δυνατὸν τὸ ἐξ ὑμῶν. ἔστιγὰρ ὅτε οὐ δυνατὸν, ὥστε μὴ εἶναι εὐσεβείας λόγος. δυνατὸν εἶπεν, εἰ δυνατὸν. τὸ δὲ ἐξ ὑμῶν, φυτέσι, σὺ τὸ σὸν πρόσθου, καὶ μὴ παράσχῃς ἑτέρᾳ ἀφορμήν, μὴ Ἕλληνι, μὴ Ἰουδαίῳ. τοῦτο γὰρ τὸ μετὰ πάντων, φυτέσι πιστῶν καὶ ἀπίστων. μὴ ἑαυτοὺς ἐκδικοῦντες. ἐπειδὴ τοῦτο ἀκόλουθον, τὸν ἀδικηθέντα ἐκδικίας τυχεῖν, τοῦτο αὐτὸ ἐπαγγέλλεται θεὸς, φησὶ, μὴ ἐκδικήσῃς σεαυτὸν, καὶ ὁ θεός σε ἐκδικεῖ. δότε γάρ, φησὶ, τόπον καὶ χώραν τῇ ὀργῇ τοῦ θεοῦ ἐλθεῖν. αὐτὸς σὺ ἐκδικήσῃς σεαυτὸν, ἐλθοῦσα ἡ ὀργὴ τοῦ θεοῦ, οὐκ ἔξει χώραν τοῦ ἐκδικῆσαι ὅτι προεδίκησας σεαυτόν. εἰ γὰρ σὺ μὴ ἀμυνῇ, ἥξει ἡ ὀργή. Ἐπειδὴ τοῦτο μάλιστα ὁ ἀδικηθεὶς ἐπιθυμεῖ ἰδεῖν ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο αὐτῷ μετὰ πολλῆς διδωσι περιουσίας. ἂν γὰρ αὐτὸς μὴ ἀμυνῇ, θεὸς ἔσται ὁ τιμωρός. συγχώρησον οὖν αὐτῷ ἐπεξελθεῖν. τοῦτο γὰρ, δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ. παραμυθούμενος οὖν τὸν ἀδικηθέντα, ἄγαγε αὐτὸν μαρτυρίαν. ἐμοὶ ἐκδίκησις. τοῦτό πρ' ἐμοὶ ἡ ἐκδίκησις. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα τὸ ἀγαθῷ τὸ κακόν.

Μὴ μόνον, φησὶν, ἀρνεῖτε καὶ μὴ ἀμύνεσθε, ἀλλὰ καὶ εὐεργετεῖτε, τρέφοντες, πρίζοντες. εἶτα ἐπειδὴ βαρὺ ἦν τὸ προσταττόμενον, ἐπάγει παραμυθούμενος τὸν ἀδικηθέντα, λέγων, τοῦτο ποιῶν, πῦρ αὐτῷ σωρεύσεις ἐπὶ τὴν κεφαλήν. καὶ ἅμα φοβῶν καὶ τὸν ἀδικοῦντα. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ. μαλάξας πρότερον τὸν ἀδικηθέντα καὶ πείσας αὐτὸν εὐεργετεῖν διὰ τὸ ἥττον, ἀνθρακας σωρεύσεις, νῦν ὑψηλότερον αὐτῷ παραινεῖ. ἡ γὰρ τοιαύτη, φησὶ, διαθέσει τρέφῃς ἵνα πῦρ αὐτῷ σωρεύσῃς, οὐκ ἐνίκησας τὸ κακὸν, ἀλλ' ἡττήθης αὐτῷ. ἐγὼ δέσε, φησὶ, νικᾶν τὸ κακὸν βούλομαι. τοιγαροῦν, μὴ διαθέσει κακοποιῷ εὐεργέτει. ὑπὸρ γὰρ παραμυθίας σου εἴρηται τὸ ἀμηχανία, ὅτι ψωμίζων καὶ ποτίζων, ἄνθρακας πυρὸς σωρεύσεις, οὐκ ἵνα μᾶλλον οὕτως ποιῇς. Εἰ γὰρ καὶ σὺ εὐεργετῶν τὸν ἐχθρὸν, ὁ θεὸς ἐκδικῶν σε ὀργίζεται αὐτῷ, καὶ πῦρ πέμπει καὶ κάμινον καὶ κακώσεις, ἃ καὶ τὸ πολίσιον ἐκεῖνος

Ἰωάννου.

Φωτ.

ἐκεῖνος ἐτέκταινεν, ἐπὶ κεφαλὴν σωρεύσῃ. ἀλλ' οὖν σὺ μὴ διὰ τοῦτο θελήσῃς αὐτὸν ἐνεργετεῖν, ἵνα σὺ τιμωρήσῃς αὐτὸν κακοῖς ἴδιος, ἐπεὶ νικήθης ὑπὸ τοῦ κακοῦ, κἀκεῖνος μὲν οὐδὲν ἧττον ἔδει παθεῖν αὐτὸν, σοὶ δὲ ἀπόλεσας τὸν μισθὸν, νικηθεὶς ὑπὸ τοῦ κακοῦ. μᾶλλον δὲ ἡ τοιαύτη σου τῶν γνωμῶν θεὸς ἴδοι, διὰ τοῦτο ἐκδικεῖ. τὸν ἀγαθὸν γάρ, τὸν ἀδικηθέντα ἐκδικεῖ, ἀνὴρ χὶ τὸν διὰ τοῦ θυμοῦ ἐκ τῆς προαιρέσεως ἑαυτὸν ἐκδικήσαντα, καὶ διὰ πράξεως ἀγαθῆς τῆς εὐεργεσίας, προευρεσάμενον, τῶν διαφθορὰν ἰδεῖν τοῦ λυπήσαντος. εὐεργέτει οὖν σὺ, ἵνα νικήσῃς τὸ κακὸν, καὶ ἵνα λύσῃ ὡς ὁ κύριος, φησὶ, τοῦ οὐρανοῦ πατρός.

» Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ 13.
» θεοῦ. αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξου-
» σίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται.

Ἐπειδὴ ἱκανῶς κατήρτισε τοὺς ἤθη ὧν ἀκουόντων, καὶ ἐδίδαξεν αὐτοὺς ἐχθροὺς εἶναι ἐμαυτοῦ, ἔσαγει καὶ ταύτην τὴν παραίνεσιν, παιδεύων πᾶσαν ψυχὴν, κἂν ἱερεὺς ᾖ τις, κἂν μοναχὸς, κἂν ἀπόστολος, ὑποτάσσεσθαι τοῖς ἄρχουσιν. οὗτος γὰρ ἡ ὑποταγὴ οὐκ ἀναιρέσει τὴν εὐσέβειαν. παραινεῖ δὲ τοῦτο ὁ ἀπόστολος, δεικνύων ὅτι οὐκ ἀποστασίαν διδάσκει τὸ εὐαγγέλιον οὐδὲ ἀπείθειαν, ἀλλὰ μᾶλλον εὐνομοῦμένην καὶ εὐπειθῆ. ΑΛΛΩΣ. πολλὴν τὴν κεφαλαίου ταύτην πανταχοῦ ποιεῖται προνοίαν, δεικνὺς, οὐκ ἐπὶ καταφρονῇ τῆς κοινῆς εὐταξίας τοιοῦτόν τὸ Χειμῶνος νόμιμον εἶναι, καὶ ὅτι ἀρκοῦσι καὶ οἱ δικαίως πολεμοῦντες, φησὶν, ἡμῖν, καὶ τί δεῖ ἐξ ἡμᾶς πίπτοις ἀπονοεῖν ἡμῖν αὐτοῖς πολεμίους; οὐ γάρ ἐστιν ἐξουσία. οὐ μόνον τὸ καθ' ἕκαστον ἄρχοντας ταῦτα λέγει, ἀλλὰ περὶ αὐτῆς τῆς ἀρχῆς. ἐπειδὴ γὰρ ὁ μόνιμον κατασκευάζει λόγος, ἡσύχασον ὁ θεὸς τὰς ἐξουσίας. ΑΛΛΩΣ. Τί λέγεις; πᾶς ἄρχων ὑπὸ θεοῦ κεχειροτόνηται; οὐ πάντα λέγω, φησὶν, οὐδὲ περὶ ὧν καθ' ἕκαστον ἀρχόντων ὁ λόγος μοι νῦν, ἀλλὰ περὶ τοῦ πράγματος αὐτοῦ. τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δ' ἄρχεσθαι, καὶ μὴ ἄνω καὶ κάτω τὰ πάντα φέρεσθαι, τῆς τοῦ θεοῦ σοφίας ἔργον φημὶ εἶναι. οὐκ εἶπε γὰρ ὅτι οὐκ ἔστιν ἄρχων, ἀλλ' οὐκ ἔστιν ἐξουσία ἢ μὴ ὑπὸ θεοῦ. αἱ δὲ οὖσαι ἐξουσίαι. καθ' αὐτὸ εἶπεν. ἡττῶν γὰρ οὐκ ἔστιν ἐξουσία ἢ μὴ ὑπὸ θεοῦ, πάλιν τὸ αὐτὸ λέγει. αἱ δὲ οὖσαι, φησὶν, ἐξουσίαι, ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσὶν, οἷον μεγονῦαι. ὁ θεὸς, φησὶν, ἔταξε, καὶ διώκησεν αὐτάς. ΑΛΛΩΣ. Πᾶσαι οὖν ἐξουσίαι ὑπὸ θεοῦ, διατεταγμέναι εἰσὶν, οἷον μεγονῦαι, οἵαν οὐ σκοπεῖς, καὶ τὴν τοῦ πατρὸς πρεσβύτην, καὶ τὴν ἀνδρὸς πρεσγυναῖκα, καὶ τὰς ἄλλας φάσας. καὶ τὰς οὐ τοῖς ζώοις δέ, ὡς ὧν μελισσῶν, ὡς ὧν μυρμήκων, ὡς ὧν ἰχθύων. ὥστε ὁ ἀντιτασσόμενος. ἵνα μὴ εὐτελίζεσθαι νομίζωσιν οἱ τοῦ Χριστοῦ δοῦλοι ὑποτασσόμενοι ἄρχουσι, δείκνυσιν ὅτι χρὴ πείθεσθαι καὶ μὴ ἀντιτάσσεσθαι μὴ δὲ ἀπαθεῖν τοῖς ἄρχουσιν. ὡς ὅτε τοῦ πρὸ φησι, θεῷ ἀντιλέγῃ τῷ πεποικότι τὰς ἀρχὰς. τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. Κερδαίνεις κἀντεῦθεν, φησὶν, ὑποτασσόμενος, οὐ μόνον ὅτι σὺ πολὺν πλοῦτον, ἀλλ' ὅτι καὶ τὸν θεὸν τιμᾷς, τιμῶν τὴν ὑπ' αὐτοῦ τεταγμένην ἐξουσίαν, καὶ τὸν ταύτην χειρίζοντα.

Φωτ.

χειρίζον τῷ. μακάριος ὁ οὕτως καὶ διὰ ταῦτα τὴν ἐξουσίαν τιμῶν καὶ ὑποτασσόμενος, ὥσπερ ἄθλιος, ὁ διὰ ταῦτα μὴ ὑποκείμενος. καὶ γὰρ διαλοιῶ ἀπροφάσιστα κείμενα, πρῶτον ἐκ τοῦ θεοῦ, ὅτι τὴν ὑπ' αὐτοῦ τεταγμένην καὶ οὐσθεῖσαν ἀρχὴν ἐξουθενεῖ. δεύτερον, καὶ ἐκ τῶν ἀτιμαζομένων ἀρχόντων. ὅρα δὲ καὶ τὸ κέρδος τῶν ἀρχόντων. κολούουσι τὸ ἰσοφάνιον, προτρέπονται τοὺς ἀπουσιάζοντας, δι' ὧν αὐτοὺς τιμῶσι καὶ ἐπαινοῦσιν εἰς ἀρετήν. χρὴ οὖν αὐτοὺς ἀποδέχεσθαι, καὶ διὰ τοῦτο, καὶ ὅτι θεοῦ διάκονοί εἰσι, τῷ θελήματι αὐτοῦ ὑπηρετοῦντες. καὶ τρίτον. ὅτι τοὺς ἴδια λυπήσαντες, ὑπὲρ ὧν κοινῶν φροντίζουσι, τὴν ὧν πλησίον ὠφελείαν προσκαρτεροῦντες, καὶ πρὸ τῆς Διὸς ἀνέσεως, τὸν ὑπὲρ ὧν ἐκείνων πόνον ἀναδεχόμενοι. τίς οὖτος ἡ καὶ μήτις φόβος ἐπέκειτο, ἐξ αὐτῆς τῆς σωτηρίου τῆς κρίσεως γὰρ ἂν ἀγάσαιτο, καὶ ὧν πατέρων θήσει καὶ πρώτων λόγῳ; μακάριοι εἰσὶν οἱ τοιοῦτοι ἄρχοντες. κρίμα λήψονται. καθάπερ σιν, φησί, τῶν παρὰ θεοῦ ἑαυτοῖς ἐπαινοῦνται.

» Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ
» μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. θεοῦ γὰρ
» διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ.

Τί ἀλγεῖς, φησιν, ὑποταγεὶς τῇ ἐξουσίᾳ; τί δὲ φοβῇ αὐτὴν καὶ τρέμεις; μὴ γὰρ ἄτιμα τοῖς καλῶς ζῶσι; μὴ γὰρ ἔστι φοβερὸς τοῖς τῆς ἀρετῆς ἀμελουμένοις; ὧν ἀγαθῶν ἔργων. τοῦτο τοῖς ἀγαθὰ πράττουσιν. ἀλλὰ τῶν κακῶν. τοῦτο τῶν κακὰ πραττόντων. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; ἣ δὲ θέλεις, φησί, μὴ μόνον εἶναί σοι τὸν ἄρχοντα ἔπιον, ἀλλὰ διὰ καὶ ἐπαινοῦντα, τὸ ἀγαθὸν ποίει. θεοῦ γὰρ διάκονός ἐστί σοι. τοῦτον γάρ, φησιν, ἐπαινέσεισε τὸ ἀγαθὸν πράττοντα, ὅτι διὰ καὶ συμπράξει σοι πρὸς τοῦτο. ὁ γὰρ φόβος προφάσεις σοι γίνεται τοῦ καλῶς βιοῦν. διὰ τοῦτο δέ εἰσι, θεοῦ αὐτὸν εἶναι διάκονον εἰς τὸ ἀγαθὸν, ὅτι διακονεῖ τῇ βουλῇ τοῦ θεοῦ τοῖς ἀγαθοῖς ἐπαινῶν, καὶ τοῖς κακοῖς κολάζων, ὡς ὁ θεὸς ὁμοίως ποιεῖ. ἐκ δὲ τούτου, εἰς ἀγαθόν σε σωσωθεῖ καὶ προτρέπει. τοῦτο γὰρ λέγει, ἔστι σοι εἰς τὸ ἀγαθόν. Φωτ.

Καὶ σοί, φησίν, ἐστὶ διάκονος εἰς τὸ ἀγαθὸν, τοῦ θεοῦ διάκονος ὑπάρχων. πῶς δέ ἐστι σοὶ διάκονος; κολούων τοὺς κακοὺς, καὶ τῶν ἀπ' αὐτῶν βλάβων σοι ἀφαιρούμενος καὶ ἄδειαν παρέχων εἰς τὸ ποιεῖν σε τὸ ἀγαθόν. διακονεῖ δέ σοι εἰς τὸ ἀγαθὸν, καὶ ὅταν σε ἐπὶ τοῖς κακοῖς φοβῇ, ἀνακόπτων σε ἐκεῖθεν, καὶ προτρεπόμενος ἐπ' ἀρετήν. ἔτι δὲ καὶ τιμῶν καὶ ἀποδεχόμενος, προτρέπεται εἰς αὐτὸ τοῦτο. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. οὐκ ἄρα ὁ ἄρχων αὐτὸς τὸ φόβου, ἀλλὰ τὸ πράττειν κακῶς. Οὐ γὰρ ἧκεν τὴν μάχαιραν φορεῖ. θεοῦ γάρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Ὁρᾷς πῶς ἐφόβησε μὲν τὸν ὑπήκοον, καθωμίλησε δὲ τὸν ἄρχοντα; θεοῦ γάρ διάκονός ἐστιν. οὐ γὰρ τοὺς κακῶς βιοῦντας τιμωρούμενος, θεῷ διακονεῖ εἰς ὀργήν. καθὼς διακονεῖ τῷ θεῷ ἐπαινῶν τοὺς ἀγαθοὺς, οὕτως τοὺς κακοὺς κολάζων, μιμεῖται θεὸν, ὀργιζόμενος τοῖς πονηροῖς καὶ κολάζων αὐτούς.

Φωτ. Εἰ γὰρ διάκονος ἐστὶ θεοῦ, ἡ ἔπαινον ἔξ ἧς ἔξ αὐτῆς, οὐ μόνον δεῖ διὰ τὴν ἐξ αὐτῆς ὀργὴν

ὀργὴν ἐπιτιμᾶν, τοῖς ἁμαρτάνουσιν, ὑποτάσσεσθαι αὐτῇ, ἀλλὰ καὶ πολὺ μᾶλλον προσήκει, καὶ ὡς διακόνου θεοῦ, καὶ ὡς ἐπαινοῦσαν καὶ ἐπαλείφουσαν ἐπ' ἀρετὴν, τιμῆς αὐτὴν ἀξιοῦν. καὶ γὰρ κἂν μηδεὶς ᾖ φόβος αὐτῇ, ἡ συνείδησις ἡς ὑπακοὴν αὐτῆς καὶ ὑποταγὴν προτρέπεται. διὸ ἀνάγκη ὑποτάσσεσθαι. ἀνάγκη οὖν, φησι, τοῖς ἀρχουσιν ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν τοῦ θεοῦ τὴν κατ' ὧν μὴ ὑποτασσομένων τῇ ἀρχῇ γινομένην, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. τοῦτέστιν ἵνα μὴ δόξῃς ἀσυνείδητός τις εἶναι καὶ ἀγνώμων, τῷ ἐνεργητῇ καὶ τῷ διακόνῳ τοῦ θεοῦ μὴ ὑποτασσόμενος. μεγάλως γὰρ ἐνεργοῦσιν ἡμᾶς οἱ ἄρχοντες. διὰ ταῦτα γὰρ ὁ βίος ἡμῶν σωίζεται. ὡς εἰ μὴ ἦσαν. πάντα ἂν ἄχετο, ὧν ἀδιατοήτων τοὺς ἀθεμιτοτέρους κατασπούντων, δίκαιοι χθόνιοι. καὶ διὰ τὴν συνείδησιν.

Διὰ μὲν τὴν ὀργὴν, οἱ φαῦλοι καὶ μὴ θέλοντες ὑποτάσσονται, διὰ δὲ τὴν συνείδησιν, ὀφείλουσιν οἱ ἀπουσιάζοντες καὶ ζῶν προθυμίᾳ ὑποτάσσεσθαι.

» Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε. λειτουργοὶ γὰρ θεοῦ εἰσὶν, εἰς αὐτὸ τοῦτο προσ-
» καρτεροῦντες. Καὶ τοσοῦτόν, φησιν, ἐνεργοῦσιν αἱ ἐξουσίαι, ὅτι καὶ φόρους
» τελεῖτε, μαθὸν ὥσπερ τῆς κηδεμονίας καὶ τῆς προνοίας πρέχοντες. λειτουργοὶ γὰρ
» θεοῦ εἰσί. ρυτέσιν ὑπουργοὶ θεοῦ καὶ λειτουργοῦντες θεῷ εἰς τὸ φροντίζειν ἡμῶν
» ὡς ὁ θεός. θεοῦ γὰρ πληροῦσι θέλημα. εἰς αὐτὸ τοῦτο. τὸ ἡμῶν κήδεσθαι.
» προσκαρτεροῦντες. ὧν οἰκείων, φησὶν, ἀμελοῦντες, εἰς τοὺς ὑπὲρ ἡμῶν φροντί-
» σας ἀπισχόληνται. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφλὰς, τῷ τὸν φόρον,
» τὸν φόρον. τῷ τὸν φόβον, τὸν φόβον. τῷ τὸ τέλος, τὸ τέλος. τῷ τὴν τιμὴν, τὴν
» τιμὴν. μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.

Εὖ εἶπε χρέος ὂν τὸ πρᾶγμα. διὰ τοῦτο γὰρ ὀφλὰς εἶπε, καὶ τὸ ἀπόδοτε, ὡς χρέος τοῖς διαφόρους ἀρχὰς ἐμπεπιστευμένοις, τῷ τὸν φόρον χρεωστουμένῳ, ἤγουν τὴν λεγομένην κεφαλητιῶνα, ἀπόδος τὸν φόρον. τῷ, τὸ τέλος δὲ, ἤγουν τὴν ὑπὲρ τῆς γῆς σωφόρον, τὸ τέλος. καὶ οὐ μόνον χρήματα, ἀλλὰ καὶ φόβον, τοῦτέστιν αἰδῶ καὶ εὐλάβειαν, καὶ ἐπιτεταμένην τιμήν. ἐπάγει γοῦν τῷ τὴν τιμὴν, τὴν τιμὴν. ὁ φόβος γὰρ διττός. ὁ μὲν, οὗ φοβοῦνται οἱ βλαπτοντες, ὁ ἐκτὸς πονηροῦ σωφδότης, οὗ ἀνωτέρω ἀπηγόρευσεν ὁ ἀπόστολος. ὁ δὲ οὗ ἔχουσιν οἱ ἀγαπῶντες πρὸς τοὺς ἀγαπωμένους, τοῦτέστιν ὑπερβάλλουσα τιμή. καθὸ εἴρηται, οὐκ ἔστιν ὕστερημα τοῖς φοβουμένοις αὐτόν. τὴν γὰρ εὐλάβειαν ἐνταῦθα ὑπέδειξεν. ἢ μὴ τὸ ἀγαπᾶν ἀλλήλους. ἀπὸ τῆς μητέρα τῶν ἀγαθῶν ἦλθε τὴν ἀγάπην, ἣ δικαίους αὐτὴν χρέος οὖσαν καὶ ὄφλημα. Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον, πεπλήρωκε. τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Εἶτα δείκνυσι τί τὸ κέρδος τῆς ἀγάπης. ὅτι, φησὶν, ὁ ταύτην πληρῶν, τὸν νόμον ὅλον πεπλήρωκε. καὶ λέγε πῶς. Φωτ.

Πῶς ὁ ἀγαπῶν τὸν πλησίον, τὸν νόμον πεπλήρωκεν; αὐτόθεν δῆλον. ἀγαπῶν γὰρ, οὐκ ἂν τὰ ἀγαπωμένου τὸν γάμον διορύξῃ, εἰς αὐτὸ τὸ κεφάλαιον τῶν βίου ἐμβουλεύων,

βουλεύων, καὶ ζημιῶν τὸν φιλούμενον. ἀλλ' ὑδὲ μαιφόνους χεῖρας ὁπλίσει κατ' αὐτοῦ, ὑμὴν ὑδὲ κλέπτειν ἐπιχειρήσει, ὑδ' ἄλλως πως ἡδυπάθειάν τινος τῶν αὐτοῦ καθέξας, ἀφαιρήσεται, βίᾳ λαβών. ὑδὲν γὰρ τούτων ἐστὶ φιλοῦντος. ὑμὴν ὑδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει, ὑδ' ἐπίορκον ὅρκον ὀμόσει. πατέρα δὲ καὶ μητέρα, πῶς ὁ τὸν πλησίον φιλῶν ὑδαφερόντως φιλήσει καὶ τιμήσει; πῶς δ' οὐχὶ τὸ θεῖον οὗτος ὡς ἀληθῶς ἐξ ὅλης αὐτοῦ τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ἰσχύος αὐτοῦ ἀγαπήσει καὶ δοξολογήσει; ὁ δὲ τούτοις ἑαυτὸν παρεμφράξας, πρίαν ἄλλων ἀρετῶν, ταῖς προφερημέναις ὑζηαυξήσει καὶ ζωαρτήσει; ὥστε ὁ ἀγαπῶν τὸν πλησίον, ὅλον τὸν νόμον πεπλήρωκὼς ἂν εἴη. εἶτα ἐπειδὴ τὸ τῆς ἀγάπης ὄνομα ᾔδασιν οἱ ἄνθρωποι καὶ πρὸ τῶν ἄλλων ἀναξίων, διαθέσεων τῆς κλήσεως ταύτης πρέπειν, ὑπογραφὴν αὐτῆς αὖτις ἀποδίδωσι, πρίαν εἰπὼν ἀγάπῃ πίστας τὸν ἑαυτῷ πεπλεχθαι τὸν νόμον, καὶ συγκεφαλαιοῦσθαι τῶν ἀρετῶν τὸ πλῆθος. ἡ ἀγάπη γάρ, φησιν ἵν' ἔφην ζηαίρουσα τὸν πλησίον ἀλλήλοις, οὕτως ἐνοῦται, ὡς ἕκαστον ὑχ' ἕτερον ἡγεῖσθαι τὸν σωαφθέντα, ἀλλὰ νομίζειν, ἄλλον αὐτὸν εἶναι ἐκεῖνον. ἐξ οὗ δῆλον ὅτι ὑδὲν ἕκαστος τῷ πλησίον ἐργάσεται κακόν. εἶτα ἐπαναληπτικὸν συμπέρασμα. πλήρωμα οὖν νόμου ἡ ἀγάπη, ἀντὶ τοῦ ἀληθῶς ἄρα καὶ δικαίως ἔφη, ὅτι ὁ ἀγαπῶν, τὸν νόμον πεπλήρωκεν. ἤπων δὲ ὅτι ὁ ἀγαπῶν τὸν νόμον ὅλον πληροῖ, δείκνυσι πῶς, ὅτι, φησὶ, πᾶσαι αἱ ἐντολαὶ διὰ τῆς ἀγάπης πληροῦνται. ἀλλ' ὑκ ἐπεὶ πεπληροῦνται ἁπλῶς, ἀλλ' ἀνακεφαλαιοῦνται. ῥητέσι σωτρόμως καὶ ἐν βραχεῖ λόγῳ τὸ πᾶν γίνεται, καὶ ὅλον πληροῦται τῶν ἐντολῶν τὸ ἔργον διὰ βραχέων. τὸν πλησίον σου ὡς ἑαυτόν. τὸ ὡς ἑαυτὸν, πῶν ἤπερ πεπαιδεύθη ἀγάπην δηλοῖ.

» Ἡ ἀγάπη τῷ πλησίον κακὸν ὑκ ἐργάζεται. πλήρωμα οὖν νόμου ἡ ἀγάπη.
» καὶ τοῦτο, ᾔδοτες τὸν καιρὸν, ὅτι ὥρα ἤδη ὑμᾶς ὕπνου ἐγερθῆναι.

Εἰδὼς πῶς τῶν ἀρετῶν ἑκατέρας ἔχει ἡ ἀγάπη; πῶν τῶν κακῶν ἀρχὴν λέγω, καὶ πῶν πρίσιν τῶν ἀγαθῶν; ἰδοὺ ἡ ἀρχὴ τῶν κακῶν, τῷ πλησίον, φησὶ, κακὸν ὑκ ἐργάζεται. ἰδοὺ ἡ ποίησις τῶν ἀγαθῶν, πλήρωμα, φησὶ, νόμου ἡ ἀγάπη. τὸν γὰρ πλησίον εὖ ποιεῖ. ἅπασα δὲ ἡ σπουδὴ τοῦ νόμου, τοῦτο βούλεται, ἀρχὴν τῶν κακῶν, καὶ ἀρχὴν τῶν ἀγαθῶν. ἡ ἀγάπη τῷ πλησίον κακὸν ὑκ ἐργάζεται. ἀρχὴ τῶν καλῶν καὶ τέλος, ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτόν. Συνηρίαν οὖν. ε τοῦτο ᾔδοτες. Γλυκοῦτε, φησὶ, τὸ τῆς ἀγάπης ἔργον, ᾔδοτες τὸν καιρὸν κατεστάγοντα ε ἀρετῶν ἀπαιτοῦντα. νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε πίστευσαμεν, τοῦτέστι νῦν ὅτε ἐγνώμεν τὰ ἔργων τὰ ὠφελιμώτερα, κοῦφον ὁμοῦ γέγονε τὸ σωθῆναι, ἢ πρὸ ὀλίγου κατὰ χρόνον ἐπὶ τὸν τῆς πίστεως λόγον. οὐ γὰρ ἅμα τῷ πιστεῦσαι ἦς Χριστόν, καὶ πῶν ἀκριβῶν τῶν πρακτέων κατάληψιν εἶχομεν. ᾔδοτες, φησὶ, πρίον τοῦτο; τὸν καιρόν, φησι. Καὶ τοῦτο ᾔδοτες, πρὸς ἄνω τοῦτο σωήρτηται, καὶ πρὸς ἐκεῖνα ἀποδίδοται, ἵνα πάσας μᾶλλον δὲ καὶ προτροπὴν ἐμφαίνον τῶν ἑρμηνέων. πρίοις δὲ ἄνω; πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω, καὶ ἀπόδοτε πᾶσι τὰς ὀφειλάς, καὶ μηδενὶ μηδὲν ὀφείλετε

Φωτ.

δὲν ὀφείλετε, ἢ μὴ τὸ ἀγαπᾶν ἀλλήλους. ταῦτα οὖν φησι πρεῖττε, δηλότε τὸ προφερημένα, καὶ δηλότερα μάλιστα. δηλότριον; ᾔδοτες τὸν καιρὸν, ὅτι σωτέτμηται ὁ τῆς ζωῆς ἡμῶν χρόνος, καὶ δεῖ ἡμᾶς ἢ καὶ ἐναφεύδομεν μηδὲν πράττοντες, ὡς ἐξ ὕπνου κἀν γοῦν ἐγερθῆναι. φανερὸν γὰρ ὅτι νῦν μάλιστα πρὸς τὸ τέλος ἐσμὲν τῆς ζωῆς ἡμῶν ἢ ὅτε πίστευσαμεν. σωτηρίαν δὲ καλεῖ τὸ τέλος τῆς ζωῆς, ὅτι τότε τοῖς ἀξίοις ἡ σωτηρία καὶ ἡ ἀπόλαυσις ἀπονεμεῖται μᾶλλον. διὸ καὶ ἡμέραν αὐτὸ καλεῖ, καὶ ἡδονὴν πρέχουσαν, καὶ φωτίζουσαν, καὶ φανεροποιοῦσαν τὸ πρὶν ἐν ἀγνοίᾳ τῇ καθ' ἑαυτὸν καὶ ἀπόλαυσιν κείμενα, μόνῃ δὲ τῇ ἐλπίδι θεωρούμενα. ἡκότως δὲ τὸν παρόντα βίον νύκτα καλεῖ, πρὸς τὸν μέλλουσαν ἡμέραν. πολλὰ γὰρ ὧν τοῦτο νῦν ὡς ἐν νυκτὶ κρυπτόμενον, ἐκεῖ φανερὰ ὡς ἐν λαμπρᾷ ἡμέρᾳ γενήσεται, καὶ πολλὰ ὧν ἀγνοούμενα ἐνταῦθα ὡς ἐν σκότει, ἐκεῖ ὡς ἐν φωτὶ ἐπιγνωσθήσεται, πάσης σκιᾶς λυομένης, καὶ παντὸς προσώπου πλαιρουμένου, καὶ τῆς ἐπιροσθούσης ἀχλύος τῆς λογισμοῖς ἐκπαθαιρομένης. σωετμήθη οὖν φησιν ἡ νύξ, τοῦτέστιν ὁ βίος ἡμῶν, καὶ ἐγγίζει τὸ τέλος, ἤγει ἡ ἡμέρα ἤδη πλησιάζει τῆς τελευτῆς καὶ τῆς ἀνταποδόσεως. χρὴ οὖν καὶ διὰ ταῦτα πᾶσαν ἐνεργὸν προθύμως ἐπιτελεῖν, ἀγαπᾶν ἀλλήλους, ἀποδιδόναι πᾶσι τὰς ὀφειλάς, ὑποτάσσεσθαι ταῖς ἀρχαῖς. καὶ γὰρ καὶ ὀλίγος ὁ πόνος ἤδη, οὐκ ἐς μῆκος οἱ ἀγῶνες, ἔτι καὶ δέοι ἀγωνίσασθαι, ἐκτείνονται. βραχὺ γὰρ λίαν γέγονε τὸ στάδιον τῆς ζωῆς ἡμῶν. μηδεὶς ὀκνείτω. πάντες σπουδαίφρονες. ὥρα ἡμᾶς ἤδη. ἐγγύς φησι τὸ τέλος, καὶ δεῖ ἡμᾶς ἐτοίμους εἶναι, ἵνα πὼ οὖν ἀγαθῶν ἔργων ἐργασίαν. ἐξ ὕπνου ἐγερθῆναι. τῆς ῥαθυμίας ἀναστῆναι. Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε πίστευσαμεν. ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν.

Τοῦ γὰρ πρόντος βίου ὑπερορμοῦντος καθ' μικρὸν, ἐγγύτερος ὁ τῆς ἀναστάσεως καὶ τῆς σωτηρίας ἡμῶν γίνεται καιρὸς, πρὸ ὅτε πὼ ἀρχὼ ἤλθομεν ἧς τὴν πίστιν. ἡ σωτηρία. ἐὰν ὧμεν ὡς δεῖ πεπιστευασμένοι, σωτήριος ἡμῖν ἔσται ἡ τῆς κρίσεως ἡμέρα, ἧς δὲ μὴ, ὀλέθριος. πλὼ αὐτὸς ἐκὼν χρηστέρων διὰ τοῦ πὼ ἡμέραν ἐκείνων. ἢ ὅτε πίστευσαμεν. ἡκὸς ἦν τούτοις ἐν ἀρχῇ μὲν ὡς νεαροῖς ξέειν, νῦν δὲ ἀπομαράνθαι. τοῦτο οὖν αἰνίττεται, ὅτι ὅσον, φησὶν, ἐγγύτερον ἡμῶν ἡ σωτηρία, τοσοῦτον ὁ τῆς κρίσεως καιρὸς καὶ σωτήριος, σπουδάζειν μᾶλλον προσήκει ῥαθυμεῖν. ἡ νὺξ προέκοψεν. νύκτα τὸν πρόντα καλεῖ βίον. ὀνειράτων γὰρ διαφέρει τὸ φῶς αὐτῷ. ἡμέραν δὲ τὸν μέλλοντα χρόνον, διὰ τὸ τὰ κρυπτὰ ἐν αὐτῷ φανερωθῆναι. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως πεπατήσωμεν. Ἔργα σκότους φησὶ τὰς πονηρὰς πράξεις, ὅπλα δὲ φωτὸς πὼ ἀρετώ. ὡς μὲν οὖν ὅπλα, ἀσφαλίζεται, ὡς δὲ φωτὸς, λαμπρύνει. ὡς ἐν ἡμέρᾳ εὐσχημόνως. Ὡς ἤδη προύσης, ὡς ἐνεστηκυίας τῆς ὅδου οὕτω παρεμφύλιος ἡμέρας, οὕτω πολιτευσώμεθα εὐσχημόνως. τί δέ ἐστι τὸ εὐσχημόνως ἑρμηνεύει αὐτὸς ἐπάγων. μὴ κώμοις καὶ ἑξῆς. εὐσχημόνως δέ φησι, λίαν ἐντρέπων, ὅτι ἢ καὶ μὴ κόλασις ἦν ἀποκεφθῆναι τοῖς ἁμαρτάνουσι καὶ

Φωτ.

» Σπανίαν. Λοιπὸν λέγει πῶς ἁγεῖν αὐῶν ὀφλέται. δι᾽ αὐτὸις, φησὶ, μάλιστα ἦλθον ὁ Χριστός. πρεὶ γὰρ ἐῶν ἐκπύρωμῆς πιστῶν ὁ λόγος αὐτῷ καὶ αὐῶν ἰῶ τὰ ἀγαθὰ ἐ αἱ ἐπαγγελίαι. ὥσπερ οὖν τοῖς πνευματικοῖς αὐῶν ἐκοινώνησε τὰ ἔθνη, οὕτως χρὴ αὐτὸις ἐ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. γὰρ ἔτι δὲ λέγει κοινωνῆσαι, ἀλλὰ λειτουργῆσαι,

τουργῆσαι, ἵνα τάξη διακόνων αὐτοὶς πιθεὶς, τοῖς ἁγίοις φόρους τελούντων ὡς βασιλεῦσιν. καὶ σφραγισάμενος αὐτοῖς. ὡς ἵνα ἀσύλῳ τόπῳ καὶ ἀσφαλεῖ μᾶλλον ἀποτίθεσθαι. καὶ γὰρ ἵνα γρανοῖς ἐμελλον ἀποτίθεσθαι, φησὶ, καὶ σφραγισάμενος. τὸν καρπὸν τοῦτον. καρπὸν καλεῖ τὼ ἐλεημοσύνην, δεικνὺς κερδαίνοντα μᾶλλον τὸν παρέχοντα. ἁγ τὼ Σπανίαν. πάλιν τῆς Σπανίας μέμνηται, δεικνὺς τὸ πὸς τοὺς
» Σπανίους φίλτρον. Οἶδα δὲ ὅτι ἐρχόμενος πὸς ὑμᾶς, ἐν πληρώματι ἐυλο-
» γίας τὸ ἐυαγγελίου τῦ Χριστοῦ ἐλεύσομαι. Τοῦτέστιν οἶδα ὅτι ἐρχόμενος πὸς ὑμᾶς, κομῶντας ὑμᾶς τοῖς ἀγαθοῖς εὑρήσω. τὸ γὰρ ἵν πληρώματι ἐυλογίας τῦ ἐυαγγελίου, τὸ πάντων ἐντὸς εἶναι ἐῶν ἀγαθῶν αὐτοὶς σημαίνει. Η, ΟΥΤΩΣ. Οἰκουμ.
Οἶδα ὅτι ἐρχόμενος πὸς τὸ πληρῶσαι ὑμᾶς τῆς ἐκτὸς ἐυαγγελίου ἐυλογίας ἐλεύ-
» σομαι, ὅτι πὸς ἀρετὴν καὶ πίστιν ἀλείψω. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ διὰ τῦ
» κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τῦ πνεύματος, συναγωνίσασθαί μοι
» ἐν ταῖς πρσευχαῖς ὑπὲρ ἐμοῦ πὸς τὸν Θεόν, ἵνα ῥυσθῶ ἀπὸ ἐῶν ἀπειθούντων ἵν
» τῇ Ιουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ ἁγ Ιερουσαλὴμ, ἐυπρόσδεκτος γένηται τοῖς ἁ-
» γίοις, ἵνα ἵν χαρᾷ ἐλθω πὸς ὑμᾶς διὰ θελήματος Θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν.
» ὁ δὲ Θεὸς τῆς εἰρήνης, μετὰ πάντων ὑμῶν ἀμήν. Ωσμὴ αὐτὸς ὢν ἀξιόχρεως πὸς
τὸ πεῖσαι, διὰ τῦ Χριστοῦ, φησὶν, ὑμᾶς καὶ τῦ ἁγίου πνεύματος παρακαλῶ. ὅρα δὲ ὅτι ἵνα οὗ καὶ πνεύματος ἐμνήσθη, γδέπω δὲ καὶ τῦ πατρός. τῦτο δὲ εἴρηται, ἵνα ὅτε πατρὸς καὶ ἵνα μόνου μέμνηται, μὴ θορυβηθῆς διὰ τὶ μὴ καὶ τῦ πνεύματος ἐμνήσθη. διαφόρως γὰρ τὼ ἁγίαν πίθησι τριάδα. συναγωνίσασθαί μοι. μείζην ζα-
πανοφροζύνην, ὅτι λέγει τῆς τούτων δεῖσθαι ἐυχῆς. ἵνα ῥυσθῶ. γὰρ εἶπεν ἵνα συμ-
πλακῶ καὶ νικήσω αὐτοὺς, ἀλλὰ ῥυσθῶ, θεῖον νόμον πληρῶν, ὃς φησιν, ἐυχεσθε
μὴ ἐμπεσεῖν εἰς πρασμόν. αὐπὸ ἐῶν ἀπειθούντων. σημαίνει πονηρούς τινας, καὶ λύ-
κους μᾶλλον ἢ ἀνθρώπους, ἵππισομένους αὐτῷ. ἐυπρόσδεκτος γένηται. καὶ ἵνα, φη-
σὶν, ἵν θυσίαμου ἐυπρόσδεκτος γένηται παρὰ Θεῷ, καὶ ἵνα καὶ αὐτοὶ μεζ προθυ-
μίας καὶ ἐυχαριστίας δέξωνται ζα ἀπ᾽ ἐμοῦ. ἵνα ἵν χαρᾷ ἐλθω. ἁγ γὰρ ῥυσθῶ φη-
σὶν, ἐκ ἐῶν ἀπειθούντων, καὶ ἵν διακονίαμου ἐυπρόσδεκτος γένηται, ἵν χαρᾷ καὶ γὰρ
ἐν ἀθυμίᾳ ἐλεύσομαι. διὰ θελήματος Θεοῦ. ὁ δὲ ἀρχῆς εἶπε, καὶ νυῦ λέγω,
εἴπως ἤδη πότε εὐοδωθήσομαι ἐν τῷ θελήματι τῦ Θεοῦ ἐλθεῖν πὸς ὑμᾶς. καὶ συνα-
ναπαύσωμαι ὑμῖν. ὁρᾶς αὐτῦ τὸ ἄτυφον; οὐ γὰρ εἶπε διδύξω ὑμᾶς ἢ κατηχήσω,
ἀλλὰ συναναπαύσωμαι, τουτέστιν ὑμεῖς ἐμοὶ διὰ τὼ διδασκαλίαν, κἀγὼ ὑμῖν διὰ
τὼ τῆς πίστεως ἐπίδοσιν, ὅπερ καὶ καθ᾽ ἁρχὰς ἔλεγε, τῦτο δέεσθαι συμπαρακληθῆ-
ναι διὰ τῆς ἐν ἀλλήλοις πίστεως. ὁ δὲ Θεὸς τῆς εἰρήνης μεζ πάντων ὑμῶν. τῦτο
» παίζ χοῦ ἕκαστος αὐτῷ ἐυχὴν τιθέναι μεζ τὼ πρόνοιαν. Συνίστημι δὲ ὑμῖν, 16
» Φοίβην τὼ ἀδελφὼ ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἵν Κεγχρεαῖς, ἵνα
» αὐτὼν προσδέξησθε ἐν κυρίῳ, ἀξίως ἐῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἵν ᾧ ἂν ὑμῶν
» χρήζῃ πράγματι. ἔ γὰρ αὕτη πρστάτις πολλῶν ἐγένηθη, καὶ αὐτῦ ἐμοῦ.
Ορα δὲ πρόσωνα τὼ σεμνύνει. ἐπειδὴ αὕτη ἰῶ διακονίζουσα τὼ ἱστολήν,

σωιστᾶ

σωνισᾶς αὐτὸν αὐτοῖς. σημαίνει δέ, τῷ πρώτης μεμνῆσθαι, τῷ ἀδελφὸν καλέσαι. τί δέ ἐστι τὸ εἶναι τοῦ Παύλου ἀδελφόν; πρόσδεξασθε ἐν κυρίῳ. ἢ δηλονότι τὸν κύριον, ἢ καὶ κύριον. καὶ ἀξίως τῶν ἁγίων. ὃν τρόπον, φησί, πρέπει ἁγίους δέχεσθαι. διαπλὼ δέδωκεν αὐτῇ στρατείας ἀφορμὴν, καὶ τὸ, δηλονότι κύριον αὐτὸν δεχθῆναι, καὶ τὸ εἶναι αὐτὸν ἅγιον. καὶ παραστῆτε αὐτῇ. ὁρᾶς τὸ ἀνεπαχθές; ἐκ ἔστιν ὅτι ἀπαλλάξατε αὐτὸν ἐκῶν ἀκουσίων, ἀλλὰ πράσσητε, ταυτὸν τῷ πᾶν ὑμῶν ὑστερήσατε, καὶ χεῖρα ὀρέξατε. πρόστατις πολλῶν. μέγας ὁ ἔπαινος, καὶ ἱκανὸς αὐτὸν προτρέψασθαι. καὶ αὐτὸς ἐμοῦ. τὸ μέγιστον ἐγκώμιον, τελευταῖον τέθεικε. μακαρία γὰρ ὄντως ἡ δυνηθεῖσα προσῆναι καὶ ἀναπαῦσαι τὸν ἅγιον ψυχὴν Παύλου. αὐτὸς ἐμοῦ. ταυτὸν τῷ ἀπόστολον, τῷ κήρυκος, τῷ διδασκάλου τῆς οἰκουμένης. Ἀσπάσασθε Πρίσκαν καὶ Ἀκύλαν τὸν συνεργούς μου ἐν Χριστῷ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου, τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν, καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν.

Συνεργησάν, φησιν, ὑμῖν διδασκαλίᾳ, ἐν πειρασμοῖς, ἐν κινδύνοις. μέγας δὲ ὁ ἔπαινος. τινὲς δὲ συνεργοὺς τούτους ὡς σκηνοποιοὺς καὶ αὐτὸς ὄντας ὑπόνοησαν. ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν. ἢ δηλονότι τὸν διδασκαλίαν, ἢ δηλονότι τὸν ἐκ τῶν χρημάτων ἧς αὐτοῖς συνεφέροντο. καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. οὕτως δὲ ἦσαν εὐδόκιμοι ὅτι καὶ τὸν οἶκον αὐτῶν ἐκκλησίαν ἐποίησαν. ἢ ὅτι πανοικὶ ἦσαν πιστοί, ὡς τὸν οἶκον λοιπὸν ἐκκλησίαν εἶναι. Ἀσπάσασθε Ἐπαινετὸν τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν. ἀσπάσασθε Μαριὰμ ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου, καὶ συναιχμαλώτους μου. οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἱ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

Μέγα τὸ εἶναι Παύλου ἀγαπητὸν, τὸ κρίσει καὶ γνώμῃ πρὸς χάριν φιλεῖν εἰδότος. ἀπαρχὴν δὲ αὐτὸν λέγει, ἢ ὅτι πρώτος ἐπίστευσεν, ἢ ὅτι πολέμου πάντων ἐυλάβειαν ἐπεδείκνυτο. ἵνα δὲ μὴ νομίσῃς ὅτι τῶν κοσμικῶν ἐστὶ πραγμάτων ἀπαρχὴ, πρὸς τιμὴν, εἰς Χριστόν. πολλὰ ἐκοπίασεν. δείκνυσιν ὅτι μετὰ τῆς διδασκαλίας, καὶ ἕτερα κεκμήκοσιν εἰς αὐτοὺς· εἰς ἡμᾶς. οὐ μόνον, φησὶν, εἰς ἑαυτὸν ἐκοπίασεν, ἵνα σωθῇ, ἀλλὰ καὶ εἰς ἡμᾶς, ἀπόστολον τάξιν πληροῦσα καὶ εὐαγγελιστοῦ. πῶς οὖν εἶτε, γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω; τῆς ἐν τῷ μέσῳ καὶ κοινῷ προεδρίας αὐτὸν κωλύων, καὶ τῆς ἐν βήματι καθέδρας, οὐ τῆς τοῦ λόγου διδασκαλίας. καὶ συναιχμαλώτους μου. μεῖζον τὸ ἐγκώμιον, τὸ συναιχμαλώτους μου. χαλεπώτερα γὰρ αἰχμαλώτων ἔπασχον, διωκόμενοι, ὑβριζόμενοι, ἀδικούμενοι. ἐπίσημοι. μέγα μὲν καὶ τὸ εἶναι ἀπόστολους, τὸ δὲ καὶ ἐπίσημους ἐν αὐτοῖς μέγιστον. οἱ καὶ πρὸ ἐμοῦ. ὅρα τὸν ἀγίαν ψυχὴν, ὅτι ἐπαισχύνεται λέγων, ὅτι πρὸ ἐμοῦ ἐπίστευσαν οὗτοι τῷ Χριστῷ. Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν κυρίῳ. ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου. Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. ἀσπάσασθε Ἡρωδίωνα τὸν συγγενῆ μου. ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ.

ἐν κῷ. ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν κῷ. ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν κῷ. Μέγας ὁ ἔπαινος, Οὐρβανὸν τὸν συνεργόν. τὸ μεῖζον, ὅτι συνήργησεν τῇ διδασκαλίᾳ. Ἀπελλῆν τὸν δόκιμον, οἷον ἀνεπίληπτον. τοὺς ἐκ τῶν Ἀριστοβούλου. Ἴσως γὰρ ἦσαν ὡς οἱ πρῶτοι, διὸ γὰρ ὀνομασὶ αὐτῶν ἐμνήσθη. τοὺς ὄντας ἐν κῷ. Ἴσως πᾶσιν ὁ ἔπαινος, ὅτι ἐν κῷ ἦσαν, ὅ ἐστι πιστοί. τὰς κοπιώσας ἐν κῷ. πρὶ Μαείας ἀνω ἔλεγον, ἥτις πολλὰ ἐκοπίασε. ταύτας δέ, ἐπὶ κοπιώσας λέγει. διὸ μείζων ὁ ἔπαινος. Περσίδα τὴν ἀγαπητήν. αὐτὴ μείζων Τρυφαίνης καὶ Τρυφώσης, ὅτι τε ἀγαπητὴ, καὶ ὅτι πολλὰ ἐκοπίασεν.

Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κῷ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμὴν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, ϛ Ὄλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ. Διαπλοῦν ἀγαθὸν, τὸ, καὶ τὸν ὑμὸν εἶναι ἀνεπίληπτον, καὶ τὴν μητέρα ἐναρέτην. τοῦτο γὰρ δηλοῖ τὸ, καὶ ἐμοῦ. καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. μέγα καὶ τοῦτο, τὸ εἶναι Παύλου ἀδελφούς. Φιλόλογον καὶ Ἰουλίαν. τὸν Φιλόλογον, ὃν λέγουσι πρῶτον ἐπίσκοπον γενέσθαι Σινώπης τῆς Ἀνδρέου. καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. ἢ δὲ ἅγιοι, ἢ μικρὸν αὐτοῖς τὸ ἐγκώμιον. ἀσπάσασθε ἀλλήλους. νῦν πάντας ἀναμίξ πέπεισεν, ἵνα μή τις λύσῃ γένηται τοῖς μὴ ὀνομασὶ μνημονευθεῖσιν. ἐν φιλήματι ἁγίῳ. φίλημα γὰρ καὶ μὰ ἁγίῳ. ἀσπάζονται ὑμᾶς. ἢκέ τι τὸν δεῖνα ἢ τὸν δεῖνα, ἀπὸ ἐκοινοποίησεν αὐτοῖς, τὸ ὑμᾶς ἡτῶν. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. οἱ γὰρ τοιοῦτοι, τῷ κῷ Ἰησοῦ Χῷ οὐ δουλεύουσιν, ἀπὰ τῆς ἑαυτῶν κοιλίας. καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας, ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

Ξένον εἶδος συμβουλῆς. ἱκέτευε γὰρ ὑπὲρ ἑνὸς πρόσωπον, καὶ ἀδελφοὺς καλεῖ, μετὰ πολλῆς τῆς τιμῆς. σκοπεῖν τοὺς τὰς διχοστασίας. ἐρευνᾶν, φησὶ, καὶ καταμανθάνειν. δείκνυσι δὲ τὸ δολερὸν αὐτῶν, καὶ ὅτι γίνονται κατὰ σὺλοι πονηροὶ ὄντες. οὕτω γὰρ μάλιστα ἐκκλησίας ἀνατρέπουσι, τὸ διηρῆσθαι ἀπ' ἀλλήλων. καὶ τὰ σκάνδαλα. μετὰ γὰρ τὰς διχοστασίαν, εἰσόδου εὐκαίρησε τὰ σκάνδαλα. Τί δέ ἐστι τὰ σκάνδαλα ἑρμηνεύει. αἱρέσεις, φησὶ, παρὰ τὴν διδαχὴν ἡμῶν ἐπεισιοῦσαι. ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ. αἱ γὰρ αἱρέσεις πᾶσαι καὶ τὰ σκάνδαλα, ἀπὸ τοῦ δουλεύειν πάθεσι καὶ ἡδοναῖς. διό, φησὶν, ὅτι οὐ δουλεύουσι τῷ Χριστῷ, ἀλλὰ τῇ κοιλίᾳ. δοκεῖ δὲ τοῦτο τοῖς Ἰουδαίων αἰνίττεσθαι. καὶ γὰρ Ἰουδαίων πάντες ὡς γαστρίμαργον κατηγοροῦσι. διὰ τῆς χρηστολογίας. ἄχρι ῥημάτων καὶ πειθανολογίας, φησὶν, ἡ δὲ διάνοια, δολερὰ πρὸς ὑμᾶς. καινὸν δὲ τὸν λέγει τρόπον ἀπάτης, τὸ πρῶτον αὐτοὺς κολακεύειν. τῶν καρδίας τῶν ἀκάκων. οὐκ εἶπεν ὑμῶν, ἀλλὰ τῶν ἀπλουστέρων.

Ἡ γὰρ ὑμῶν ὑπακοὴ, εἰς πάντας ἀφῖκται. χαίρω οὖν τὸ ἐφ' ὑμῖν. θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν. ὁ δὲ θεὸς τῆς εἰρήνης, συντρίψει

» πρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ
» Χριστοῦ μεθ' ὑμῶν. Καὶ ὅτι ἔχ' ὑμᾶς, ἀνάγκαις ἐξαπατῶσι. δῆλον ἔσ-
θον, ὅτι ἦν ὑμῶν ὑπακοὴ καὶ πρόθυμος, ἃς πάντας ἦλθε. πολλοὺς δὲ αὐτοῖς ἐφίσησι
μάρτυρας, ἵνα μὴ ἀναισχυντήσωσι πρὸς τὰν κακὰν διδαχάν. χαίρω οὖν τὸ ἐφ' ὑμῖν
τοῖς μὴ ἐξαπατωμένοις φησίν. σοφοὺς μὲν εἶναι ἃς τὸ ἀγαθόν. ὑπανίσσεται ὅτι ἐξ
αὐτῶν ἦσαν τινὲς ἀπατώμενοι. θέλω γάρ, φησιν, ἃς μὲν τὸ ἀγαθὸν εἶναι ὑμᾶς
Σειυηρ. φρονίμους, ἃς δὲ τὸ φαῦλα, ἀπείρους κακοῦ. Τουτέσι φρονήσει μὲν κεχρῆ-
σθαι ἃς τὸ μὴ ὑφ' ἑτέρων ἀδικεῖσθαι, ἀκεραιότητι δὲ ἃς τὸ μὴ ἑτέρους ἠβουλεύσθαι.
ὁ δὲ θεὸς τᾶς εἰρήνας. ἐπειδὴ ἦσαν διχοστασίαι, τὸν τᾶς εἰρήνας δοτῆρα ἐπικαλεῖται,
ἵνα παύσῃ τὰ σκάνδαλα. σωτρίψει. ὃ πολλῷ μεῖζον ἰῶτᾶ ὑπετάξαι. τὸν Σατα-
νᾶν. ἃ μόνον, φησί, τὰ σκάνδαλα περιβάλλοντας σωτρίψει, ἀλλὰ καὶ αὐτὸν
τὸν ἡγεμόνα αὐτῶν Σατανᾶν. ἐν τάχει φησίν, ἐκτὸς χρόνου τᾶν παμυθίαν κατασκευά
ζων. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀνέμνησεν αὐτοὺς τᾶς
θεοῦ χάριτος, τᾶς ἀεὶ σωζούσας. ἃ δὲ ἐχθροὺς ὄντας ἔσωσε, φησί, πολλῷ μᾶλλον
νῦν. ὁρᾷς ὅτι μετὰ ἔργων, καὶ χάριτος ἃς τὸ σωθῆναι δρόμεθα; μετὰ γὰρ τὸ μαρ
» τυρῆσαι αὐτοῖς ὑπακοὰν, τότε τᾶν χάριν ἐπήυξατο. Ἀσπάζονται ὑμᾶς Τιμό-
» θεος ὁ συνεργός μου, καὶ Λούκιος καὶ Ἰάσων, καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. ἀ-
» σπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τᾶν ἐπιστολὰν ἐν κυρίῳ. ἀσπάζεται ὑμᾶς Γάϊος
» ὁ ξένος μου, καὶ τᾶς ἐκκλησίας ὅλης. ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τᾶς πό
» λεως, καὶ Κούαρτος ὁ ἀδελφός. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάν
» των ὑμῶν ἀμήν. Εἴδες ἐγκώμιον τοῦ Τιμοθέου; συνήργει δὲ αὐτῷ ἐν τῷ εὐαγ
γελίῳ. καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. συγγενεῖς, φησί, τοὺς ἐοικότας κατὰ τὰν
εὐσέβειαν. Τέρτιος ὁ γράψας. ἀντὶ μεγάλου τέθεικεν ἐπαίνου, τὸ εἶναι ὑπογρα-
φέα Παύλου. Γάϊος ὁ ξένος μου. τουτέστιν ὁ ξενοδόχος μου. καὶ πρὸς ὁ ἔπαι-
νος, ὅτι πᾶσαν αὐτὸς ξενοδοχεῖ. τὰν ἐκκλησίαν, καὶ τὸν Παῦλον, ὃς οὐκ ἂν ἄλλως
παρ' αὐτῷ ἐξενίσθη, ἢ μὴ ἦν ὁ Γάϊος ἄξιος. ὁ οἰκονόμος τᾶς πόλεως. τὰν ἀ-
ξίαν αὐτᾶ τέθεικεν, ἵνα γνῷς ὅτι ἁγαθοῦ ὄντος, ἓν ἀξίωμα κώλυμα γίνεται τι-
νὶ, πρὸς τὸ ὀρθῶς βιοῦν ἢ πιστεύειν. ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. τᾶς χάριτος
μέμνηται, ἃν ἐνεργεσιῶν ὑπομιμνήσκων τοὺς Χριστοῦ. μετὰ πάντων ὑμῶν ἀμήν.
οὕτως ἤρξατο ἀπὸ εὐχᾶς. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χρι
στοῦ, καὶ οὕτως καταπαύει τὸν λόγον πρόσευκτος ἃς εὐχάν. ἡ χάρις τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ. τοῦτο γὰρ ἐπιμέλιον, τοῦτο ὅρον ἀεὶ ποιεῖν αὐτῷ φίλοις:~

Τέλος ζὼν θεῷ, τᾶς πρὸς Ρωμαίους ἐπιστολᾶς.

Ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τᾶς διακόνου τᾶς τῶν Κεγχρεαῖς ἐκκλησίας:~

Ὑπόθεσις τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς.

Αὕτη ἐπιστέλλει ἀπὸ Ἐφέσου τῆς Ἀσίας, ἐωρακὼς αὐτοὺς ἤδη ἐξ διδάξας, ὑποτιμήσεων δὲ ὅμως δι' ἃς τῆς ἐπιστολῆς ταύτης. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. Κορίνθιοι ἐκ φιλονεικίας σωαγόμενοι, ἐσχίζοντο ταῖς γνώμαις. καὶ λοιπὸν ἦν ἐν αὐτοῖς σχίσματα, καὶ ὄντων τῶν σχισμάτων, πρεβλέπουτο τὸν λαβόντα τὴν μητρυιάν. ἄλλοι δὲ ἤθελον καταλιμπάνειν τὰς ἰδίας γυναῖκας, πρόφασει τῆς ἐγκρατείας. τινὲς δὲ τῶν ἐθνολατρῶν ἤσθιον, ὡς διαφόρων ὄντων τῶν ἐθνοθυτῶν. ἄλλοι δὲ, τοὺς μὲν ἄλλους ἐξουθένουν, τοὺς δὲ λαλοῦντας γλώσσαις ἐμάχοντο. καὶ τέλος ἦν πάντων καὶ περὶ τοῦ περὶ ἀναστάσεως μυστήριον λέγοντες μὴ ἐγείρεσθαι τὴν σάρκα ταύτην. τούτων πάντων ἐν Κορίνθῳ κινουμένων, γράφουσιν οἱ λαοὶ τῷ ἀποστόλῳ. καὶ λοιπὸν πρὸς πάντα ἀντιγράφει. καὶ πρῶτον μὲν, μαρτυρεῖ αὐτοῖς ἐν φρονήσει καὶ γνώσει. ὅτι ἀποδέχεται δὲ αὐτοὺς, ποιοῦντας σχίσματα, ἀλλὰ καὶ συμβουλεύει, μὴ ἐν λόγῳ τὴν ἀρετὴν, ἀλλ' ἐν ἔργῳ καὶ δυνάμει ἔχειν. ἔπειτα ἐπιπλήσσει τῷ τὴν μητρυιὰν λαβόντι, καὶ παραινέσας μὴ ἔχειν κρίματα πρὸς ἑαυτὸν, λοιπὸν περὶ ὧν ἔγραψαν ἀποκρίνεται, περὶ μὲν τοῦ γάμου διδάσκων ἄρρηπτον εἶναι τὴν συζυγίαν, καὶ ἐν καιρῷ μόνῳ σχολάζειν διὰ τὴν εὐχήν. διὰ δὲ τὸ ἀλλαττὸν αὐτοὺς τὴν ἐγκράτειαν, γράφει περὶ παρθενίας, ὅτι γὰρ ἀναίρει, ἀλλὰ πείθοι τοῦτο γένεσθαι. ἔπειτα περὶ ὧν ἐθνολατρούτων. ἵνα μὴ καταχρῶνται τῇ γνώσει, ἀλλὰ τῇ ἀγάπῃ πολιτεύωνται. κωλύει οὖν ἐν ἐθνολατρείῳ συμπόσια, ἵνα μὴ σκανδαλίζωνται οἱ μικροί. ἔπειτα περὶ ὧν πνευματικῶν χαρισμάτων γράφει, ἵνα μὴ διαφέρωνται ἐν τοῖς χαρίσμασι, μὴ δὲ προκρίνωσι τὸν ἔχοντα χάρισμα τόδε, τὸν ἔχοντος τόδε. πάντα γὰρ, τοῦ αὐτοῦ πνεύματος εἶναι λέγει. καὶ λοιπὸν περὶ ἀναστάσεως διδάσκει, ὅτι ἡ σὰρξ ἐγείρεται, ἀποθνήσκουσα μὲν σαρκὶ, ἐγειρομένη δὲ ἀφθαρσίᾳ τῷ τὴν χειρὸν χάειν. τὸν δὲ ἀναστάσιν, αὐτὸ τὸ ἐγηγέρθαι τὸν χειρὸν σωίσησι. καὶ τέλος παραινετικοῖς λόγοις ἧς τὸ ἦθος γράφει, καὶ περὶ λογίας τῆς εἰς τοὺς ἁγίους πραγίλλει, καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

Θεοδωρήτου.

Ῥᾳδίως ὁ δαίμων οὕτω πολυάνθρωπον τὸν Κόρινθον, καὶ εἰδωλολατρίαν πεπιστευκέναι θεῷ, πρασπευάζει τινὰς ἐκεῖθεν πρὸ σφίσι πλουσίων καὶ φιλοσόφων αὐτοχειροτονήτους πεφατεῖν τὸ δήμου ὧν τοῖς πνευματικοῖς πράγμασιν, ὡς λοιπὸν τὸ λαοῦ πολλοὺς, τοὺς μὲν τοῖς πλουσίοις ὡς ἰδιωταῖς πεσχωρῆσαι, τοὺς δὲ τοῖς φιλοσόφοις ὡς πλέον διδάσκειν δυναμένοις πρὸ τοῦ τὸ ἀποστόλου διδαχὴν, ὡς ἐκ τούτου σχίσματα καὶ ἔριδας γίνεσθαι παρ' αὐτοῖς. ἔγραψαν οὖν τῷ Παύλῳ διὰ Φουρτουνάτου, καὶ Στεφάνου, καὶ Ἀχαϊκοῦ, περὶ γάμου καὶ παρθενίας, δι' ὧν καὶ ἀντέγραφε αὐτοῖς, καὶ περὶ τούτων καὶ περὶ ἄλλων, συναποστείλας καὶ τὸν Τιμόθεον. ἐπεὶ οὖν ἐξ ἀπονοίας ἦσαν τὸν λαὸν διαφθείροντες οἱ πλούσιοι καὶ φιλόσοφοι, τῆς ἀπονοίας διορθοῦται τὸ πάθος ἐν τούτοις.

Κεφάλαια τῆς πρὸς Κορινθίους ἐπιστολῆς. α΄.

α΄ Μετὰ τὸ προοίμιον, περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ.

β΄ Κατὰ πρεσβυτέρων καὶ πρεσβείας, καὶ ὧν τούτοις κοινωνούντων.

γ΄ Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα ἐπὶ ἀπίστων.

δ΄ Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας.

ε΄ Περὶ διαφορᾶς εἰδωλοθύτων, καὶ ἀποχῆς Δαιμονικοῦ σεβάσματος.

ϛ΄ Περὶ σχήματος ἀνδρῶν καὶ γυναικῶν, ἐν εὐχαῖς καὶ προφητείαις.

ζ΄ Περὶ κοινωνίας θεοπρεπῆς, καὶ βλασφημικῆς.

η΄ Περὶ διαφορᾶς χαρισμάτων, καὶ οἰκονομίας αὐτῶν.

θ΄ Περὶ ἀναστάσεως σωμάτων παθολικῆς.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ. α΄.

ΠΑΥΛΟΣ κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

Εκ τοῦ κλητοὺς ἑαυτοὺς καλέσαι διορθοῦται αὐτούς. ἐγὼ αὐτός, φησιν, οὐκ αὐτοχειροτόνητός εἰμι ἀπόστολος, ἀλλὰ θεοῦ ὑμᾶς ἀποστόλου μαθητὰς ποιήσαντος. διδάσκαλοι; ἀπόστολος Ἰησοῦ Χριστοῦ. ὁ Διδάσκαλος ὑμῶν, φησί, εἷς ἐστι, Χριστός· ἀνθρώπους ἐποιήσατε ὑμῶν διδασκάλους; ἀλλὰ τοῦ θελήματος θεοῦ, δι' ὑμῶν κηρύσσεσθαι ὧν ἀπόστολος. καὶ Σωσθένης. μὴ γὰρ νομίσητε ὅτι ἐμαυτῷ συμπριούμενος τὸ τῆς διδασκαλίας ἀξίωμα, ὑμᾶς μέλλω καθαιρεῖν τῆς πρὸς αὐτῷ φυσιώσεως. ἰδοὺ γὰρ καὶ Σωσθένην ἐμαυτῷ συνατάττω, καὶ ἀδελφὸν καλῶ, καὶ ζῶν αὐτῷ ἐπιστέλλω, κοινοπριούμενος ἐμοί. διατί οὖν ὑμᾶς ἐγκόπτω; ὅτι ἐμβλαβεῖς ὑμῶν τὸ ἐπὶ τῇ διδασκαλίᾳ φύσημα. ὑμᾶς τε γὰρ ὁδὸν οἰνήσει, τοὺς τε πειθομένους ἐξίστησι τῆς ὑγιαινούσης διδασκαλίας, καὶ τὸ κοινὸν μερίζει τῆς ἐκκλησίας σῶμα. ὁ ἀδελφός. καὶ μητρότητα σωάζεται ἑαυτὸν Σωσθένης. τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. ἡ δὲ θεοῦ ἐστὶ ἐκκλησία, οὐκ ἀνθρώποις ἑαυτὴν πρωτοσυνέματος ἡγιασμένοις ᾧ χῷ. τῷ λουτρῷ καὶ τῇ πίστει χῦ, ὁ διὰ δῶν νῶν ὑμῶν διδασκάλων. κλητοῖς ἁγίοις. καὶ αὐτὸ γὰρ τὸ πιστεῦσαι ὑμᾶς, οὐχ ὑμέτερον, ἀλλ' ἄνωθεν θεοῦ πρὸς τὴν πίστιν ἐκλήθητε. ζῶν πᾶσι τοῖς ἐπικαλουμένοις. ὁ μόνον ὑμῖν τοῖς Κορινθίοις, φησὶ, χάρις καὶ εἰρήνη, ἀλλὰ ζῶν πᾶσι τοῖς ἐπικαλουμένοις τὸν χῦ ἐν οἱῳδήποτε τόπῳ, ᾧ ὧ ἦσιν ἐκεῖνοι τε καὶ ὑμεῖς. ΑΛΛΟ. Ὅσον ἐκεῖνοι καὶ ἀγγέλων διεχίζοντο, τοσοῦτος Φωτ. αὐτὸς ἐφιλονείκει ἐν τοῖς πρέσβεσι σωάπτειν αὐτούς. διὸ μέλλων αὐτοῖς προσφωνεῖν τὴν χάριν ἐν τῇ εἰρήνῃ τὴν ἄνωθεν, ἐν ἅπασιν κλητοῖς ἁγίοις, αὐτίκα σωπᾷψε ζῶν πᾶσι τοῖς ἐπικαλουμένοις καὶ ἑξῆς. καὶ ὑμῖν, φησὶ, καὶ σύμπασιν εἰρήνη ἀπὸ θεοῦ καὶ πατρὸς χάρις καὶ εἰρήνη. αὐτῶν τε καὶ ἡμῶν. ἐπειδὴ ἅπασιν ζῶν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου, ἐπήγαγε μόνον τὸ, ἡμῶν, ἐπιθορυβοῦντος καὶ δήμου κοινὸν αὐτὸν κῦ καὶ δεσπότην ἁπάντων ὄντα, προστιθέντος, αὐτῶν τε καὶ ἡμῶν. ἡ δὲ κοινὸς ἁπάντων κῦς, καὶ ὁ μόνου ἡμῶν, ἀλλὰ καὶ ὧν ἅπαντα χοῦ, τί σχιζόμενοι ἀγγέλων, καὶ τὸν κοινὸν ὃν ὧν τεμνεσθε καθυβρίζοντες κυριότητα, ἑτέροις καὶ ἑτέροις ἑαυτοὺς διανέμετε; καὶ ἀπὸ θεοῦ πατρός. τί δέ, φησιν, ἢ πρὸς τοῦ δεῖ ἀπὸ θεοῦ πατρὸς εἰρηνεύετε, ἢ ἀπὸ τοῦ δὲ χάριν ἔχετε ἐγώ, φησι, ταῦτα ἀπὸ θεοῦ ὑμῖν εὔχομαι γίνεσθαι. αἰνίττεται δὲ, τὴν διδασκάλοις αὐτῶν καθαπόμενος. Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν χῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ χοῦ ἐβεβαιώθη ἐν ὑμῖν.

Εὐχαρίστους εἶναι ἡμᾶς παιδεύων, ᾧ πάσῃ ἐπιστολῇ τοῦτο πίθησιν. τῷ θεῷ μου.

ἐκ πολλῆς ἀγάπης, τὸ κοινὸν ἴδιον ποιῆται. ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ. μέγα ἐφρόνουν ἐπὶ τοῖς χαρίσμασιν. ἀνίπεται οὖν, ἢ γὰρ ἐξ οἰκείων καρπωμάτων, ἀλλὰ τῇ τοῦ Χριστοῦ δωρεᾷ τὸ χάρισμα ἐλάβατε, τί μέγα φρονεῖτε; ὡς Χριστῷ Ἰησοῦ. τῇ δὲ Χῦ. δὲ Χῦ γὰρ ὁ πατὴρ δέδωκεν. ὡς αὐτῷ. πάλιν τὸ, ὧ αὐτῷ, ῥητέον. δι' αὐτοῦ. ἢ δὲ δι' αὐτοῦ ἐπλουτίσθητε ἐν παντὶ πράγματι, ἐν πλοῦτος παρὰ Θεοῦ, πῶς ἀνθρώποις ἐστὶν, φησι, πρσενέματε; καὶ πάσῃ γνώσει. ὥστε γὰρ λόγος χωρὶς γνώσεως, ὡς ἡ φλυαρία. ὥστε καὶ γνῶσις χωρὶς λόγου, ὡς ἡ ὧν ἰδιωτῶν, νοοῦντων μὲν, ὀξέως δὲ τὸ νοητὸν μὴ σημαινόντων. ἀλλ' ὑμεῖς, φησι, καθ' ἅμφω ἐπλουτίσθητε, καὶ λόγῳ καὶ γνώσει. καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ. καθὼς, ῥητέον δι' ὧν. ἀλλὰ λόγου γάρ, φησι, καὶ τῆς θεοδότου γνώσεως, τὸ μαρτύριον τοῦ Χῦ, ῥητέον τὸ κήρυγμα, ἐν ὑμᾶς πιστευθὲν ἐβεβαιώθη, ὅσον ὑμῖν ἐλλιπὲς, ἢ δι' ὑφῆς οἰκείας ἢ τῆς ἔξωθεν σοφίας, ἀλλὰ διὰ χάριτος Θεοῦ. ΑΛΛΟ. πόθεν δῆλον ὅτι ἐπλουτίσθητε λόγῳ καὶ γνώσει; ἐκ τοῦ τὸ κήρυγμα τῆς ἐν Χῦ πίστεως, βεβαιωθῆναι ἐν ὑμῖν. ἐν γὰρ τούτῳ βεβαίωσις ἐν ὑμῖν, ἐ λόγου ἐ γνώσεως γίνεται μαρτύριον ὑμῖν. μαρτύριον Χῦ, ἢ τὸ ἑκούσιον ἐ σεῖον πάθος, ἐ ἁπλῶς ἐν ὑποβολίμων τοῦ λόγου κένωσις ἐ οἰκοδόμησις, ἢ μαρτύριον Χῦ, ἐν ὧν σημείων χάρις καὶ δωρεά. καὶ γὰρ ἔστι ταῦτα μαρτύριον τῆς ἐν Χῦ πίστεως, καὶ τῆς θειότητος αὐτοῦ καὶ μεγαλειότητος. ἦσαν γὰρ ἦσαν οἱ Κορίνθιοι πλουτοῦντες ἐν τούτοις. ἐπεὶ οὖν, φησι, ταῦτα ὁρᾶται ἐν ὑμῖν ἐν ἀφθονίᾳ καὶ βεβαιώσει, καλῶς φησι, πρσέπεμψεν ὅτι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει ἐπλουτίσθητε. μέρος γὰρ ὧν χαρισμάτων, ὅτε λόγος καὶ ἐ γνῶσις, ὁ μὲν λόγος σωτηρίων ἐς τὸ διδάσκειν, ἐ δὲ γνῶσις ἐς τὸ σωφρονεῖν. καὶ τὸ, ὥστε μὴ ὑστερεῖσθαι ὑμᾶς, πρὸς τὴν δευτέραν ἑρμηνείαν μᾶλλον σωάδει. Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κῦ ἐμῶν Ἰησοῦ χριστοῦ, ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἐμέρᾳ τοῦ κυρίου ἐμῶν Ἰησοῦ Χριστοῦ.

Φωτ.

Τοῦ αὐτοῦ.

Ζητεῖται ἐν τούτοις πῶς δή ποτε ἀνωτέρω μὲν ἑρμηνεὺς φησὶν αὐτῶν ὅτι ἐπλουτίσθητε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, ἐ ναὶ πάλιν, ὥς τε μὴ ὑστερεῖσθαι ὑμᾶς ἐν μηδενὶ χαρίσματι, προϊὼν σαρκικοὺς αὐτοὺς λέγει. ἔτι γὰρ σαρκικοί ἐστε, φησιν. ὅτι πρὸς πολλοὺς μὲ τοῦτα, πρὸς πολλοὺς δὲ ἐκεῖνα ἥρμοζεν. ὥδε γὰρ ἦν τοσαύτη ἐκκλησία εἶχον εἶναι ἢ πάντες τέλειοι, ἢ πάντες ἀτελεῖς καὶ νήπιοι. ἀπεκδεχομένους τὴν ἀποκάλυψιν. ὡς τε ὑμᾶς μὴ ὑστερηθῆναι ἐν μηδενὶ χαρίσματι, ἐν τῷ ἀπεκδέχεσθαι τὴν ἀποκάλυψιν τοῦ Χῦ. χρεία γὰρ ὑπομονῆς ἐς τὸ ἐκδέξασθαι. ἀποκάλυψιν δέ, φησι, τὴν δευτέραν παρουσίαν, δεικνὺς ὅτι καὶ νῦν ἐστὶν, ἢ καὶ μὴ ὁρᾶται σαρκικοῖς ὀφθαλμοῖς. ὃς καὶ βεβαιώσει ὑμᾶς. δεικνυσι σαλευομένους. ἀνεγκλήτους ἢ ἅγιους, δηλοῖ ὄντας ὑπὸ ἐγκλήμα. ἐν τῇ ἐμέρᾳ τοῦ κῦ. ἀπάντων τῶν ἀνθρωπίνων, φοβεῖ αὐτοὺς τὴν ἐμέραν ὑπομιμνήσκων τῆς κρίσεως. Πιστὸς ὁ θὸς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ ὑοῦ αὐτοῦ Ἰῦ Χῦ τοῦ κῦ ἡμῶν.

Φωτ.

Τουτέστιν ἀληθής. ἢ δὲ ἀληθὴς, πληρώσει πάντως ἃ ἐπηγγείλατο. δι' οὗ ἐκλήθητε. Οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν ὑὸν, ἢ μὴ ἑλκύσει αὐτὸν ὁ πατὴρ. ὡς ὥσπερ ὥδε πρὸς τὸν πατέρα ἔρχεταί τις, ἢ μὴ ᾧ ὁ ὑὸς ἀποκαλύψῃ ὁ ὑὸς. δι' οὗ ἐκλήθητε. ἀντὶ τοῦ ὑφ' οὗ

τοῦ ὑφ' οὗ ἐκλήθητε, οἷον ὁ καλέσας ὑμᾶς. καὶ ἐπίσηθον ὡς τὸ, δι' οὗ, πίθησιν ὁ θεῖος Παῦλος καὶ ἐπὶ τοῦ πατρὸς, καὶ ἀντὶ τίνος τίθησιν αὐτὸ, ἵν' ὅταν καὶ ἐπὶ τοῦ ὑοῦ αὐτὸ ἀκούσῃς, μὴ παραλλαγὴν ὑσίας, ἀλλὰ ταυτότητα φύσεως. ἐκλήθητε. ὥδε γὰρ ἀφ' ἑαυτῶν ἦτε, ἀλλὰ χάριτι ἐκλήθητε. εἰς κοινωνίαν. βαβαί τί εἶπεν; εἰς κοινωνίαν ἐκλήθητε, φησι, τοῦ μονογενοῦς, ἵνα ἐ ἐν τῇ βασιλείᾳ ἐ ἐν τῇ δόξῃ κοινωνοὶ γενώμεθα αὐτοῦ, ὅπερ ἀλλαχοῦ φησιν, ἢ συμπρμένομεν, ἐ συμβασιλεύσομεν. εἰς κοινωνίαν ἐκλήθητε Χριστοῦ, τί ἄλλοις ἐ ἄλλοις ἐφιστῶντες ἑαυτοῖς πρσφάτας ἐ διδασκάλους, τὴ θαυμασίας ἐκείνης ἐ σωτηρίου κοινωνίας ἑαυτοὺς φιλονικοῦντες διασχίζεν ἐ ἀποτέμνεσθαι;

Κέφ. α'.

Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἐμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, ἐ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐγώ, φησι, παρακαλῶ, ὥκ ἐμί τις ἀνὸς ποιῶν. διὰ τοῦ Χριστοῦ οὖν παρακαλῶ, ῥητέον αὐτὸς ὁ Χριστὸς ὁ ὑβρισμένος πρέπεται τῷ παρακλῆσαι. καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα. τὸ γὰρ ἐς πολλὰ ὑμᾶς, φησὶ, χωρεῖσθαι, οὐκ ἐπρίσε πολλὰ μέρη τέλεια, ἀλλὰ τὸ τέλειον μέρος τῶν ἐκκλησιῶν ἔσχισεν. κατηρτισμένοι. ἀπηρτισμένοι, τέλειοι. ἐν τῷ αὐτῷ νοΐ. ἐπλοκὴ ἄνω εἶπεν, ἵνα τὸ αὐτὸ λέγητε, ἵνα μὴ νομίσῃν ἀχρι ῥημάτων δεῖν εἶναι τῶν ὁμόνοιαν, ἐπάγει, ἐν τῷ αὐτῷ νοΐ, ῥητέον καὶ λόγοις καὶ ἔργοις καὶ γνώμῃ καὶ διανοίᾳ γίνεσθε ὁμόφρονες. Ἐδηλώθη γάρμοι περὶ ὑμῶν ἀδελφοί μου ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν ἐσιν. λέγω δὲ τοῦτο ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μὲν ἐμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. μεμέρισται ὁ Χριστός; Ἵνα μὴ ἀρνήσωνται, ἐ μάρτυρας πράγει τοὺς Χλόης. ἀδελφοί μου. καὶ γὰρ δῆλον ἦ τὸ ἁμάρτημα, φησιν, ἀδελφοί μου ἐσέ. τὸ δὲ, μου, διαθέσεώς ἐστιν. ὑπὸ τῶν Χλόης. οἰκίας ἴσως οὕτως ἐπονομαζομένης, Χλόης ἴσως τινός. οὐκ εἶπε δὲ ὀνομαστὶ τοὺς δηλώσαντας, ἵνα μὴ πρὸς αὐτοὺς ἐκπολεμωθῶσιν. ὅτι ἔριδες. Τὰ παρὰ τῶν δηλωσάντων ἀπαγγέλλων ἔριδας εἶπεν, ἵνα μὴ ἐκθηλιάσῃ αὐτοὺς πρὸς τοὺς ἀπὸ τῆς Χλόης. ὅταν δὲ ἀπὸ οἰκείου πρσώπου λέγῃ τὸ μηνυθὲν, σχίσματα αὐτὸ καλεῖ, ὅπερ πολλῷ χεῖρον τῆς ἔριδος. λέγω δὲ τοῦτο. σαφηνείας ἕνεκεν τοῦτο, λέγω δὲ τοῦτο, ὡς ἦ εἶπεν, λόγου χάριν, τριῶν τούτων τριῶν τε ἐ λέγει. ὥκ ἔλεγον δὲ ἐκεῖνοι οὕτως, ἐγὼ μὲν ἐμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἀλλὰ λόγου χάριν οὕτως εἶπεν, ἀνιτόμως οἷς πρσερρήνησαν πλουσίοις καὶ σοφοῖς, ἐν τούτῳ δεικνὺς, ὅτι ἦ τὸ οὕτως λέγειν Παύλου ἐ Ἀπολλῶ οὐκ ἀνεύθυνον, πολλῷ μᾶλλον τὸ λέγειν σοφὸν εἶναι ἢ πλουσίων, οἷς διδασκάλοις ἑαυτοὺς ἐκάθισαν. ἐγὼ δὲ Κηφᾶ. προτιμῶν τὸν Πέτρον, ὕστερον τεθεικεν αὐτὸν, ἐπὶ δὲ κατηγορίας αὐτῶν ἕνεκεν ταῦτα λέγει. ἐγὼ δὲ χριστοῦ. οὐκ ἐγκαλεῖ ὅτι λέγουσιν, ἐγὼ δὲ χριστοῦ, ἀλλὰ διατὶ μὴ πάντες τοῦτο λέγουσι μέμφεται. μεμέρισται ὁ χριστός; κατατέμνετε, φησὶ, τὸν χριστὸν, διέλετε αὐτοῦ τὸ σῶμα. φόβου δὲ γέμει τὸ ῥῆμα. ἢ οὕτως. ἐμερίσατο τῶν βασιλείαν ἐ τῶν ἐκκλησίαν μᾶλλον ἀνθρώπων ὁ χριστός; Μὴ συγκληρόμους ἔχει, φησὶν, ὁ χριστὸς, ἵνα μερίσῃ τις μετ' αὐτοῦ τοὺς ὠξομένους; μὴ τινας ἔχει κοινωνοὺς καὶ ζῶν αὐτῷ τῶν οἰκουμένων πληρώ-

 σαντας;

σαντας; Χειστὸς ὁ ὑπὲρ τοῦ κόσμου ἀπεθανών, ὑμῶν δὲ ἡδύς. μεμύεισαι ὁ Χειστός.
Θεόδωρ. τουτέστι καθ' μερίδα τινὲς μὲν τὸν Χειστὸν ἔλαχον, ἄλλοι δὲ ἄλλους. οἱ μὲν Κηφᾶν, οἱ δὲ Ἀπολλῶ, ὃς λέγεται πρῶτος ἐπίσκοπος γενέσθαι Κορινθίων.

» Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; εὐχα-
» ριστῶ τῷ θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον, ἵνα μή τις εἴ-
» πῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον. λοιπὸν οὐκ
» οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. οὐ γὰρ ἀπέστειλέ με Χειστὸς βαπτίζειν, ἀλλ' εὐαγγελί-
» ζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χειστοῦ.

Λοιπὸν ἀναιρεῖ τὸ ἄτοπον, καὶ τὸ πᾶν ἐφ' ἑαυτὸν φέρει, ἵνα μὴ δόξῃ καθ' φθόνον ἀλλοτρίων ὀνομάτων μεμνῆσθαι. οὐκ εἶπε, μὴ Παῦλος ἐποίησε καὶ ἐβλασεν ὑμᾶς; ἀλλ' ὁ πολλῷ πλέον τῆς αὐτοῦ φιλανθρωπίας ἐδήλου, τὸν σταυρὸν εἰς μέσον προῆξε, καὶ τὸ ζῶν ἀμαρτιῶν καθάρσιον βάπτισμα, δι' οὗ ἡνράμθη τὴν βασιλείαν τοῦ θεοῦ. ἐκπεφοιμίων δὲ τῆς ἐπιστολῆς ἄχρι τοῦ τέλους, καθ' ὅλον σχεδὸν τὸ ὀνόματος τοῦ Χειστοῦ μέμνηται, ἵνα τῇ πυκνότητι τῆς ῥητορίσδους προσηγορίας ταύτης, τὴν ὑπερηφάνειαν καὶ τὴν τῆς ἀπονοίας σκιωδόνα ἐκκαθάρῃ. εὐχαριστῶ τῷ θεῷ. ἐβάπτισα μὲν, ἀλλ' εἰς τὸ τοῦ Χειστοῦ ὄνομά, φησι. τί εὐχαριστεῖς Παῦλε, ὅτι οὐδένα αὐτῶν ἐβάπτισας, πλὴν ὧν εἶπας; μὴ τὸ βάπτισμα ὢ βραχεῖ πεπέμφθης λόγῳ; μὴ γλυκοῦ, φησιν, ἀλλὰ διὰ δύο ταύτας αἰτίας εὐχαριστῶ, μίαν μὲν, ὅτι μὴ βαπτίζων, φησὶν, οὐδὲ ἔδωκα τισὶν ἀφορμὴν λέγειν ὅτι διὰ τὸ τὸ ἐβάπτισα πολλοὺς ἵνα χρὸν ἐμαυτῷ μαθητῶν συσπασάμενος, ὄνομα ἐμαυτῷ περιποιήσωμαι διδασκάλου καὶ καθηγητοῦ. δι' ἑτέραν δὲ, ὅτι οὐδ' εἶχον τὴν τότε πρὸς Χειστοῦ ἀπόστολῶ, ἅμα δεικνὺς ὅτι, ἢ ἐγὼ ὁ ἀπεσταλεὶς πρὸς Χειστοῦ κηρύσσειν καὶ καταγγέλλειν τὸ αὐτὸ εὐαγγέλιον, μετὰ φειδοῦς καὶ ἀσανίας ἐβάπτισα, (καίτοι συγγενὲς ἐστι καὶ σωτήριον τὸ βάπτισμα τοῦ κηρύγματος,) ὑμεῖς οἱ μηδ' ὅλως ἀπεσταλέντες, πῶς τολμᾶτε διδασκάλοις ἑαυτοὺς ἀναφαίνειν; πῶς δὲ καὶ βαπτίζετε, ἢ ὅλως τί πράττετε, ὧν οὐκ ἐλάβετε χάρισμα ἢ ἀπόστολῶ; ὅτι οὐδένα ὑμῶν ἐβάπτισα. μέγα τινὲς ἐφρόνουν, ἀφ' ὧν ἐβαπτίζον, καὶ φησι, τί μέγα φρονοῦσιν; ἐγὼ εὐχαριστῶ μὴ βαπτίσας. τὸ δὲ λέγει, πλὴν ἐκείνων ἀπόνοιαν καθαιρῶν, ὃ τὸ βάπτισμα εὐτελίζων, μὴ γλυκοῦ. ἵνα μή τις εἴπῃ. διατί δὲ εὐχαριστεῖς μὴ βαπτίσας, ἵνα μή τις εἴπῃ, φησὶν, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. ἦ γὰρ ὢν ἐντελῶν ἐκείνων βαπτισάντων, τοσαύτη γέγονε δι' χόνοια, ὡς τῷ ἐκείνων ὀνόματι ἐπικαλεῖσθαι, τί ἂν γένοιτο ἢ Παῦλος ἵνα βεβαπτικὼς ἅπαντας; λοιπὸν οὐκ οἶδα. ἐκ τούτου δεικνυσι ὅτι οὐδὲ περισσοῦδαξον ἦν αὐτῷ τὸ βαπτίζειν, ὅσον οὐδὲ μέμνηται. τὸ δὲ λέγει καθ' ὑπέλλων τὸ φρόνημα ὧν ἐπὶ τῷ βαπτίζειν μέγα φρονούντων. οὐ γὰρ ἀπέστειλέ με Χειστὸς βαπτίζειν. τίνος οὖν ἕνεκεν ἐβάπτισεν, ἢ μὴ ἐπὶ τούτῳ ἀπέσταλτο; ἐφαμεν, ὅτι ἐπὶ τῷ εὐαγγελίζεσθαι μὲν ἀπεσταλτο, τὸ δὲ βαπτίζειν οὐκ ἐκωλύθη. ἐκ φιλοτιμίας δὲ, καὶ τὸ κρεῖττον ἐπρίᾳ. οὐ εὐαγγελίζεσθαι. τὸ μὲν γὰρ ἦν ἐπίπονον, καὶ σιδηρᾶς δεόμενον ψυχῆς. ὁ μὲν γὰρ, ἤδη πεπιστευκὼς βαπτίζῃ, ὁ δὲ

ἀπίστοις

ἀπίστοις εὐηγγελίζετο, πῶς οὖν καὶ ἐκινδύνευεν. οὐκ ἐν σοφίᾳ λόγου. οὐκ εἶπεν οὐκ ἐν σοφίᾳ γνώσεως, οὐδ' οὐκ ἐν σοφίᾳ λόγου. καλῶς. καὶ γὰρ ἡ σοφία γνώσεως εὐηγγελίζετο. διὸ καὶ ἀγωνιᾷ, ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. τί γὰρ ἐστι σοφώτερον ἢ εἰς γνῶσιν ἄμεινον καὶ λαμπρότερον, τὸ μαθεῖν καὶ διδάξαι ὅτι σταυρῷ θανάτῳ καθήργηται θάνατος; καὶ τὸ ἡμέτερον ὧν ἀνθρώπων γλῶς, μακρᾶς καὶ χαλεπωτάτης τῆς τοῦ Διαβόλου τυραννίδος ἠλευθέρωται; ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χειστοῦ. ἵνα μὴ βλάβιον ἐλάττωσιν ὑπομείνῃ ὁ σταυρός. ἦ γὰρ σοφία λόγου ἐκήρυξαν οἱ ἀπόστολοι, εἶχον τινὲς νομίζειν, διὰ τῶν ὧν λόγων πεῖθω, πεπεῖθαι τοὺς ἀνθρώπους, ἀλλὰ τῷ δύναμιν τοῦ κηρύγματος τοῦ Χειστοῦ, ὃ ὢν βλάβιν τοῦ κηρύγματος καὶ τοῦ σταυροῦ. νῦν δὲ τῷ ἀγραμμάτους καὶ ἰδιώτας ἀνθρώπους τὸν κόσμον πεπεικέναι, τῶν τοῦ Χειστοῦ δύναμιν ἀνακηρύττει. Κενοῦται γὰρ καὶ κατευτελίζεται ὁ σταυρὸς τοῦ Χειστοῦ ἤτοι τὸ ὑπὲρ ἡμῶν ἑκούσιον πάθος αὐτοῦ, τοῖς λόγῳ σοφίας καὶ πιθανότητι περιμύοις αὐτοῦ τὸ μεγαλεῖον καὶ τὴν θεότητα πρᾶσσεσθαι. πῶς γὰρ ἐστὶ τὸ ὑπὲρ λόγον καὶ φύσιν, λόγοις καὶ τέχνῃ τινὶ πρᾶσσεσθαι; τίς δὲ καὶ χρεία λόγων καὶ πειθοῦς, ὧν σημείων καὶ θαυμάτων μεῖζον καὶ φωνῆς ἀπάσης κεκραγότων, καὶ πάντα τὸν βουλόμενον ἐπὶ τὴν εὐσέβειαν καὶ τὸ κήρυγμα χειραγω-
» γούντων; Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστί. τοῖς
» δὲ σῳζομένοις ἡμῖν, δύναμις θεοῦ ἐστί. γέγραπται γὰρ, ἀπολῶ τὴν σοφίαν ὧν σο-
» φῶν, καὶ τὴν σύνεσιν ὧν συνετῶν ἀθετήσω. ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συ-
» ζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

Εἰκὸς εἶναι παρ' αὐτοῖς ἀπίστου, οἱ διέσυρον τὸν σταυρόν. φησὶν οὖν, μηδὲν ξενιθῆτε. τοῖς γὰρ ἀπολλυμένοις, τὰ τῆς σωτηρίας δοθέντα παρὰ θεοῦ, μωρία εἶναι δοκεῖ.

Δείκνυσι λοιπὸν, ὅτι οὐδὲ ἐνῆν λόγῳ σοφίας προσαγαγέσθαι τινὰς τῷ κηρύγματι. οὐ γὰρ σοφὶ τοῦ θεοῦ λόγος, οὐ μόνον οὐ προσάγει. ὀκνεῖ δὲ τοῖς ἀπολλυμένοις μωρία δοκεῖ. ἢ δὲ τοῦτο τί ἄντις ἔχοι λέγειν πρὸ τοῦ κηρύγματος, μὴ πάντα τῆς χάριτος αὐτῷ χορηγούσης; τοῖς δὲ σῳζομένοις ἡμῖν, δύναμις θεοῦ ἐστί. οἱ γὰρ μὴ ἐξεικόντες, ἀλλ' οἷς ἐστὶ σωτηρίας ἐλπὶς, ἐκ τούτου μάλιστα γινώσκομεν τὴν δύναμιν καὶ τὴν σοφίαν τοῦ θεοῦ. δύναμιν μὲν, ὅτι θανάτῳ θάνατον ἔλυσε, σοφίαν δὲ, ὅτι τούτῳ τῷ τρόπῳ ἀπολωλότας διέσωσεν. ποῦ σοφὸς; λαβὼν παρρησίαν αὐτὸ τῆς γραφῆς, λοιπὸν καθάπτεται αὐτῶν, ποῦ σοφὸς; περὶ Ἑλλήνων λέγων, ποῦ γραμματεύς; περὶ Ἰουδαίων. ποῦ συζητητὴς; τουτέστιν οἱ λογισμοῖς καὶ ἐρεύναις τὰ πάντα ἐπιτρέψαντες. οὗτοι γὰρ πάντες, ὡσανεὶ ἔλεγεν, ἐξαρτώσας τινὰ τῆς πλάνης ἐκ ἴσχυσαν. οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; πάντες γὰρ οἱ δοκοῦντες εἶναι σοφοὶ ἐμωράνθησαν, τῷ μὴ δυνηθῆναι αὐτοὺς εὑρεῖν ἄνωθεν ἐκ ἀλιέων καὶ ἀγραμμάτων κεκηρυγμένα καὶ πεπίστευται. πῶς δὲ ἐμώρανε; τουτέστι μωρὰν οὖσαν ἔλεγξε, τῷ μὴ ἰσχύσαι εὑρεῖν τὸ ἀληθές. ΑΛΛΟ. Σοφίαν τοῦ κόσμου, τὴν εὐγλωττίαν καλεῖ. καὶ γὰρ ταύτης χορηγὸς ὁ θεὸς. αὐτὸς γὰρ καὶ τὰς γλώσσας διεῖλε, καὶ ἑκάστῃ χαράκτηρας ἰδίους ἀπένειμε. καὶ τῇ Ἑλλάδι τὴν φωνὴν, αὐτὸς ἔδωκε τὴν λαμπρότητα,

Φωτ.

Φωτ.

Θεόδωρ.

πίστα. οἱ δὲ λοιποὶ ἐκ τοῦ αὐτοῦ ταύτῃ χρισάμενοι, δέλεαρ αὐτῷ τῆς ἀπάτης ἐτόρφυναν, καὶ πιθανὴν τὴν μυθολογίαν τῆς πλάνης ἠργάσαντο. κατηγορεῖ τούτων, ὁ τῆς εὐ-
» γλωττίας, ἀλλὰ τῆς ἐν αὐτῇ κρυπτομένης ψευδολογίας. Ἐπειδὴ γὰρ ἐν τῇ σο-
» φίᾳ ἐκείνῳ ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τὸ κη-
» ρύγματος, σῶσαι τοὺς πιστεύοντας. ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλ-
» ληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν
» σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. Ἐν τῇ σοφίᾳ. τῇ δὲ ὡῶν ὡρισμάτων φαι-
νομένῃ, οἷον οὐρανοῦ καὶ γῆς. ἐπειδή, φησιν, οὐκ ἔγνω ὁ κόσμος τὸν θεὸν διὰ τῆς τοιαύ-
της αὐτοῦ σοφίας τῆς ἐνθεωρουμένης τοῖς ὡρίσμασιν, εὐδόκησεν ὁ θεὸς διὰ τοῦ σταυ-
ροῦ σῶσαι τοὺς πιστεύοντας, ὅστις μωρία τοῖς ἀπίστοις καὶ ἀπολλυμένοις εἶναι δοκεῖ.
Κυείλλ. Σοφίαν δὲ, καὶ τὸν ἀνθρωπίνην ὀνομάζει ζῆνεσιν, καὶ τὴν εὐγλωττίαν, ἥτις αὐτὸ τὸ
τῆς λέξεως ἀνθηρὸν, ἵνα διδάξῃ, ὅτι νοῦ πρωτὴς ὁ θεὸς, καὶ φρονήσεως χορηγὸς
καὶ εὐγλωττίας, ἣ καί τινες αὐτοῖς, ἐφ' ἅ μὴ δεῖ ἐχρήσαντο. μωρίαν δὲ τὸ κηρύγμα-
τος, τὸν ὡῶν λέξεων ἀπλότητα φησίν. ἰδιῶται μὲν γὰρ τῷ λόγῳ ἦσαν οἱ θεασέσιοι
μαθηταὶ, πλούσιοι δὲ τῇ γνώσει. καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι. ἐὰν, φησιν ἐσταυ-
ρωμένον Ἰουδαίῳ, πίστευσον, εὐθὺς σημεῖα καὶ τέρατα ἐπιζητεῖ γνώεσθαι, πρὸς σύστα-
σιν τοῦ κηρύγματος. ἡμεῖς δὲ Χριστὸν κηρύσσομεν ἐσταυρωμένον. ὅσον γὰρ μόνον γνέσει
σημείων ἐπίδειξις, ἀλλὰ καὶ ἀληθείας ὅσον καὶ τὸ φαινόμενον. καὶ ὅμως τού-
τῳ τῷ δοκοῦντι ἀληθεῖ καὶ ῥωαντίῳ ὡς πρὸς ἃ ἀπαιτοῦσιν, ῥάγονται πρὸς τὸν πίστιν,
ὅσον μεγάλην δείκνυσι τοῦ θεοῦ τὸν δύναμιν. πάλιν Ἕλληνες σοφίαν ζητοῦσι παρ'
ἡμῶν, ἀλλὰ κακείνοις ἡμεῖς τὸν σταυρὸν κηρύσσομεν, ὅσον καὶ τὸ φαινόμενον,
μωρίας εἶναι δοκεῖ, θεὸν κηρύσσειν ἐσταυρωμένον, ἀλλὰ καὶ οὕτως πείθονται. ἆρα
γὰρ ταῦτα μείζου θαύματος τὸ ἐκ τῶν ῥωαντίων ὡς πρὸς ἃ αὐτοὶ ἐπιζητοῦσι πείθεσθαι
αὐτούς; ἢ καὶ οὕτως νοητέον. ἐπειδή, φησι, καὶ Ἰουδαῖοι σημεῖα ἐπιζητοῦσι, καὶ Ἕλ-
ληνες σοφίαν, εὑρίσκουσιν ἀμφότεροι ἃ ζητοῦσιν ἐν τὸν Χριστόν. πῶς; τοῖς μὲν γὰρ ἀ-
πίστοις Ἰουδαίοις, σκάνδαλόν ἐστι, καὶ τοῖς ἀπίστοις Ἕλλησι, μωρία δοκεῖ. οἱ δὲ λοι-
φησι, κλητοὶ δὲ ἐπίλεκτοι ἐξ αὐτῶν, εὑρίσκουσιν αὐτὸν ὄντα δύναμιν καὶ σοφίαν τοῦ θεοῦ.
τί γὰρ λέγεις ὦ Ἰουδαῖε; σημεῖα ἐπιζητεῖς; ἰδοὺ ὁ Χριστὸς, θεοῦ δύναμίς ἐστιν ἐν ὡῶν
σημείων πρωτική. καὶ σὺ τί λέγεις ὦ Ἕλλην; σοφίαν ζητεῖς; ἔχεις τὸν Χν σοφίαν ὄν
τα τοῦ θεοῦ. ἐπεὶ οὖν σημεῖα καὶ σοφίαν ἐπιζητοῦμεθα, κηρύσσομεν τὸν Χν ἀμφότερα
ὄντα τοῖς κλητοῖς. οἵτινες καὶ εὑρίσκοντες ἃ ζητοῦσι, πιστεύουσιν. οἱ δὲ λοιποὶ ἄπιστοι, σκαν-
δάλου καὶ μωρίας ἄξια τὰ ἀξιοθαύμαστα νομίζουσι. καὶ τί θαυμαστόν; καὶ γὰρ ὁ αὐ-
γὴς Ἥλιος σκοτεινὸς τοῖς ἀμβλυώπουσι τοῖς ὄψεσ ὁρᾶται. Ἰουδαίοις μὲν σκάν-
δαλον. σκάνδαλον εἶναι δοκοῦσι καὶ τὸ τῶν ὡρῶν ὄφιν. τίς γὰρ ὢν ἄπιστος, ἐν κοῦ
σκανδαλισθεὶς καὶ ἀπιστήσῃ; Ἕλλησι δὲ μωρίαν. οἷον εἶναι δοκοῦσι, θεὸν ἐσταυρω-
» μένον κηρύσσεσθαι. Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν θεοῦ
» δύναμιν, καὶ θεοῦ σοφίαν. ὅτι τὸ μωρὸν τοῦ θεοῦ, σοφώτερον ὢν ἀνθρώπων ἐστί,
» καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ, ἰσχυρότερον ὢν ἀνθρώπων ἐστίν. Εἶναι μὲν δοκεῖ, φησι,

σκάνδαλον

σκάνδαλον καὶ μωρία, πλὴν αὐτοῖς τοῖς κλητοῖς, φησί, δοκεῖ ὁ Χριστὸς καὶ τὰ αὐτοῦ πάθη, εἶναι δύναμις θεοῦ καὶ σοφία. ἆρα γε θαυμαστόν; αὐτοῖς δὲ τοῖς κλητοῖς. κλητοὺς, φησιν, οὓς ὁ θεὸς ἐκάλεσε διὰ τὸ ἀξίους εἶναι. ὅτι τὸ μωρὸν τοῦ θεοῦ. ὁ σταυρὸς μὲν δοκεῖ μωρὸν, πλὴν σοφώτερον ὢν ἀνθρώπων ἐστί. πῶς; οἱ μὲν γὰρ σοφοὶ καὶ φιλόσοφοι, περὶ ψυχρὰ καὶ ἀνόνητα ἠσχολήθησαν, ὁ δὲ σταυρὸς, τὸν κόσμον ἔσωσε. ἢ καὶ οὕτως. βούλει μαθεῖν ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον ὢν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον; ἀπ' αὐτῆς καὶ μόνης τῆς κλήσεως, ῥᾴον ἐστὶ τὸν καταγνῶναι. βλέπε γάρ μοι. ἀχὶ πολλοὶ σοφοὶ ἦσαν τῷ τῷ κόσμῳ σοφίαν; ἀχὶ πολλοὶ δυνατοὶ τούτῳ τῷ δυνάμει; ἀχὶ πολλοὶ εὐγενεῖς τῷ ἐπικαίρου εὐγένειαν; τί οὖν; μὴ τούτοις ἐποίησεν ὁ Χριστὸς ἑαυτοῦ μαθητὰς, καὶ δι' αὐτῶν ἐκλη-
» σιτεύμησε; ἀλλὰ μωρὰ τοῖς σοφοῖς. ἀλλὰ τοῦναντίον. ἀλλὰ τὰ μωρὰ καὶ τὸν κόσμον, καὶ τὰ ἀ-
» θενῆ καὶ τὰ ἀγενῆ, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο, ἀνθρώπους ἁλιεῖς, πένητας, ἀ-
γραμμάτους. καὶ δι' αὐτῶν ἐποίησε τὴν κλῆσιν ὑμῶν πάντων, καὶ σοφῶν καὶ ἰδιω-
τῶν, καὶ πενήτων καὶ πλουσίων, καὶ ἀσθενῶν καὶ ἰσχυρῶν, καὶ κατίσχυσε τοὺς εὐ-
γενεῖς ἐ ἰσχυροὺς καὶ σοφούς. ὅτι ὅσον αὐτοὶ γὰρ καὶ γὰρ ἐπιχειρῆσαι ἐβούλησαν, κόσ-
μον ὅλον μεταθῆναι, τοῦτο τὰ ἀσθενῆ καὶ τὰ μωρὰ ἀποφασίως κατεστράξατο. ἆρ' γε κα-
τησχύνθησαν οἱ δοκοῦντες εἶναι σοφοὶ καὶ δυνατοί; ἆρ' γε οὐκ ἐναργῶς ἀπεδείκνυ-
ται, ὅτι τὸ μωρὸν καὶ ἀσθενὲς τοῦ θεοῦ, σοφώτερον καὶ ἰσχυρότερον ὢν ἀνθρώπων ἐστί;
καὶ γὰρ μυρίων ἐπιχειρούντων στρέφειν τὸ ὄνομα τοῦ Χριστοῦ, γε μόνον γε ἐστράφη, ἀλ-
λὰ καὶ πλέον ἀνθεῖ, διὰ τὸ ἀσθενοῦς εἶναι δοκοῦντος σταυροῦ, τοὺς ἰσχυροὺς προσω-
σαμένου. ΑΛΛΟ. Οὐ μόνον ὅτι πᾶσα ἀνθρωπίνη διάνοια πλάνῃ τίς, κρινο-
μένη πρὸς τὸ σταθερὸν καὶ μόνιμον ὧν θείων καὶ τελειοπάτων νοήσεων, ἀλλ' ὅτι καὶ Τοῦ ἁγίου
ζήνηθες ἐστὶ τοῖς θεολόγοις ἀντιστρόφως ἐπὶ θεοῦ τὰ τῆς περήσεως ἀποφά- Διονυσίου
σεις. οὕτω καὶ ἀόρατον, φησὶ, τὸ λόγια τὸ παμφαὲς φῶς, καὶ τὸν πλυύμνητον,
καὶ πλυώνυμον, ἄῤῥητον καὶ ἀνώνυμον, καὶ τὸν πᾶσι παρόντα καὶ ἐκπάντων ἐυει-
» σόμενον, ἀνακάλυπτον καὶ ἀνεξιχνίαστον. Βλέπετε γὰρ τῶν κλήσιν ὑμῶν ἀδελ-
» φοί, ὅτι γ πολλοὶ σοφοὶ κατὰ σάρκα, γ πολλοὶ δυνατοί, γ πολλοὶ εὐγενεῖς, ἀλ-
» λὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. καὶ τὰ ἀ-
» γενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα
» καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. Ἐπισκέψασθε,
φησι, καὶ περισκέπτεσθε, πῶς μεγάλα δυνάται ἡ κλῆσις, ὅτι ἰδιώτας, οὕτω σφο-
δρὰ δόγματα μαθεῖν παρεσκεύασεν. ὅτι γ πολλοὶ σοφοὶ. τῷ τῇ κλήσει ταύτῃ καὶ τῇ πί-
στει, φησὶν, γκεῖτο πολλοὶ σοφοί. προσέθηκε δὲ τὸ πολλοὶ, ὅτι ἦσαν καὶ σοφοί τινες
πιστεύσαντες, οἷον ὁ Ἀρεοπαγίτης, ὁ Ἀνθύπατος, καὶ ἕτεροι. καὶ παντὸς χοῦ τὸ, πολ-
λοὶ, διαστὰν πρόσκειται, ὅτι ἦσαν τινὲς δυνατοὶ καὶ εὐγενεῖς πιστεύσαντες. καὶ σάρ
κα. καὶ τὸ φαινόμενον, καὶ τὸν παρόντα βίον, καὶ τῶν ἔξωθεν παίδευσιν. οὗτοι
γὰρ μάλιστα μωροὶ, οἱ πεπιστευκότες ἑαυτοῖς ὅτι ἐσθοί. διὸ καὶ δυσπραπάτως ἔ-
χουσι πρὸς τὰ ἴδια δόγματα. γ πολλοὶ δυνατοὶ. καὶ γὰρ οἱ δυνατοὶ καὶ οἱ εὐγενεῖς,

τύφου

τύφου πεπληρωμένοι, οἱ μὲν διὰ τὸν πλοῦτον, οἱ δὲ διὰ τὸ χύος, ἐξέλιπουσιν ἑαυτοὺς τῆς θεογνωσίας, καὶ γὰρ αἱροῦνται τῶν παρόντων καταφρονεῖν, ἀλλὰ τῶ μωρὰ τῦ κόσμου. καὶ παντα χοῦ τῶ ἀπροβούλιτα καὶ τῶ ἐυτελῆ προσελάβετο, ἵνα τοὺς σωζομένους ἀπίστους καταισχύνῃ. ἀκούσωμεν δέ, ἐξελέξατο, μὴ τῦτο ὑποπτεύσῃς ὅτι ἐργον ἔσχεν ὁ θεὸς, τοὺς μὲν πτωχοὺς λαβεῖν, τοὺς δὲ σωάστας ἀπωσασθαι, ἀλλ' ὅτι οἱ ἐυτελεῖς προσέδραμον μᾶλλον τῇ πίστει. οἱ γὰρ σωαστείας ὄντες ἐ σοφίας, ἑαυτοὺς ἀπεσχοίνισαν, ἀπαξιώσαντες παρὰ ἰδιωτῶν μαθεῖν, ὡς ὄγε θς, πάντας ἤθελε σωθῆναι. ἵνα τοὺς σοφοὺς καταισχύνῃ. καταισχύνῃ δὲ παντα χοῦ ἀκούων, πῶς ἐκείνων νοσφιῶν οἰκείας σοφίας καὶ πλούτῳ περιῤῥιπτόντων, καὶ μὴ πιστευσάντων. αὕτη γὰρ νίκη μεγίστη τῦ Χριστοῦ, τὸ διὰ μωρῶν, ἥττα ἰδιωτῶν, νικῆσαι τοὺς σοφοὺς καὶ καταισχῦναι. μεγίστη γὰρ σοφῶν αἰσχύνη παρὰ ἰδιωτῶν ἡττᾶσθαι, καὶ μεγίστη νίκη Χριστοῦ, ὃν μωροῖς νικᾶν τοὺς σοφούς. τὰ ἰσχυρά. τοὺς μέγα φρονοῦντας ἢ σωάμει καὶ πλούτῳ. καὶ τὰ μὴ ὄντα. μὴ ὄντα καλεῖ, τοὺς μὴ δὲ εἶναι νομιζομένους, διὰ τῶν πολλῶν ἐυτέλειαν. ἵνα τὰ ὄντα καταργήσῃ. πάντα, φησὶν, ἐποίησεν ὁ θς, ἵνα παύσῃ αὐτοὺς τῆς ἀλαζονείας, καὶ τῦ νομίζειν ἑαυτοὺς εἶναί τι, καὶ ὑμεῖς ἔτι ἀλαζονεύεσθε, καὶ φρονεῖτε μέγα. μὴ ὄντα. μὴ εἶναί τι ἐδόκει τοὺς ἀπροσόλους ὡς ἐυτελεῖς. ὄντα δὲ ἐδόκει τοὺς Ἕλληνας, ὡς ὁμοίους εἶναί τι, μὴ ὄντας δέ. ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτῦ. χοῖ δὲ ἡμεῖς, φησὶ, καυχησόμεθα; ναὶ, φησὶν, ὑμεῖς οἱ πιστοὶ, καυχᾶσθαι ὀφείλετε. χὶ γὰρ ἐστὲ ὑμεῖς σὰρξ, ἀλλ' ἐξ αὐτῦ δὲ τῆς παλιγγενεσίας ἐλπνήθητε, καὶ θφοὶ ἐστὲ, ἀπ' αὐτὸν ἔχοντες σοφίαν, τὸν ἀπολυτρωσάμενον τῆς τυραννίδος, καὶ χὶ μόνον τῦτο, ἀπὰ καὶ ἁγιάσαντα διὰ τῦ βαπτίσματος, καὶ χὶ μόνον τῦτο, ἀπὰ καὶ δικαιώσαντα διὰ χαρισμάτων. ἡμεῖς οὖν διὰ παῦτα ὀφείλομεν καυχᾶσθαι, καυχᾶσθαι δὲ, χὶ ὅτι καρπώματί τινι ἰδίῳ τετύφωμεν ἐξιώθημεν, ἀπ' ἐμαυτὸν, ὅτι πάντα τῆς αὐτῦ δωρεᾶς καὶ φιλανθρωπίας τῆς » ἡμᾶς, τὰ τηλικαῦτα ὑπάρχει πλεονεκτήματα. Ἐξ αὐτῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χῷ » Ἰησῦ, ὃς ἐλπνήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρω- » σις, ἵνα καθὼς γέγραπται, ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω.

Ἐξ αὐτῦ δὲ ὑμεῖς ἐστὲ, φησὶ, τῦ θεοῦ. τυτέστιν ἀφελόμενος ὑμᾶς τῆς ἀλαζονείας ὁ θεὸς, τέκνα ἴδια ἐποίησε διὰ Ἰησῦ Χριστοῦ. τοιῦτον ὀφείλομεν καὶ ἡμεῖς φεύγειν τὴν ἀλαζονείαν, ἐχθρὰν οὖσαν τῦ θεοῦ, ὅς, φησι, Χριστὸς ἐλπνήθη ἡμῖν ἀπὸ θεοῦ σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς ἐ ἀπολύτρωσις, τυτέστιν ὃς ἐποίησεν ἡμᾶς, καὶ δικαίους καὶ ἁγίους, λυτρωσάμενος ἡμᾶς, ἀπὸ ὧν τοιούτων ἐναντίων. ἐπειδὴ γὰρ μωρὰ ἐξελέξατο, σοφὰ αὐτὸς ἐποίησε καὶ δίκαια καὶ ἅγια. ὃς ἐλπνήθη ἡμῖν σοφία ἀπὸ θεοῦ. χὶ εἶπεν, ἐσόφισεν ἡμᾶς, ἀλλὰ δεικνὺς τὸ ἄφαρτον τῆς δωρεᾶς, φησὶν, ἐλπνήθη ἡμῖν σοφία, τυτέστιν ἑαυτὸν ἡμῖν ἔδωκεν. μεγάλα γὰρ ἦν τὰ περὶ τῦ ὄγου, οἷον θφίαν, δικαιοσύνην, ἁγιασμὸν, ἀπολύτρωσιν, προσέτηκεν τὸ ἀπὸ θεοῦ, ἵνα μὴ ἀλπνήσῃ αὐτὸν ὑπολάβῃς. καὶ ἀπολύτρωσις. ὅρα πῶς ὁδῷ περαίνει. πρῶτον γὰρ θφοὺς ποιήσας, ἀπήλλαξε τῆς πλάνης, καὶ τότε δικαίους ἐ ἁγίους τῇ τῦ

πνὶ τῦ ἁγίου πνεύματος ἐνοικήσει, καὶ οὕτως ἐλευθέρωσε πάντων ὧν ἐποίησε κακῶν. τῦτο γάρ ἐστι, φησὶν, ἡ ἀπολύτρωσις. ἵνα καθὼς γέγραπται, ὁ καυχώμενος ἐν κῷ καυχάσθω. πάντα, φησὶ, γίνεται παῦτα, ἵνα μηδεὶς ἑαυτὸν εἶναί τι νομίζῃ, μὴ δὲ ἐς ἑαυτὸν καυχῶνται, ἀλλ' ἐς τὸν θεόν. αἰνίττεται δὲ αὐτοὺς. ἦσαν γάρ τινες, » μεγάλα φρονοῦντες. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοὶ, ἦλθον γὰρ καθ' » ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τῦ θεοῦ. γὰρ ἔκρινα τι » εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.

Εἰρηκὼς ὅτι οὐ σοφία ἐμωράνθη, καὶ οἱ δοκοῦντες μωροὶ ἐξελέγησαν, προστίθησι. καὶ ἐγὼ δὲ αὐτὸς ὁ κήρυξ, χὶ ἦλθον συλλογισμοῖς παρεσκευασμένος, καὶ σοφίας ἀνθρωπίνης, φησί. λόγου ἢ σοφίας. τί γὰρ, εἰ καὶ ἠθέλησεν, ἠδύνατο, ἐπειδὴ, τὸ εἶναι ἐν σοφίᾳ; αὐτὸς μὲν χὶ ἠδύνατο, ὁ δὲ Χριστὸς ἠδυνάτο αὐτὸν ποιῆσαι σοφὸν, εἰ ἠθέλησεν. τὸ μαρτύριον τῦ θεοῦ. θέατρον γὰρ πᾶσι ἦν κηρύγματος Χριστοῦ. διὸ μαρτύριον αὐτὸν καλεῖ. γὰρ ἐκεῖνα. καὶ γὰρ ἐγὼ τῦτο ἐδοκίμασα, (ἐπειδὴ καὶ ὁ Χριστὸς,) τὸ ἀνευ, φησὶν, εὐγλωττίας κηρύξαι. εἰ μὴ Ἰησῦν Χριστόν. πῶς ἐξῶθεν φησὶν, χὶ ἐδεήθην σοφίας, ἀλλὰ μόνου Χριστοῦ ἐκήρυξα, καὶ τοῦτον ἐσταυρωμένον, » καὶ ὅμως πάντων, φησὶ, τῶν σοφῶν ἐνέφραξα τὰ στόματα. Καὶ ἐγὼ ἐν ἀσθενείᾳ » καὶ ἐν φόβῳ καὶ τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. καὶ ὁ λόγος μου καὶ τὸ κήρυ- » γμά μου, χὶ τῷ πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλὰ τῷ ἀποδείξει πνεύματος » καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ἦ τῷ σοφίᾳ ἀνθρώπων, ἀλλὰ ἐν δυνάμει θεοῦ.

Πῶς γὰρ χὶ ἀσθενὴς ὁ τοσούτων δυνάσεων διοικήσας; Μονονουχὶ λέγων, Φωτ. τί περισπᾷ ἑαυτὸν, οἱ μὲν τοῖς σοφοῖς, οἱ δὲ τοῖς δυνατοῖς; μήτι ταῦτα συμ- βάλλεται πρὸς τὸ κήρυγμα, ἡ δοκοῦσα σοφία καὶ ὁ πλοῦτος καὶ ἡ δύναμις; ἐνθυμή- θητε πῶς ἦλθον κηρύττων ὑμῖν. ἐν σοφίᾳ; μὴ γὰρ οἶδα ἔχοντες τὸ φαῦλον. μὴ ἐν δυνα- σείᾳ; καὶ μὴν τρέμων, καὶ φόβων καὶ ἀσθενῶν λόγων, οὕτως ἐκήρυσσον ἐν ὑμῖν τι οὖν ὑμεῖς τοῦτον λήθην λαβόντες, σοφοὺς καὶ πλουσίους καὶ δυνάστας ἐπιζητεῖτε, καὶ τούτοις ὑμῖν διδασκάλοις καὶ καθηγητὰς ἀποφαίνεσθε; καὶ τῷ φόβῳ. γὰρ μόνον, φησὶν, χὶ ἐδεήθη τῷ ἐμὲ κηρύξαι, μὴ μὰ καὶ ἐν φόβῳ καὶ τρόμῳ ὧν πολλῷ δὲ τοῖς διωγμοῖς, οὕτως ἐκήρυξα, ὅσον πολλοὺς δεικνύσι τὴν δύναμιν τῦ θεοῦ, ὅτι τῷ ἰδιωτείᾳ καὶ φόβῳ κηρυσσόμενος κατέσχε. καὶ βάλλῃ δὲ τοῖς παρ' αὐτοῖς σο- φοῖς, δεικνὺς πόσα μὲν ἐν τῷ κωλύματι τῦ πιστευθῆναι τὸ κήρυγμα, πῶς δὲ πι- στεύθη. χὶ ἐν πειθοῖς ἀνθρωπίνης. γὰρ ἐν τῷ κηρύγματι σεσοφισμένον διὰ τῆς ἔξω θεν εὐγλωττίας καὶ πανσεύσεως. μὴ ἐν ἀποδείξει πνεύματος. διὰ γὰρ τῦ ἁγίου πνεύματος καὶ ὧν ἐξ αὐτῦ σημείων καὶ δυνάμεων τοῖς ἀποδείξεις τῦ ἀληθῆ λέγειν ἐπῆρχόμεθα, καὶ διὰ τῆς χῆς ἡμᾶς ἐνεργούσης δυνάμεως. ἵνα μὴ πίστις ὑμῶν. ἐν τῷ ἐμοὶ ἐν ἀνθρωπίνῃ, ἴσως ἂν ὑπενοήθη, τῇ εὐγλωττίᾳ πορισθέσθαι, νυνὶ δὲ τὸ διὰ σημείων καὶ δυνάμεων εἶναι, τὸ ἀναμφίβολον περιέχει τῇ πίστει. ἢ γὰρ διὰ ὧν ἔργων καὶ σημείων ἀπόδειξις, τῆς ἐκ ῥημάτων βεβαιοτέρα.

» Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ ἐ τῦ αἰῶνος τῦτου, ἐ δὲ ὧν ἀρχόντων

» ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν θεοῦ τὴν μυστη-
» ρίῳ τὴν ἀπεκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἣν
» οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. Ἐπειδὴ ἅπας ἀνθρωπος ἀπόδειξιν τὴν
τῶν ἀνθρώπων σοφίαν δοκοῦσαν, μωρίαν οὖσαν, τὴν δὲ τοῦ θεοῦ δοκοῦσαν τοῖς ἀπολ
λυμένοις μωρίαν, ταύτην οὖσαν τὴν ἀληθῆ σοφίαν, Ὅτε λοιπὸν παρρεῖ καλεῖν αὐ-
τὴν σοφίαν. Σοφίαν δὲ λέγει, τὸ περὶ Χριστοῦ κήρυγμα, καὶ τὸ διὰ προφητῶν θεσπισθὲν τὴν
ὑπὸ οὐρανόν. ἐν τοῖς τελείοις. φυτέοις ἐν τοῖς πιστοῖς. ἐκείνοι γὰρ σοφοὶ καὶ τέλειοι, οἱ
τὰ ἀνθρώπινα ὑπιδόντες ὡς ἀσθενῆ, ἐ θεῖα ἐωσ τοῖς ἐκδεδωκότες. οὐ τοῦ αἰῶνος τούτου.
αἰῶνος τούτου λέγει, διὰ τὸ ἐπίκαιρον αὐτῶν, ἐ μὴ χρὶ τοῦ αἰῶνος τούτου εἶναι, ἐ μὴ
περιέναι εἰς τὸ μέλλον. τῶν καταργουμένων. καὶ γὰρ καταργοῦται ἐ συμπάντων
ται τῷ παρόντι βίῳ, ἀλλ' οὐχ οἱ δίκαιοι, ἀλλὰ Ὅτε μᾶλλον ἢ νῦν ἀνθοῦσιν.
ἄρχοντας δὲ καλεῖ, ἀντὶ τοῦ μόνους τοὺς παρ' αὐτοῖς φιλοσόφους, λογογράφους, ἑήτο-
ρας, οἳ καὶ διδασκαλοι ἐλέγοντο. ἐν μυστηρίῳ. μυστήριον καλεῖ, τὸ καθ' Χριστὸν
κήρυγμα, ὅτι οὐδὲ μία δυνάμις οὐρανία, ἤδει αὐτὸ πρὸ τοῦ γνῶσθαι, καὶ ὅτι ἄλλα
ὁρῶντες, ἄλλα πιστεύομεν. Χριστὸν ὁρῶν, ὡς φιλανθρωπον σέβω, δοῦλον γεγονότα
ἀκούων, τῆς κενοδοξίας αὐτὸν περσκοπῶ. τὴν ἀπεκεκρυμμένην. ἔτι γὰρ καὶ νῦν κέ-
κρυπται, τοῖς μὲν ἀπίστοις καὶ σφόδρα, τοῖς δὲ πιστοῖς, οὐ σφόδρα. ἣν προώρισεν ὁ
θεός. ἣν σοφίαν προώρισεν ὁ πατὴρ, φησι, τὴν περὶ ἡμᾶς κενοδοξίαν ἀποδεικνύ-
μενος, ἵνα ἡμᾶς δι' αὐτῆς δοξάσῃ. τὸ δὲ, πρὸ τῶν αἰώνων, διὰ τοῦ, τὸ σωτήριον πρὸς
τὸν πατέρα. ἣν οὐδεὶς τῶν ἀρχόντων. ἀντὶ μὲν νοήσας τοῦτο, καὶ περὶ τοῦ Πιλάτου καὶ
Ἡρῴδου. ἠγνόουν γὰρ. ἀντὶ δὲ καὶ περὶ τῶν Ἀρχιερέων καὶ Γραμματέων, οἵτινες ἠ-
γνόουν τὴν διὰ τοῦ σταυροῦ τοῦ Χριστοῦ ἐ τοῦ θανάτου γινομένην οἰκονομίαν. ἀπὸ δὲ τῶν
ἀρχόντων τοῦ αἰῶνος τούτου τοὺς ἐν τοῖς Ἕλλησιν ὀφοὺς, νῦν λέγει τοὺς τῶν Ἰουδαίων.
» Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ἀλλὰ καθὼς γέγραπται. ἃ
» ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοί-
» μασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἐπειδὴ τοῖς ἀνοήτοις ὁ σταυρὸς ἀδοξία
εἶναι δοκεῖ, ὅρα πῶς Χριστοῦ μιμητὴς, κύριον αὐτὸν δόξης καλεῖ, δεικνὺς ὅτι οὐ μόνον οὐ-
δὲν ἧττον δόξαν παρεβλάβη ἐκ τοῦ σταυροῦ καὶ τοῦ θανάτου, ἀλλὰ καὶ μᾶλλον ἐπὶ φι-
λανθρωπίᾳ ἐδοξάσθη. ΑΛΛΟ. ἢ μᾶλλον τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου δέ-
Οἰκουμ. ξῃ, ὡς πρὸς τὸν Ἡρῴδην καὶ τὸν Πιλᾶτον, ἀπλουστέρως νοήσεις τὸ ἑήτόν. ἢ γάρ,
φησιν, ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. οὐ γὰρ τοῦτον ἐμεμήνεσαν, φθόνου
μὴ ὑποκειμένου. ἢ δὲ πρὸς τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς ἐλέγχοις οἳ ἤδεσαν αὐτὸν
ὄντα τὸν Χριστὸν, (καὶ διὰ τοῦτο ἔλεγον οἱ γεωργοὶ τὸν ἀμπελῶνος, οὗτός ἐστιν
ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ὁ ἀμπελὼν ἡμῶν ἔσται, ἀλλὰ τῷ
φθόνῳ ἀποτυφλώθησαν,) οὕτως νοήσεις τὸ κατὰ τοῦτο, ὅτι εἰ ἔγνωσαν, φησιν, ὅτι προ-
σάντη ἔσται τοῖς ἔθνεσι σωτηρία ἐκτὸς σταυροῦ, οὐδ' ἂν ἦλθον εἰς τὸ σταυρῶσαι, ἐκτή-
κεσθαι μᾶλλον ἐκτὸς φθόνου αἱρούμενοι, ἢ ἵνα σωθῇ τὰ ἔθνη καὶ ἐκβάλη αὐτοὺς, καὶ
Ἰω. ἀντικαθέξῃ εἰς τὸν τόπον αὐτῶν. ΑΛΛΟ. ἐνκαίρως κύριον δόξης ἐκάλεσεν.

ἐπειδὴ γὰρ

ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίας εἶναι δοκεῖ, δείκνυσιν ὅτι μεγάλη δόξα ἐστὶν ὁ σταυρός.
ἃ δὲ ἡτοίμασεν ὁ θεός. τί δὲ ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν; τὸν Χριστὸν δηλα-
δὴ, καὶ τὴν διὰ τῆς ἐνανθρωπήσεως σωτηρίαν. ἀγαπῶντας δὲ, τοὺς πιστεύσαν-
τας καὶ ἐλπίδι γραφῆ. καὶ τοῖς οἷς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,
τῶν ἀγίων προφητῶν, φησὶ, προακουσάντων τὸ μυστήριον; καὶ φαμεν, ὅτι ἕτερόν τι
ἐστὶ τὸ ὡς ἀνθρωπον ἀκοῦσαι, καὶ ἕτερον τὸ ὡς προφήτην. καὶ γὰρ Ἡσαΐας φησὶ, προ-
σήκει μοι τοιοῦτον ἦς τὸ ἀκοῦσαι, οὐκ ἐπῆλθε συνελθεῖν αὐτῷ οἷς ἀνθρωπον, ἀλλ' ὅτι
» προσελάβετο τὸ προφητον. Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐ-
» τοῦ. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. τίς γὰρ οἶδεν ἀνθρώπων τὰ
» τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτως καὶ τὰ τοῦ θεοῦ οὐ-
» δεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. Εἰ οὖν οὐδεὶς ἔγνω, ὑμεῖς, φησὶ, πῶς μεμα-
θήκατε; ὅτι, φησὶν, ὁ θεὸς ἡμῖν διὰ τοῦ πνεύματος ἀπεκάλυψεν, οὐδ' ἀνθρωπί-
νως σοφίας. αὐτὴ γὰρ, οὐκ ἐξισωθήσεται τὰ μυστήρια. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ.
εἶτα δείκνυσι τὸ μέγεθος τῆς τοιαύτης μαθήσεως. ἢ μὴ γὰρ τὸ πνεῦμα, φησὶ, τὸ καὶ
τὰ βάθη τοῦ θεοῦ ἐπιστάμενον ἐδίδαξεν ἡμᾶς, οὐκ ἂν ἠδυνήθημεν μαθεῖν. ἐν τοῖς
ἀπορρήτοις γὰρ ἦν τὸ μυστήριον τοῦτο. Διὸ καὶ τοῦ πνεύματος ἐδεήθημεν διδασκάλου.
τὸ δὲ ἐρευνᾷ, οὐκ ἀγνοίας δηλητικόν ἐστιν, ἀλλὰ τοῦναντίον, ἀκριβοῦς γνώσεως. ὁ δὲ
ἁγίοις Γρηγόριος οὕτως. οὐχ ὡς πλειρᾳζόμενον, ἀλλ' ὡς τοῦ φῶς τὴν θεωρίαν. καὶ
τὰ βάθη τοῦ θεοῦ. βάθη τοῦ θεοῦ λέγει, διὰ τὸ βαθυτάτας αὐτοῦ καὶ διαλανθανούσας Σειρμὸς.
ἡμᾶς οἰκονομίας. ΑΛΛΩΣ. Βάθη τοῦ θεοῦ ἐστι, τῶν ἱερῶν γραμμάτων ἡ κε- Κυέλλ.
κρυμμένη καὶ ἀπόρρητος γνῶσις, ἣν ἔδωκε τὸ πνεῦμα ταῖς τῶν ἁγίων ἀποκαλύπτει ψυ
χαῖς, θεῖόν τινα νοῦν ἀπροφαίνον ἐν αὐτοῖς. ἡμῖν τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.
ὥσπερ γὰρ, φησὶ, τὰ καθ' ἕκαστον ἀνθρωπον οὐδεὶς οἶδεν ἀνθρώπων ἡμῖν τὸ ἴδιον αὐτοῦ πνεῦ-
μα, οὕτως γὰρ καὶ τὰ τοῦ θεοῦ τίς οἶδεν, ἡμῖν τὸ πνεῦμα τοῦ θεοῦ;
» Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ θεοῦ, ἵνα
» εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρω
» πίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευ- Οἰκουμ.
» ματικὰ συγκρίνοντες. Πνεῦμα κόσμου καλεῖ ὡς οἶμαι, τὴν ἀνθρωπίνην
σοφίαν καὶ παίδευσιν, ὅπερ, φησὶν, ὡς καταργοῦν τὸν σταυρὸν ὡς προεῖπον οὐκ ἐλά
βομεν, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς, ἀλλὰ τὸ πνεῦμα τὸ θεοῦ ἐλάβομεν, ἵνα εἰδῶ-
μεν τὰ χαρισθέντα ἡμῖν ἀπὸ τοῦ θεοῦ, τουτέστι τὰ κατ' οἰκονομίαν γενόμενα τοῦ χριστοῦ.
γνῶσιν διδακτοῖς ἀνθρωπίνης σοφίας. τοῦτον ἡμεῖς, φησὶ, τὸν παρ' ἀνθρώποις σο-
φὸν σοφώτεροι, ὅτι οἱ μὲν Πλάτωνα καὶ Πυθαγόραν ἔχουσι διδασκάλους, ἡμεῖς
δὲ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου. γνῶσιν εἰδωμοῦ χρεία
τῆς ἀνθρωπίνης σοφίας. ὅλα γὰρ πνευματικά. πνευματικοῖς πνευματικὰ συγ-
κρίνοντες. τοῦτ' λέγει, ὅταν, φησὶν, ἀνακύψῃ ξήτημα πνευματικὸν, ἀπὸ παρα-
δειγμάτων πνευματικῶν τὰς συγκρίσεις καὶ τὰς ἐπιλύσεις ἐπάγομεν, οἷον. ἢ
ἀνέστη τριήμερος ὁ Χριστὸς, ἐκτὸς Ἰωνᾶ τὰς ἀπορρήξεις παράγω καὶ τὴν μαρτυρίαν, ἢ

ἐλύνησε

ἐλθόντος παρθένος τὸν κῦ, ἐκ τῶν στειρῶν Αννὶς καὶ Ελισάβετ ἡ ἐπίλυσις.

» Ψυχικὸς δὲ ἄνθρωπος, γὰρ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ. μωρία γὰρ αὐτῷ ἐστὶ,
» καὶ γὰρ δύναται γνῶναι ὅτι πνευματικῶς ἀνακρίνεται. ὁ δὲ πνευματικὸς, ἀνακρίνει
» μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. τίς γὰρ ἔγνω νοῦν κυρίου ὃς συμβι-
» βάσει αὐτόν. Ψυχικὸν ἄνθρωπον καλεῖ, τὸν πάντα τοῖς λογισμοῖς τῆς ψυχῆς
διδόντα, καὶ μηδὲν πίστει δεχόμενον, μήτε νομίζοντά τινος ἄνωθεν δεῖσθαι βοηθείας.
ὃς τοῖς τῆς ψυχῆς νοήμασιν γὰρ δυνάμενος καταλαβεῖν τὰς διδασκαλίας τοῦ πνεύματος,
πιστεῦσαι δὲ λογισμῶν χωρεῖς γὰρ ἐθέλων, πάντα μωρὰ νομίζει τὰ τῆς οἰκονομίας τοῦ κυ-
Ιωαν. ρίου. ΑΛΛΩΣ. ψυχικός ἐστιν, ὁ πάντα τὰ σάρκα ζῶν, καὶ μήτω τὸν νοῦν φω-
τισθεὶς διὰ τοῦ πνεύματος, ἀλλὰ μόνην τὴν ἐμφυτον καὶ ἀνθρωπίνην ζήνεσιν ἔχων,
ἵνα τοῖς ἀπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός. ΑΛΛΩΣ. ἀντὶ τοῦ, ὅταν τι
πνευματικὸν καὶ ἀπόρρητον ᾖ, οὐκ ὢν πνευματικὸς τὰς μαρτυρίας ἀγομένου, οἷον ὅτι
ἀνέστη, παράγω τὴν τοῦ Ιωνᾶ μαρτυρίαν. ὅτι ἐκ παρθένου ἐγεννήθη, παράγω τὴν
τῶν στειρῶν γέννησιν. ψυχικὸς δὲ ἐστιν ὁ τὰ πάντα τοῖς λογισμοῖς τῆς ψυχῆς διδοὺς, καὶ μὴ
Φωτ. νομίζων ἄνωθέν τινος βοηθείας. ΑΛΛΩΣ. ὁ ψυχικὸς, χρείαν ἔχει ἀνακεί-
σεως καὶ ἕξεως τάσεως καὶ μαθήσεως πνευματικῆς, ἵνα παραδέξηται τὰ τοῦ πνεύμα-
τος. ἀλλὰ πρὸς τοῦτο ἀπαυθαδιζόμενος, καὶ δοκῶν ἀρκεῖσθαι τοῖς ἀνθρωπίνοις
λογισμοῖς, ἃ μόνον ἁδὴν ὧν ἀγνοεῖ καταλαμβάνει, ἀλλὰ καὶ τοὐναντίον ἐς πλείονα
καταβαπτίζόμενος ἀγνοιαν, τὸ ἐκείνου πάθος τὸ νόσημα, τοῖς τοῦ πνεύματος νόμοις πει-
θεῖται, καὶ ἥκιστα αὐτῷ μωρία, δέον ἑαυτῷ μόμφεσθαι, τοσούτοις καὶ ἀνθρωπίνοις
μέτροις, τὰ ὑπερφυῆ καὶ κρείττονα λογισμῶν μετρεῖν καὶ καταλαμβάνειν ἐγχεῖρή-
σαντι. ὁ δὲ πνευματικὸς χρῄζεται ἀνακρίσεως, ἀλλ' αὐτὸς πνευματικῶς καὶ θεο-
σόφως ἅπαντα δοκιμάζων καὶ κρίνων τελειοῦται τῇ γνώσει τοῦ πνεύματος. διὸ ὑπ' οὐ-
δενὸς ἀνακρίνεται. ἐπεὶ μὴν ὧν πίστων ὅτι οὐ διαφωνεῖ ἡ διδασκαλία πρὸς αὐτοὺς, ὑπὸ
δὲ ὧν ἀπίστων, ὅτι πολλῷ κρείττων ἐστὶ τῆς ἐκείνων ἀνακρίσεως, καὶ ὅτι χ μόνον οὐ-
Φωτ. Ἀπόδειξις ἐστὶ τοῦ ἠρημένου τὸ ἐπαγόμενον. πόθεν γὰρ δῆλον, φησὶν, ὅτι τὸν ἄρτον ὃν κλῶμεν κοινωνία τοῦ σώματος τοῦ χριστοῦ ἐστι, φυτέσιν ὅτι ἡ κοινωνία ἡμᾶς τοῦ σώματος σωάγει τοῦ χριστοῦ; πόθεν δῆλον; ὅτι ἓν σῶμα ἐσμεν οἱ καλούμενοι οἱ πάντες χριστῷ σωασπόμενοι ὡς τοῦ κοινοῦ σώματος κεφαλῆ. ἢ οὖν μὴ τῷ σώματι αὐτοῦ καὶ τῷ αἵματι ἡς κοινωνίαν σωαγόμεθα, τίνι ἂν ἑτέρῳ ἓν σῶμα ἦμεν καὶ ἐκαλούμεθα; ὅτι εἷς ἄρτος. ἐπειδὴ εἴτε κοινωνία τοῦ σώματος τοῦ κυρίου. (δοκεῖ δὲ, τὸ κοινωνοῦν ἕτερον εἶναι πῆ ἐκεῖνο ὃ κοινωνεῖ. ὅνωῦ θέλει δεῖξαι ὅτι οὐ κοινωνοῦμεν, ἀλλ' αὐτὸ τὸ σῶμα ἐσμὲν Χριστοῦ οἱ πάντες, ὥσπερ ἀμέλει σῶμά ἐστι τῆς κεφαλῆς τὸ λοιπὸν σῶμα. καθάπερ γάρ, φησιν, ὁ ἄρτος ἐκ πολλῶν κόκκων εἷς ἄρτος γίνεται, οὕτως καὶ ἡμεῖς, φησι, πολλοὶ ὄντες, ἓν γινόμεθα σῶμα Χριστοῦ. ἢ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. εἶτα ἐπάγει καὶ λογισμὸν τοῦ γινόμεθα σῶμα Χριστοῦ. τί γάρ ἐστι, φησιν, ὁ ἄρτος; δηλονότι σῶμα Χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; δηλονότι σῶμα Χριστοῦ. μετέχοντες γὰρ τοῦ σώματος τοῦ Χριστοῦ, εἰ ἡμεῖς ἐκεῖνο γινόμεθα, ἐπειδὴ εἷς ἄρτος ὁ Χριστός. ἐκ πολλῶν γὰρ κόκκων πῆ παδείγματος ὁ ἄρτος γινόμενος, καὶ ἡμεῖς οἱ πολλοὶ ὄντες τοῦ ἑνὸς μεταλαμβάνοντες, γινόμεθα ἓν σῶμα χριστοῦ. ἐπειδὴ γὰρ ἡ παλαιὰ ἡμῶν σὰρξ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν σαρκὸς νέας. βλέπε τὸν Ισραὴλ κατὰ σάρκα. ὑμεῖς γὰρ, φησι, κατὰ πνεῦμα ἐστὲ Ισραὴλ. οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας; καὶ ἐρώτησιν ἀνάγνωθι. ἐπειδὴ δὲ μέρος πῆ θύματος δίον τὸ στέαρ κατεκαίετο ἐν τῷ θυσιαστηρίῳ, τῇ ἐκτὸς αὐτὸ θύματος ἐσθίοντας, κοινωνοὺς ἐκάλεσεν οὐ τοῦ θεοῦ, ἀλλὰ τ θυσιαστηρίου.

» Τί οὖν φημί; ὅτι εἴδωλόν τι ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν ἐστιν; ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη, Δαι
» μονίοις θύει καὶ οὐ θεῷ. Μὴ γὰρ τ τό, φησι, λέγω, ὡς ἐχόντων τινὰ ἰσχὺν ὧν ἐδώλων ἢ ὧν θυομένων αὐτῶν, καὶ διατοῦτο σωαμένων ἢ ὠφελῆσαι ἢ βλάψαι; οὐχί, φησιν, οὐδενὸς ἐστὶν ἄξια, οὐδέν ἐστιν. ἐπειδὴ γὰρ ἐπιστυδαιολογήσατο πῆ ὧν ἐδώλων, ἐφοβήθη μὴ νομίσωσιν ἔχειν τινὰ ἰσχὺν αὐτά. ὅτι εἴδωλον τί ἐστιν.

Φωτ. Οὐχ ὅτι ἐστί τι τὰ εἴδωλα, διατοῦτο κωλύω ὧν ἐδωλοθύτων γίνεσθαι. περιέρηται γὰρ ὅτι ὧν μὴ ὄντων ἐστὶ καὶ ἀνυπάρκτων καθ' ὑστέραν, καὶ οὔτε βλάπτω οὔτε ὠφέλειαν ἔχουσιν ἰσχὺν περιποιοῦσί τινι. ἀλλὰ διατοῦτο κωλύω, ὅτι δηλ. ὧν ἐδώλων τοῖς Δαίμοσι προσάγεται ἡ θυσία. πῶς οὖν οὐκ αὐτόθεν βδελυκτὸν καὶ φευκτὸν τὸ μεταλαμβάνειν

τὸ μεταλαμβάνειν Δαιμονικῆς θυσίας; καὶ δ' αὐτῆς αὐτοῖς ἐκείνοις ἔρχεσθαι ἐς κοινωνίαν; εἶτα καὶ δηλ. τῆς προθέσεως τῆς κυριακῆς τραπέζης τὸ κυριακοῦ ποτηρίου, μᾶλλον ἐλέγχει τὸ ἄτοπον ὧν νενομίκασιν ἐδωλόθυτα. ἐ ὅρα τὸ ὀφὺν, καθ' ἀρχὰς μὲν ῥήματος ἢ ὥσπερ ὧν ἐλέγχων, ποιῶν δὲ, ὡς ἐνταῦθα, λίαν πικρῶς ἐπεμβαίνει. ἃ θύει τὰ ἔθνη. οὐ λέγω ὅτι ἔχουσι τινὰ ἰσχὺν τὰ εἴδωλα, ἀλλ' ὅτι, φησὶ, τὰ θύματα οὐ θεῷ, ἀλλὰ Δαίμοσι θύεται. μὴ γένοιτο πρέπει γὰρ τὰ μυστήρια τοῖς θεοῖς. καὶ γὰρ ἡ ἐ βασιλικὴ μετέχεις τραπέζης, ἐ ταύτην ἀφεὶς πῆ τὰς ὧν κακῶν ἔπρεχεις, εὖ ἐποίεις; οὐχ ὅτι ἔβλαπτον ἢ ὠφέλει ἐκείνη, ἀλλ' ὅτι ἀνύβριζες τὴν βασιλικὴν
» τράπεζαν. Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς ὧν Δαιμόνων γίνεσθαι. οὐ δύνασθε
» ποτήριον κυρίου πίνειν καὶ ποτήριον Δαιμονίων. ἢ δύνασθε τραπέζης κυρίου μετέ
» χειν, καὶ τραπέζης δαιμονίων. ἢ παραζηλοῦμεν τὸν κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ
» ἐσμέν; Εἰ γὰρ οἱ τῆς μυστικῆς μετέχοντες τραπέζης κοινωνοῦσι Χριστῷ, οἱ Δαιμόνων μετέχοντες τραπέζης δηλονότι Δαίμοσι κοινωνοῦσιν. οὐ δύνασθε ποτήριον κυρίου πίνειν. ἐπειδὴ ἐνταῦθα προαίνέσεως ἥρηκε, ἢ θέλω ὑμᾶς κοινωνοὺς ὧν Δαιμόνων γίνεσθαι, ἵνα μὴ ἡ προαίνεσις καθ' ὑφρονηθῇ, νῦν ὡς ἐνταῦθα ἀπὸ προφάσεως αὐτὸ τέθεικεν ἡ ὧν, ἢ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον Δαιμονίων. οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τραπέζης Δαιμονίων. ἐκ μόνων ὧν ὀνομάτων κυρίου καὶ Δαιμόνων, κατεσκεύασε πῶν κώλυσιν. ἢ παραζηλοῦμεν τὸν κύριον; μὴ κρείττονες αὐτοῦ τέθεικεν. ἢ ὠφελούμεθα καὶ πλακιζόμεθα τὸν θεὸν, ἢ δύναται καλάσαι ἡμᾶς; εἶτα ἐς τὸν ἐς ἄρτον ἀπαγωγὴν ἐξέρχεται. μὴ ἰσχυρότεροι αὐτοῦ
» ἐσμὲν καὶ πειράζομεν καὶ πλακιζόμεν; Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει.
» πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέ
» ρου ἕκαστος. πᾶν τὸ ὧν Μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν
» συνείδησιν. τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Ινα μή τις εἴπῃ αὐτῷ, ὅτι μετὰ καθαρᾶς ἐσθίω συνειδήσεως, ἔξουσίαν ἔχω τοῦτο ποιεῖν, ἐπάγει. ναί φησι, πάντα μοὶ ἔξεστιν, ἐπειδὴ αὐτεξούσιος πρὸς θεοῦ γέγονας, ἀλλ' οὐ πάντως ὅτι ἐ συμφέρει τὸ ἐσθίειν. ὁδῷ γὰρ πρεβαίνων, διάθεσιν σχοίης πρὸς τὰ εἴδωλα τῶν κοινωνεῖν ὧν τραπεζῶν αὐτῶν. ἀλλ' οὐ πάντα οἰκοδομεῖ. τοῦτο ὡς πρὸς τοὺς βλαπτομένους ἀδελφούς. ἢ γὰρ καὶ ἔξεστί, φησὶν, ἀλλ' οὐκ οἰκοδομεῖ τ ἀδελφόν σου τοῦτο ποιῶν, ἀλλὰ καὶ καταλύεις. μηδεὶς τὸ ἑαυτοῦ ζητείτω. μὴ γὰρ τοῦτό, φησι, μόνον ζήτει, ἢ καθαρᾶς σὺ ἐσθίῃς συνειδήσει, ἀλλ' ἢ τὸν ἀδελφόν σου ὠφελεῖ τὸ μνημόνευον. πᾶν τὸ ὧν Μακέλλῳ. ἐπειδὴ πολὺν κατέτεινε λόγον πῆ ὧν ἐδωλοθύτων, ὡς λοιπὸν αὐτοὺς, ὡς ἥκοι, καὶ τὰ ἐ ἀγοράς, ὥνια πωλούμενα φοβουμένους ὡς ὄντα ἐδωλόθυτα, ἀπάγει αὐτοὺς τοῦ τοιούτου φόβου. ΑΛΛΟΣ. Τὸ ἀντιπίπτειν δοκοῦν λύει. ἐπεὶ δὲ μὴ σφοδρότερος τ ἐδωλοθύτων κατέδραμε, ἐ τῇ ἐσθίοντας ἐποτίμησεν, ἵνα μή τις εἴπῃ, πῶς; ἀπροσκόπους ἄρα δεῖ ἡμᾶς ἐ τῶ ἀγορᾶς κρεῶν ποιεῖσθαι; ἢ ἀναγκαῖον σκοίνιμεν ἂν πρυτένεσθαι τὰς ἀγοράς; ἐ ἐπρωτᾶν ἐ ἀνακρίνειν μήτε ἐδωλόθυτον ἔσῃ; ἢ ὡς ποιῶν ἡμῶν συγκλείσομεν ἐ σωτελάσομεν τὸν βίον; ἵν' οὖν μὴ ποιῶ τὸ-

νὲς ἀντιτείνειν ἔχοιεν, πεφηνάσας αὐτὸς δῆλωσιν τῆς λύσεως, καί φησι. μήτε τὸ τῦ ἀγορᾶς ἀναγκαῖον εἶναι πραιτεῖσθαι, μήτε τὸ ἀνακρίνειν καὶ ἐπερωτᾶν, ἆρα ἡδωλόθυτόν ἐστιν ἢ οὔ; ἀλλ' ἐκείνων ἀπέχεσθαι μόνον, περὶ ὧν τις φήσας ἐμήνυσεν ἡδωλόθυτα εἶναι. Πᾶν τὸ ἐν Μακέλλῳ, φησὶν, ἐσθίετε, μηδὲν διακρίνοντες καὶ τὸ συνειδὸς, μηδὲ ἀνακρίνοντες καὶ ἐπερωτῶντες διὰ αὐτὸν, ἵνα ταύτην ἀμφίβολον οὖσαν θεραπεύσητε. οὐ γὰρ ἐβούλετο δυσπόλυτον αὐτοῖς τὴν μετάληψιν πρασκευάσαι τῆς τροφῆς, ἵνα μὴ ἐκτύπου ὀλιγωρήσαντες, τὸ πᾶν τῆς ἀκριβείας ὡς ἀδιάφορον τῆς ἐντολῆς οὔσης, εἰς τὸ φυλαχθῆναι πραλύσωσιν. μηδὲν ἀνακρίνοντες. μὴ ἀνακρίνοντες τοὺς πωλοῦντας, μὴ ἆρα ἡδωλόθυτόν ἐστιν; ὡς πλὴν πόρνοι τὴν συνείδησιν, καὶ καθαρίσαι αὐτὴν ἐθέλοντες. ἀγορά, φησιν, ἀζητήτως τὸ ἐπ' ἀγορᾶς ἐσθίετε. μηδὲν διὰ τὴν συνείδησιν ἀνακρίνοντες. τουτέστι μηδὲν ἕνεκεν αὐτῆς ἐπερωτῶντες καὶ ἀνακρίνοντες. δεῖ γὰρ αὐτὴν καθαρὰν καὶ ἀδιάκριτον ἐσθίοντας ἔχειν, καὶ μὴ δεῖσθαι πληροφορίας ἄλλης τῆς ἀπὸ τῆς ἀνακρίσεως. τῦ γὰρ κυρίου ἡ γῆ. ἡ γὰρ ἡ γῆ τῦ κυρίου ἐστὶ, διὰ λογότητα καὶ τὰ ἐν αὐτῇ, οἷον πάτε κρέα καὶ οἱ καρποί. ἡ οὖν τῦ κυρίου ἐστὶ, τί ἀνακρίνῃς; Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. ἐὰν δέ τις ὑμῖν εἴπῃ τῦτο ἡδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν. τῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Καλῶς τὸ θέλετε. οὔτε γὰρ προτρέψασθαι, οὔτε ἀπετρέψασθαι αὐτοὺς ἠβούλετο. μηδὲν ἀνακρίνοντες. διατί; ἵνα μὴ τῇ πλείῃ, φησὶ, πορισργίᾳ, νομισθῆτε διὰ ταύτην τὰ εἰδώλια. διὰ τὴν συνείδησιν. ὡς θέλοντες, φησὶ, καθαρὰν φυλάττειν ὑμῶν τὴν συνείδησιν. ἐὰν δέ τις ὑμῖν εἴπῃ. ἵνα τί μηκέτι ἐσθίωμεν; καὶ φησιν, ἀληθῶς μὲν πάντα τῦ κυρίου ἐστὶν, ὡς καὶ αὐτὴ ἡ γῆ ἐξ ἧς ἐκβλύσει ταῦτα, ἀλλ' ἐὰν φάγητε, τὴν συνείδησιν τῦ μηνύσαντος βλάπτετε. σκανδαλισθήσεται γὰρ, τί δήποτε ἀκούσαντες, χλευάσουσιν. τῦτο δὲ λέγει, φοβούμενος μήπως νομισθῶσιν ὡς ἰσχὺν τῶν ἡδώλων ἐχόντων γίνεσθαι τὴν κώλυσιν. τῦ γὰρ κυρίου ἡ γῆ. σὺ μὲν γὰρ οἶδας ὅτι τῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἐὰ τῆς τῶν ἡδώλων ἀσθενείας καταφρονεῖς. ἐκεῖνος δὲ τὴν πλάνην δεδουλωμένος, βλάβην ἐντεῦθεν καρπῦται, ἡδωλωθύτων σε κρεῶν μεταλαμβάνειν ἡγούμενος. τῦτο γὰρ διδάσκει τὰ ἑξῆς. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; ἐλευθερίαν καλῶν τὴν χάριν τῆς πίστεως. ἡ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; ᾗ ὅσιον, φησὶν, ἄλλον λοιδορεῖσθαι διὰ τὴν ἐμὴν τελειότητα. ΑΛΛΩΣ. ἐπειδὴ ἀνωτέρω ὅτε τὸ τῦ Μακέλλῳ πωλούμενα ᾔκουσεν ἐσθίειν, ἐπήγαγε, τῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, τουτέστι τὰ τῦ αὐτῇ πάντα. ταῦτα γάρ ἐστι τὸ πληροῦντα αὐτὴν, καρποί, καὶ ζῶα, καὶ τὰ ὅμοια. εἶτα προϊὼν λέγει. ἐὰν δέ τις ὑμῖν εἴπῃ ὅτι ἡδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, ἵνα μή τις εἴπῃ, τί οὖν, νῦν οὐκ ἔστιν ἡ γῆ τῦ κυρίου καὶ τὸ ἐν αὐτῇ; ἀλλ' ὅτε μὲν οὐκ ἐκώλυες ἐσθίειν τῦ κυρίου ὤν, νῦν δὲ οὐκ ἔστιν; ἵνα μὴ οὖν μὴ δῷ τὸν λέγειν τινί, πάλιν τίθησι τὸ αὐτὸ καὶ φησι. τῦ κυρίου μὲν ἡ γῆ καὶ τὰ τῦ αὐτῆς, ὅταν προσθῇ τὸν μηνύσαντα καὶ τὴν συνείδησιν αὐτῦ, οὐδεὶ χαίρειν ἔτι, ἀλλὰ δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν αὐτῦ, οὐδεὶ χαίρειν ἔτι. ἡ γὰρ τῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, αὐτὸς δὲ δεινὸς πρίσει ὑμᾶς ἔχειν ῥώσεως, καὶ ταύτης διὰ αὐτὸν ἀπέχεσθε τῆς ἡδωλοθύτου φοίνικος. ἡ ἐπεὶ τῦ κυρίου ἡ γῆ καὶ τὸ ἐν αὐτῇ, πολλῷ μᾶλλον καὶ ὁ ἄνθρωπος ὁ ῥῶν αὐτῆς. διὰ γοῦν τῦτον τὸν μηνύσαντα ὅς ἐστι τῦ κυρίου, καὶ τοὺς ἄλλους ἵνα μὴ μηνύοντας ἀκούσαντας ἵνα μὴ βλαβῶσι, μὴ ἐσθίετε. τῦ κυρίου γὰρ ἡ γῆ καὶ τὰ ῥῶν αὐτῆς, καὶ δεῖ ὡς ὁμοδούλων φρονπίζειν ὧν ἐν αὐτῇ. ᾗ γὰρ ὅτε μὲν ἔδει φαγεῖν, τῦτο ἔδει ἐννοεῖν, ὅτε δὲ μὴ ἐσθίειν, τῦτο προρᾶν, ἀεὶ ὡσαύτως ἔχοντας, καὶ ὅτε εὐχαρίστως ἐσθίειν, ὡς τῦ κυρίου πρασχόντος ἡμῖν εἰς βρῶσιν ταῦτα, καὶ νῦν ἠκότως μὴ ἐσθίειν, ὡς φυλαπομένους σκανδαλίζειν τοὺς τῦ κυρίου δούλους καὶ ὁμοδούλους ἡμῶν. Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτῦ, ἀλλὰ τὴν τῦ ἑτέρου. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; ᾗ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι, ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. Συνείδησιν. τὴν τῦ Ἕλληνος τὴν καταμηνύσαντος, ἵνα μὴ βλαβῇ. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται; ἵνα μή τις εἴπῃ, διὰ μὲν τὴν τῶν ἀδελφῶν συνείδησιν ὧν βλασφημούμεθα, καλῶς φαγεῖν κωλυόμεθα, περὶ δὲ τῶν Ἑλλήνων καὶ τῆς ξυνειδήσεως αὐτῶν ἃ δεῖν φρονπίζειν, φησί. τὶς γὰρ χρεία ἵνα τὸ ἐλευθεριόν μου, τουτέστι τὸ ἀπραάκτον μου καὶ ἐλεύθερον βρωμάτων πρατηρήσεως, κρίνηται ὑπὸ ἄλλης συνειδήσεως; τουτέστι καταμρίνηται, ὑπὸ τῆς τῦ Ἕλληνος συνειδήσεως; ἐρεῖ γὰρ, ὡς ἦκός. μῦθοι τὰ Χριστιανῶν, τὰ εἰδώλια δοκοῦσι βδελύττεσθαι, καὶ τὰ ῥῦ αὐτοῖς θυόμενα προθύμως ἐσθίουσιν. ᾗ δὲ ἐγὼ χάριτι μετέχω. διὰ τὴν χάριν τῦ θεοῦ, τὴν οὕτως μου τὴν ψυχὴν ὑψηλὴν πρίσασαν, ὡς περιεῖναι μηδενὶ τοιούτῳ μολύνεσθαι. θαῤῥῶν οὖν τῇ χάριτι τῦ θεοῦ ἐσθίω. Εἰ σύ, φησιν, ἐκ χάριτος θεοῦ λέγονας τέλφος, ὥστε ἡδέναι μηδὲν εἶναι τὰ εἰδώλια, καὶ καταμρτυρίζεσθαι, ὡς λέγεις, ἔχεις τὴν ψυχὴν, εἰς τὸ μηδὲν πραβλάπτεσθαι, καὶ μεταλαμβάνειν βουληθεὶς ὧν ἡδωλοθύτων, τί βλασφημεῖσθαι σαυτὸν πρασκευάζεις, καὶ διὰ τῦ τὴν πίστιν καὶ τὸν θεόν; καὶ τότε ἐπ' ἐκείνῳ, ὑπὲρ οὗ μᾶλλον ὤφειλες εὐχαριστεῖν, τελειωθεὶς τὴν διάνοιαν; αὐτὸς δὲ ἐφ' ἑαυτῦ τὸν λόγον ἐσχημάτισε, μετριώτερον τὸν ἔλεγχον ποιῶν. εἶτα ἐπάγει, εἴτε ἐσθίετε καὶ ἑξῆς. καὶ ὅτε ὧν ἐλέγχων ἔπαυσε, τότε τὸν ἐξ ἑαυτὸν λύσας μεσχηματισμὸν, ἐξ εὐθείας αὐτοῖς παραινεῖ λέγων. εἴτε ἐσθίετε καὶ ἑξῆς. ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ. ἐγώ, φησιν, ὑπὲρ τῦ χάριτι θῦμοι τὴν ψυχὴν ὑψηλὴν ἐν ἀμείλικτον ὑπάρχειν, εὐχαριστῶ ἐσθίων. διὰ τῦτο λέγει, μετέχων εὐχαριστῶ. διὰ τί οὖν ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ, τουτέστιν ὑπὲρ τῆς χάριτος τῦ θεοῦ, ἀπὸ ὧν Ἑλλήνων βλασφημοῦμαι; ἐροῦσι γὰρ ἔρωνας τινὰς καὶ ψευδολόγους τὰ μὲν εἰδώλια διὰ τὴν ἀπροφεφομένους, κοινωνοῦσι δὲ ὧν ἐκεῖσε πραπεζῶν. εἴτε οὖν ἐσθίετε, οὕτως, φησὶ, πάντα πράττετε, ἵνα τῦ δοξάζεσθαι τὸν θεὸν ἀφορμὰς πρέχητε. ὡς πάγκαλον νῦν γίνεσθαι, καὶ ἀδοξίαν τῇ πίστει προστρίβεται καθὼς εἴρηται. Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν

Τοῦ αὐτοῦ.

Φωτ.

Θεοδωρ.

Φωτ.

Φωτ.

11 » μὴ ζητῶν τὸ ἐμαυτῦ συμφέρον, ἀλλὰ τῶν πολλῶν ἵνα σωθῶσι. μιμηταί μου γίνεσθε
» καθὼς κἀγὼ Χριστοῦ. Ἀπρόσκοποι, φησὶ, γίνεσθε μηδεμίαν μηδενὶ φόρτον προσφέροντες
ἀφορμήν. ἔστω δὲ τοῦτο, ἐὰν μήτε Ἕλλην, μήτε Ἰουδαῖον σκανδαλίζωμεν, μήτε
μὴν τὴν ἀδελφούς. οὕτω γὰρ ἡ ἐκκλησία τοῦ θεοῦ. ὅρα δὲ τὸ μεῖζον, ἔσχαρ εἶναι
τε. καὶ γὰρ καὶ τοῖς ἄλλοις ἐφέλκεσθαι προσήκει πρὸς τὴν πίστιν, ἢ μὴν καὶ τὴν ἀ-
δελφὴν διώκειν. σημαίνει δὲ ἐκ τούτων τῶν ῥημάτων πάντας σκανδαλιζομένους ἐκ τοῦ
ἔθους αὐτὴν ἠδωλόθυτα. καθὼς κἀγὼ Χριστοῦ. εἶτα ἐπεισῆλθ' ὀλυσχερὴς ἐπόι-
ζησις, (ὑπευθύνους γὰρ αὐτοὺς ἐποίησε καὶ τῆς Ἰουδαίων καὶ Ἑλλήνων βλά-
βης,) ἑαυτὸν εἰς παράδειγμα τίθεικεν, εὐπαράδεκτον ταύτην κατασκευάζων τὸν
λόγον. πάντα πᾶσιν ἀρέσκω. ὡς ἔφ' ἑτέρων, εἰς πάντα πᾶσιν ἀρέσκω ὥστε καὶ ἄνω ἐλεύ-
θερος, τοῖς πᾶσι μέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. μὴ ζητῶν τὸ ἐμαυτῦ. ὡς ὅταν
ἔλεγχω, ἢν χρήμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου καὶ τῶν
συγγενῶν μου. τοῦτο γὰρ μίμησις Χριστοῦ, τὸ μὴ ἑαυτῦ, ἀλλὰ τῶν πολλῶν κήδεσθαι.
ἀλλὰ τὸ τῶν πολλῶν. Τὸ τῶν πολλῶν, φησι, συμφέρον, ἤτοι τὸ ἐμαυτῦ. ἐπιδείκνυ-
Φωτ. νιοι ξητῶν μὲν τὸ τῶν πολλῶν, ἄλλοι μὲν ἵνα κερδήσωσιν αὐτῶν πρὸς εὐνοιαν, ἢ
τὸ σῴζεσθαι λυσιτελοῦν, οἱ δὲ ἵνα πρὸς αὐτῶν ἐπανορθωθῶσιν, οἱ δὲ ἵνα ἄλλου τινὸς ἐπιτύ-
χωσι τοιούτου, αὐτὸς δείκνυσιν ἐφ' ὅτῳ αὐτοῖς ἐπουδάσθη ἀρέσκειν, καίφησιν, ὅτι
ἢ τὸ ἐκείνοις συμφέρον καὶ οὐχ' ἁπλῶς συμφέρον, ἀλλ' ἔτι σαφέστερον, ἵνα σωθῶσι,
Κεφ. ϛ'. » φησί. Ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέ-
» δωκα ὑμῖν τὰς παραδόσεις κατέχετε. θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ
» κεφαλὴ ὁ Χριστός ἐστι. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ. κεφαλὴ δὲ Χριστοῦ ὁ θεός. πᾶς
» ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν
» αὐτοῦ. πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ,
» καταισχύνει τὴν κεφαλὴν αὐτῆς. ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. Μέμφεται
αὐτοῖς ὅτι αἱ μὲν γυναῖκες, ἀκατακαλύπτῳ τῇ κεφαλῇ καὶ οὐ χρῶνται ἐν προσφέροντες.
οἱ δὲ ἄνδρες καὶ ἐκόμων, καὶ κατακεκαλυμμένοι ἦσαν τὴν κεφαλήν, ᾗ τῇ ἐυχῇ καὶ
προφητείᾳ, ἅπινα Ἑλληνικῶν ἦν ἐθῶν. ἀνιᾶται δὲ ὅτι καὶ πρὸν, περὶ τούτων
αὐτοῖς διέλεκτο, ὧν οἱ μὲν ἐπείθησαν, ὅις καὶ ἐπαινεῖ, οἱ δὲ οὔ, πρὸς οὓς πρὸ τῶν
φησιν. ἡδέτις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. ὅτι
πάντοτέ μου μέμνησθε. καίπερι περὶ τοῦ μὴ κομᾶν ὁ λόγος αὐτῷ, μὴ δὲ κεκαλύ-
φθαι ᾗ ἐυχῇ καὶ προφητείᾳ τὴν κεφαλήν. τῶς οὖν φησιν ὅτι πάντοτέ μου μέμνη-
σθε; πρόφασιν εὔλογον λαβών, ἐπαίρει τοὺς ἐπαίνοις αὐτούς. πρὸς μὲν τοὺς ὑπακού-
σαντας ὁ λόγος αὐτῷ, οὐχὶ πρὸ τῶν μὴ ὑπακουσάντων. θέλω δὲ ὑμᾶς εἰδέναι. πρὸς
τοὺς πεισθέντας τῷ λόγῳ τούτῳ διαλεγόμενος, τοὺς ἀπιστήσαντας διορθοῦται μὴ
δεῖν κεκαλυμμένῃ εὔχεσθαι κεφαλῇ. ἐπιφέρει δὲ καὶ τὴν αἰτίαν. παντὸς ἀνδρός.
πιστοῦ δηλονότι. αὐτοῦ γάρ ἐστι μέλη Χριστοῦ. ὁ αὐτῶν κεφαλὴ ὁ Χριστός, οὐ μὴν
τῶν ἀπίστων. Κεφαλὴ μὲν ἁπλῶν τῶν πιστῶν ἐστιν ὁ Χριστός, ὡς συσταμῶν καὶ συμ-
μέτοχον αὐτῷ μεληματῶν, διὰ τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος αὐτοῦ.
(διὰ αὐτῶν γὰρ

διὰ αὐτῶν γὰρ ἅπαντες ἓν σῶμα χρηματίσαντες, κεφαλὴν ἔχομεν αὐτόν.) κεφα-
λὴ δὲ τοῦ χριστοῦ ὁ θεὸς καὶ πατὴρ, ὡς γνησιώτερον καὶ προβολεὶς καὶ ὁμοούσιος αὐτοῦ.
κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, ὅτι καὶ αὐτὸς γνησιώτερον αὐτῆς καὶ προβολεὶς ὁμοού-
σιος ὑπάρχει αὐτῇ. ἀκόλουθος οὖν καὶ ἁρμόδιος ἡ ἀναλογία. ἢ δὲ τὸ, παντὸς ἀν-
δρὸς, καὶ ἐπὶ τῶν ἀπίστων ἐκλάβοις, κατὰ τὸν τῆς δημιουργίας λόγον ἐγχωρεῖ. τῶν
γὰρ ἄλλων ἀρχὴν τὸν ἄνθρωπον ἐπιτρέψας, αὐτὸν ὑπὲρ πάντων Διὰν μόνου ἐάσας μέ-
νειν ἐξουσίαν καὶ ἀρχὴν, μὴ ἐπισήσας αὐτῷ ἕτερον δεσπότην ἢ ἐξουσιαστήν. κεφα-
λὴ δὲ γυναικὸς ὁ ἀνήρ. διὰ τὸ καταρχειν καὶ ἐξουσιάζειν αὐτῆς. κεφαλὴ δὲ χρι
στοῦ ὁ θεός. τοῦτο διὰ τὸ αἴτιον μόνον. γίνεται γὰρ τοῦτο περὶ κεφαλῆς ἐνυπόστα, ὁ-
μοίως καὶ ἐπὶ Χριστοῦ ἐκ λαμβάνειν. ἀλλὰ τῶν μὲν ἀνθρώπων κεφαλὴ ὁ Χριστὸς,
κατὰ τὸ δημιουργικὸν, Χριστοῦ δὲ κεφαλὴ ὁ πατὴρ διὰ τὸ αἴτιον. τοῦτο δὲ
μὴ καὶ Χριστοῦ οὕτως κεφαλὴ ὁ θεὸς, καθότι περὶ μὲν τῶν χριστὸς, καθὸ ἐστὶ καὶ
νοεῖται ἄνθρωπος, κατὰ τὸ, ὁ πατήρ μου μείζων μου ἐστί. καὶ ἀναβαίνω πρὸς τὸν πα-
τέρα μου καὶ θεόν μου, καὶ θεὸν ὑμῶν. πᾶς ἀνὴρ προσευχόμενος. ὅκ ἀεὶ κωλύει
τὸν ἄνδρα κατακαλύπτεσθαι, ἀλλὰ μόνον ἐν ἐυχῇ καὶ προφητείᾳ. κατὰ κεφαλῆς ἔ-
χων. ὅκ εἰ ἦν κεκαλυμμένος τὴν κεφαλὴν, ἀλλὰ κατὰ κεφαλῆς ἔχων, ἀναιρῶν
οὕτως γε μόνον τὸ ἱματίῳ καλύπτεσθαι, ἀλλὰ καὶ κόμῃ. καὶ γὰρ καὶ ὁ κομῶν
κατὰ κεφαλῆς ἔχει τὴν κόμην δηλαδή. καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. νῦ-
μᾶς γὰρ ὁ θεὸς τοὺς ἄνδρας αὐτεξουσίους ἐποίησε, τοιούτους ὑπὸ οὐδένα ὄντας τῶν κτισθέν-
των ἀλλὰ πάντων ἀρχοντας. Διὸ γε δεῖ ἔχειν ἐπὶ τῆς κεφαλῆς ἐξουσίαν τοὺς γε ὄντως
ὑπὲρ ἐξουσίαν τινὸς ὄντας ἐν τῇ γῇ. τὸ γὰρ κεκαλύφθαι τὴν κεφαλὴν, ἐξουσίαν τι-
νὰ ἐπιπρέπειν τῇ κεφαλῇ. ἀντὶ γὰρ ἐξουσίας ἐστὶ τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα,
ὅπερ ἐστὶν εἶναι ἐπὶ τῆς γυναικὸς, δηλοῖ τὴν τοῦ ἀνδρὸς ἐξουσίαν, ὡς ὑποκεί-
μένης αὐτῆς. ὁ οὖν τὴν ἐλευθέραν κεφαλὴν ἐπιπρέπεις ἐξουσίαν, ἥκοτος κατ-
αισχύνει τὴν κεφαλὴν αὐτοῦ τὸν χριστόν. καταισχύνει τὴν κεφαλὴν αὐτῆς. πῶς;
ὅτι τε τὸ αὐτό ἐστι τῇ ἐξυρημένῃ, καὶ ὅτι δραστικήν τινα τὴν κεφαλὴν ἀποδεί-
κνυσι καὶ φυγάδα τῆς δοθείσης αὐτῇ παρὰ θεοῦ ἐξουσίας, ἤγουν τοῦ ἀνδρός. ἓν
γάρ ἐστι καὶ τὸ αὐτό. πῶς ἐστιν ἓν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ; ὁ πρὸς ἡμᾶς ἐξυρημέ-
νη, γοῦν τὴν φυσικὴν σκέπην ἔχει οἷον τὰς τρίχας, αὕτη δὲ ἔχει. καὶ ἐροῦμεν, ὅτι οὐ
καταπαλυτὸς ὅσον τὸ τῆς αὐτῶν ἦκον, καὶ τὸ ἐκφύσεως ἀποσείσασθαι κάλυμμα, ἤ-
γουν τὰς τρίχας. Εἰ γὰρ οὐ καταπαλύπτεται γυνὴ, καὶ κειράσθω. ἢ δὲ αἰσχρὸν
γυναικὶ τὸ κειράσθαι ἢ ξυρᾶσθαι, καταπαλυτέσθω. ἀνὴρ μὲν γὰρ ὀφείλει κα-
τακαλύπτεσθαι τὴν κεφαλὴν, ἥκων ἐν δόξα θεοῦ ὑπάρχων. γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.
Τοῦτο προθεὶς ἐδήλωσεν ὅτι γε κατὰ ἐυχὴν ἢ προφητείαν μόνον αὐτὴν δεῖ καταπα-
λύπτεσθαι, ἀλλὰ πάντοτε. ὥσπερ γὰρ τὸ ξυρᾶσθαι, οὐκ κατὰ ἐυχὴν μόνον καὶ προφητείας
ἀπρεπὲς, ἀλλὰ καὶ πάντοτε, οὕτω καὶ τὸ ἀκατακάλυπτον εἶναι. ἀνὴρ μὲν γὰρ οὐκ
ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν. κατασκευαστικῶς προάγει τὸν λόγον, εἰ-
τα αἰτίαν λέγει τοῦ μὴ δεῖν ἄνδρα κατακαλύπτεσθαι τὴν κεφαλήν, ἤγουν τὸν πρῶτον,
διότι κεφαλὴν

Διότι κεφαλὴ ἔχει τὸν Χριστὸν, ἀλλὰ ἄλλων. ἦκον καὶ δόξα θεοῦ ὑπάρχων.

Θεοδωρ. Εἰκὼν θεοῦ ὁ ἄνθρωπος, οὔτε κατὰ τὸ σῶμα οὔτε κατὰ τὴν ψυχὴν, ἀλλὰ κατὰ τὸ ἀρχικὸν μόνον. ὡς ἀπάντων τῶν ὄντων ἐπὶ γῆς τὴν ἀρχὴν πεπιστευμένος, ἦκον προσαγορεύεται θεοῦ. ἡ δὲ γυνὴ ὡς ὑπὸ τὴν τοῦ ἀνδρὸς ἐξουσίαν τελοῦσα, τοῦ ἀνδρός ἐστι δόξα, καὶ οἷον ἦκόνος ἦκών. ἄρχει μὲν γὰρ καὶ αὐτὴ ὧν ἄλλων, ἀλλ' ὑποτετάχθαι τῷ ἀνδρὶ προσετάγη. δόξα θεοῦ ὑπάρχων. ρυτέσιν ἀρχὴ ὢν θεοῦ, καὶ ὑπὸ ἀρχὴν ὢν θεοῦ μόνου. δεῖ οὖν τὸν ὄντα μὲν ὑπ' ἄγγελον ὄντα ἐν τῇ γῇ, αὐτὸν δὲ ἄρχοντα ἁπάντων τῶν ἐν τῇ γῇ καὶ αὐτῆς τῆς γυναικὸς, μετὰ ὧν συμβόλων τῆς ἐλευθερίας, ρυτέσι τῆς ἀκαταλύπου κεφαλῆς προσίεναι θεῷ.

Φωτ. Εἰς μὲν δόξαν θεοῦ ὀφείλει ὁ ἀνὴρ ὑποτετάχθαι τῷ θεῷ, καὶ ἁγ δόξαν ἀνδρὸς, ἡ γυνὴ τῷ ἀνδρί. τί δέ ἐστιν ἁγ δόξαν; εὐπροσώπως καὶ ἑκουσίως μετὰ χαρᾶς πράττειν τὰ ἀρέσοντα θεῷ. ὡσαύτως καὶ ἡ γυνὴ πράττειν τὰ ἀρέσοντα τῷ ἀνδρί. ὡς ὅτε κατὰ βίαν καὶ ἄκων πρίω καὶ δυσφορῶν, οὐκ ὑποτάσσεται ἁγ δόξαν θεοῦ. ὡσαύτως δὲ ἡ γυνὴ, ἁγ δόξαν ἀνδρός. ὥστε δεῖ προθύμως ἀκατακαλύπτως προσίεναι θεῷ, καὶ τὴν γυναῖκα ὡσαύτως κατακαλύπτεσθαι. δόξαν θεοῦ. τῆς ἀρχῆς αὐτὸ καὶ ἐξουσίας τὸ τιμιώτερον. δι' αὐτὸν γὰρ μᾶλλον, ἢ δι' ἄλλότι ὧν τὸ κόσμῳ δεδόξασται, καὶ τὸ ὑπερβάλλον τῆς χρηστότητος αὐλοῦ καὶ φιλανθρωπίας πεφανέρωται. ὡσαύτως δόξα ἀνδρὸς ἡ γυνή. τῆς γὰρ ἀρχῆς αὐλοῦ καὶ ἐξουσίας, αὐτὴ ἐστὶ τὸ τιμιώτερον, δι' ἧς μᾶλλον ἢ δι' ἑτέρου τινὸς ὧν ἄρχει, ἔστιν αὐτῷ ἐγκαλλωπίζεσθαι καὶ δοξάζεσθαι. γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. ρυτέσιν ἀρχὴ ἀνδρὸς, καὶ ὑπὸ ἀρχὴν ἀνδρός. δεῖ οὖν αὐλὴν μετὰ ὧν συμβόλων τῆς ὑποταγῆς εἶναι αἰεί. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. καὶ γὰρ ὑκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους. ὥστοι οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ. ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακαλύπτῳ τῷ θεῷ προσεύχεσθαι. Ταὐτὸ ὑποροχὰς καταλέγει τοῦ ἀνδρὸς, δι' ἃς αὐλῷ τὸ ἀρχὴν δέδοται. διὰ τοῦτο ὀφείλει. διὰ τὰς ἁγγέλους, φησὶν, αἰτίας ὀφείλει ἐξουσίαν ἔχειν, ρυτέσι καλύμμα, ἵνα φαίνηται ὅτι ὑπὸ ἐξουσίαν τυγχάνει. τὸ γὰρ καλύμμα κατωνένευκε καὶ κεκυφέναι πρέπει, ὅπερ σύμβολόν ἐστι καὶ δεικτικὸν τοῦ ἀρχεσθαι αὐτῷ. ἡ γυνὴ ἐξουσίαν ἔχειν. ρυτέσι τὸν τοῦ ἀνδρὸς ἐξουσίαν καὶ κυριότητα ἢπερ ὑπόκειται, ὀφείλει ἔχειν, καὶ ὑποδείκνυσθαι ἐπ' αὐτῆς τῆς κεφαλῆς. τοῦτο δὲ πῶς κατορθοῦται; διὰ τοῦ καταλύπτεσθαι. διὸ καὶ αὐλὸ τὸ κατακάλυμμα, ἡνίκα τὸς ὀφείλει ἐξουσία κληθείη, ὡς τῆς τοῦ ἀνδρὸς ἐξουσίας καὶ κυριότητος ἐνδεικτικὸν ὑπάρχον καὶ πρακτικόν. τὸ δὲ, διὰ τοὺς ἀγγέλους, τοῦτο μοι δοκεῖ ὑποδιαλοιῶ. ἐπειδὴ γὰρ αἰτίαν τοῦ ὀφείλειν ὑποτετάχθαι τῷ ἀνδρὶ τὴν γυναῖκα φησὶν, ὅτι ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀνάπαλιν δὲ, ἐ διατοῦτο δεῖ ἔχειν αὐλὴν τὸ κατακάλυμμα τὴν ἐξουσίαν τοῦ ἀνδρὸς ὁμολογοῦσαν, ἐπαγαγὼν, διὰ τοὺς ἀγγέλους, δηλοῖ ὅτι ἡ καὶ μὴ

καὶ μὴ τοὺς ἀνθρώπους αἰσχυνομένην οὐκ εἰθέλει τοῦτο ποιεῖν, ἀλλ' οὖν αἰσχυνθήτω τοὺς ἀγγέλους, οἱ μάρτυρες ἐπόπται γεγόνασι τῆς ὑποταγῆς αὐτῆς. αὐλοὶ γὰρ, ἐ μὴ ἀνθρωποι, ἐφορῶντες ἦσαν οὐ τὸν ἄνδρα ἀπὸ τῆς γυναικὸς, ἀλλ' αὐλὼ ἐκτὸς ἀνδρὸς τὴν ἀρχὴν τῆς γενέσεως λαβοῦσαν. διὰ τοὺς ἀγγέλους. ὁ Κλήμης ἐν τρίτῳ ὑποτυπώσεων, ἀγγέλους φησὶ τοὺς δικαίους καὶ ἀναρέτους. καταλυπέσθω οὖν, ἵνα μὴ ἐς πρόφασιν αὐτοὺς σκανδαλίσῃ. οἱ γὰρ ὄντως καὶ ἐν οὐρανοῖς ἄγγελοι, καὶ καταισχυνόμενοι αὐλὼ βλέπουσιν. ἡ τῆς τοῦ ἀνδρὸς, φησὶν, ἐξουσίαν καταφρονεῖς, καὶ τοὺς ἀγγέλους αἰδέσθητι, ἵνα μὴ αὐλοῖς ἐν ἴσῳ φαίνῃ τῇ ἀγυρμιδίῃ, καὶ οἷον ἀνταίρουσα κατὰ τῆς τοῦ θεοῦ θ' ὑπετάξεως ἐξουσίας. πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός. ἐπειδὴ πρὸ καταγγέλλει τὴν γυναῖκα, ἡτῶν ὅτι ἐκ τοῦ ἀνδρός ἐστι καὶ δι' αὐτὸν γέγονε, καὶ ὑπὸ τὴν αὐλοῦ ἐξουσίαν τελεῖ, νῦν διορθοῦται αὐτό. μὴ γάρ μοι, φησὶ, τὴν πρώτην λέγε δημιουργίαν, ἀλλ' ἐλθὲ ἐς τὸ νῦν. ἀὐ γὰρ τὸ νῦν ζητῆς, εἰς ἑκατέρου πρὸς τὴν ὕπαξιν δέουσι. εἶτα ἐπάγει, πλὴν κυρίῳ, ρυτέσι δὲ τὸν κύριον, ἐπειδὴ αὐλὸς ἐδημιούργησεν εἶναι αὐτὸς ἀμήλων ἀνώτερους. τὸ γὰρ πρῶτον, αἴτιον, αὐλὸς ὁ κύ. καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός. ὅρα σοφίαν Παύλου, ὑκ εἶπεν, ἐκ τῆς γυναικὸς, ἀλλὰ διὰ τῆς γυναικὸς, δηλονότι καὶ αὐλοῦ τὸ εἶναι διὰ γυναικὸς τὸν ἄνδρα αἴτιος ὁ ἀνὴρ, ὡς πρωταρκτικὸν αἴτιον. τὸ γὰρ πρῶτον ἡ γυνὴ ἐξ ἀνδρὸς οὐχὶ ὁ ἀνὴρ ἐκ γυναικός. τὰ νῦν δὲ, ἡ καὶ ὁ ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ πάλιν διὰ γυναικὸς ὁ ἀνὴρ καταρχή. διατοῦτο ὑκ εἶπεν, ἐκ γυναικὸς, ἀλλὰ διὰ γυναικὸς, ἵνα πρίνῃ πάλιν ἀρχὴν τὸν ἄνδρα. ἐπεὶ οὖν εἶπεν αὐλοὺς ἑαυτῶν ποιητικοὺς, καὶ μικρὸν πλημμυρισάμενος τὴν γυναῖκα ἐπάγει. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. τὸ γὰρ ἀρχέτυπον αἴτιον ὁ θεός.

» Ἡ γὰρ αὐλὴ αὐτὴ φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ ἀτιμία αὐλῷ ἐστι; γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐλῆς ἐστὶν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται. ἡδέτις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν ὑκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. Ὥστε, φησὶ, καὶ αὐλὴ τῇ φύσει πολεμεῖ, ὁ μὴ περιθέμενος. ὅτι ἡ κόμη ἀντὶ περιβολαίου. ἐπεὶ οὖν ἔχει ἐκτὸς φύσεως τὸ ὧν τριχῶν περιβόλαιον, ὀφείλει καὶ αὐλὴ περιβάλλεσθαι, ἵνα μὴ τοὺς φυσικοὺς ἀνατρέπῃ θεσμούς. δέδοται. ρυτέσιν ἀπὸ τῆς φύσεως. ὅρα, ἐπειδὴ εἶπε τῷ ἀκαταλυπτῷ ἔχειν τὸν ἄνδρα τὴν κεφαλὴν, ὀφείλει μὴ κομᾶν, ἀλλ' ἔχειν τὸ ἐλεύθερον, ὡς τὴν γυναῖκα καταικαλυμμένην ἀφίστι κομᾶν ἁγ σύμβολον τῆς ὑποταγῆς. ἡδέτις δοκεῖ φιλόνεικος εἶναι. ἐπειδὴ πρὸς ἐπτελοσόφους ἔγραφεν, οἱ διὰ συλλογισμῶν τὰ πάντα κατεσκεύαζον καὶ ἀνεσκεύαζον, φησὶν. ὁ καιρὸς νῦν τοῦ φιλονεικεῖν. ἡ γὰρ ἀναισχυντεῖτις πρὸς τὰ ἀγυρμία, ἡμεῖς, φησὶ, ἐ μὴ ἐκκλησία, ὑκ ἔχομεν ἔθος τοιοῦτον. τοῖον; τὸ φιλονεικεῖν. ἀλλὰ τὸ πείθεσθαι τοῖς ὑπαγμασι τῶν διδασκάλων μηδὲν ἀντιτείνοντες. ἢ ὅτι ὑκ ἔστιν ἔθος παρ' ἡμῖν, ἵνα ὁ μὲν ἀνὴρ κομᾶ καὶ καλύπτηται » τὴν κεφαλὴν, ἡ δὲ γυνὴ γύναιον. Τοῦτο δὲ παραγγέλλων ὑκ ἐπαινῶ, ὅτι ὑκ » ἐς τὸ κρεῖττον, ἀλλ' ἐς τὸ ἧττον συνέρχεσθε. πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, Κεφ. ζ'.

» ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τί πιστεύω. δεῖ γὰρ καὶ αἱ-
» ρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. σωθέντων οὖν ὑμῶν
» πάντων, ἐκ τίνι κυριακὸν δεῖπνον φαγεῖν. Παραγγέλλων, φησίν, ἐκ ἐ-
» παινῶ ὑμᾶς, ὅτι μὴ ἀγάλλεσθε ὅλως εἰς ἀνάγκην παραγγελίας τοιαύτης. ἔδει γὰρ
Φωτ. ὑμᾶς, μήτε δεηθῆναι εἰς τὸν παρανέσεως. ἐκ ἐπαινῶ, φησι, τὸ συνέρχεσθαι ὑμᾶς,
καίτοι ἐπαίνου ἄξιον ἦν, ἀλλ' αὐτοῖ αὐτὸ ψόγου καὶ κατηγορίας αἴτιον ἐπρίσατε,
ἅμα καὶ ἐν πρέσιν, ὅτι ἐφ' οἷς ἐπαινεῖσθαι αὐτοῖς ἔδει, ἀντὶ τούτου παραγγελίας
καὶ τὸ μὴ ἐπαινεῖσθαι ἑαυτοῖς ἐποιήσαντο. διατί δὲ ἐκ ἐπαινεῖ τὸ συνέρχεσθαι;
ὅτι ἐκ εἰ τῷ κρύπτουσι, ὥστε ἐδεῖ, ἀλλ' εἰ τῷ χείρονι συνέρχεσθε, ἤτοι εἰ τῷ ἀ-
τιμάζειν τοὺς ἀδελφοὺς καὶ καταισχύνειν, καὶ τὸν ἀλαζονίαν ὑμῶν καὶ φιλονεικίαν
μᾶλλον ἐπιδείκνυσθαι. ὅτι ἐκ εἰς τὸ κρεῖττον. ἵνα τί ἐκ ἐπαινεῖς; ὅτι, φησίν, ἐκ εἰς τὸ
κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. δέον γὰρ ὑμᾶς καὶ ἐπιδοῦναι πρὸς ἀρετήν,
αὐτοὶ, καὶ ἃ ἔχετε διεφθείρατε. πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν. ἡ αἰτία
τοῦ νῦν κεφαλαίου αὕτη ἦν. τί αὐτοῖς δεῖπνα κυριακὰ ἐλύετε, ἐλύετε δὲ οὕτως.
καθ' ἑαυτοὺς ἰδίᾳ ἡμέρας ἤγουν ἑορτασίμους μετὰ τῶν ἰδίων μυστηρίων μεταλήψεν, ἐκεῖ
γε δεῖπνα κοινά, ὧν πλουτούντων παρασκευαζόντων, ἐ τοὺς πένητας συγκαλου
μένων. τοῦτο δὲ ἦν πρόφασις ἀγάπης καὶ παρηγορίας. ἐστὶ οὖν τὸ τούτῳ
ἀγαθὸν αἴτιον πεφθεῖρεν, ἐδειπνεῖτε τοῦτο γράφει. ἀκούω σχίσματα ἐν ὑμῖν. ἐκ
ἐνταῦθα δὲ εἰς τὸν προῖ τὸ κυριακοῦ δείπνου λόγον ἐληλυθεν, ἀλλ' ἄνωθεν ἐκκόπτει τὸ
κακόν. καὶ γὰρ καὶ τὸ μὴ σωθέναι καὶ ζωοδείπνειν μετὰ ὧν πενήτων, σχίσμα ἦν. καὶ
μέρος τί πιστεύω. τουτέστι μικρόν τι πιστεύω. τοῦτο λέγων, ἵνα μὴ ἀναισχυντο-
τέρους αὐτοὺς ποιήσῃ. οὔτε εἶπεν ἀπιστῶ, ἵνα μὴ δόξῃ μάτην ἐπιμᾶν. ἀλλὰ μι-
κρόν τι, φησι, πιστεύω. δεῖ γὰρ καὶ αἱρέσεις. αἱρέσεις δὲ ταῦτα, ὅταν τοῖς δογματικὰς
φησι, τοῖς περὶ πίστεως, ἀλλὰ τοῖς περὶ ὧν πράττουσιν. περικρίνονται γὰρ οἱ πλούσιοι τοῖ
πλουσίους, τοὺς πένητας ἀφίασι. ἵνα οἱ δόκιμοι. τὸ, ἵνα, ἐκ ἔστιν αἰτιολογικόν,
ἀλλὰ τῆς ὧν πραγμάτων ἐκβάσεως δηλωτικόν. τὸ γὰρ, δεῖ αἱρέσεις εἶναι ἵνα οἱ δό
κιμοι φανεροὶ γένωνται ἐν ὑμῖν, τοῦτό φησιν. ἐπειδὴ ὑμεῖς οἱ πλουσίοι σχίζεσθε
πλεονάζοντες τοὺς πένητας, ἐκ βαίνει ὅτι οἱ πένητες δι' ὑπομονῆς, εὑρίσκονται δόκι-
μοι. φανεροὶ γίνονται οὗτοι ὑμῖν. οἱ γὰρ στερεοὶ, μᾶλλον φῶτες τοῖς πιστοῖς ἐκλάμπου-
σι καιροῖς. δηλοῖ δὲ τοὺς πένητας, τοὺς διὰ τὴν ὑποψίαν ὧν πλουσίων γινομένους φέρον
τας, καὶ τοὺς ἐπὶ τὸ ἔθος διαφυλάττοντας. σωθέντων οὖν ὑμῶν. εἰ μὲν σύ-
νοδος, φησίν, ἀγάπην ἐνδείκνυται, πλὴν γε παιοῦται. ἐκ ἔστι κυριακὸν δεῖπνον
φαγεῖν. κυριακὸν δὲ αὐτὸ καλεῖ, κατὰ μίμησιν ἐκείνου τοῦ φρικτοῦ, ὅτε ὁ κς σωπά-
θητε τοῖς μαθηταῖς, ὡς ἔλεγε. τὸ, τῷ κυρίῳ ἀνακείμενον. σωέρχεσθε μὲν ἐπὶ τὸ
Θεοδωρ. φαγεῖν κυριακὸν δεῖπνον, ἀλλ' οὐ ποιεῖτε. τοῦτο δηλοῖ τὸ, οὐκ ἔστι. Κυριακὸν δὲ δεῖ-
πνον, τὸ δεσποτικὸν καλεῖ μυστήριον. ἐκείνου γὰρ πάντες, ὁμοίως μεταλαμβάνουσι, καὶ οἱ πενίᾳ συζῶντες, καὶ οἱ πλούτῳ κομῶντες, καὶ οἰκέται καὶ δεσπόται, ἐ ἄρχοντες καὶ ἀρχόμενοι. ἐδει γοῦν καὶ τοὺς κοινὰς πράξεις εἶναι κοινὰς, καὶ τῶν δε-

σποτικῶν μιμεῖσθαι, ἃ πᾶσι πρόκειται ὁμοίως. νῦν δὲ ἐχ οὕτως δρᾶτε. ἕκαστος γὰρ
τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν. δεῖπνον δὲ, κατὰ τῶν τότε συνή-
» θειαν λέγει τὸ ἄριστον. ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν,
» καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ
» τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴ-
» πω; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ ἐπαινῶ. Τὸ κυριακόν, φησιν, ἰδιωτικὸν συστρί
πτετε, ἀφαιρούμενοι αὐτοῦ τὸ κάλλιστον τοῦ καὶ σωτῆρος ὄνομα. εἶτα ἐ λαμάργοις
αὐτοὺς προκαλεῖ. προλαμβάνει, φησίν, ἐν τῷ φαγεῖν, καὶ οὐ καλεῖ τοὺς πένητας, ὡς
πρὸ δειλοικῶς μὴ οὐ χορτασθῆ. καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. δύο ἐγκλήμα-
τα αὐτῶν ἐξαγγέλλει, καὶ τὸ προλαμβάνειν τοὺς πένητας, καὶ τὸ, αὐτοὺς μεθύειν. ὅλως
γάρ, φησιν, ἐὰν μὴ κοινῶς ἔχητε τῆς τραπέζης ἐσθίοντες, διατί μὴ εἰς τοὺς οἰκεσι ὑ-
μῶν ἐσθίετε; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε; ὁ γὰρ ἰδιωτικὰ δεῖπνα ἐν
ἐκκλησίᾳ ποιῶν, καὶ τὸν ἄγιον τόπον ὑβρίζει, καὶ κυριακὸν δεῖπνον οὐ ποιεῖ. ἀμα
μῶ καὶ τοὺς πένητας καταισχύνει. καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας. οὐ γὰρ τρο
φὴν αὐτοῖς μέλει, φησὶν, ὅτι λιμώττουσιν, ὅσον ὅτι καταφρονοῦνται προσώμε
νοι καὶ μὴ συγκαλούμενοι, ἢ ὅτι καταισχύνονται ἐλεγχόμενοι ἐπὶ τῷ μὴ ἔχειν.
τί ὑμῖν ἔστω. εἶτα μετὰ τὴν ἀπόδειξιν τοῦ σχίσματος, ἡμερώτερον αὐτοῖς διαλέγεται. δέον γὰρ ἦν εἰπεῖν, ταῦτα γ' μυρίων θανάτων ἄξια; φησὶν, ἐπαινέσω ὑμᾶς ἐπὶ Φωτ.
τούτῳ; ἐκ ἐπαινῶ. τί ὑμῖν δοκεῖ. ἆρα παλόγως εἶπον ὑμῖν ἐ ἀρχόμενος τῆς
ὑποθέσεως ταύτης ὅτι ἐκ ἐπαινῶ; ἐχὶ καὶ ἀπ' αὐτῆς τῆς ὧν πραγμάτων ἀκολου
θίας ἐμάθετε, ὅτι οὐ ἐπαινουμένῳ πράγματι τῷ κυριακῷ δείπνῳ, ψόγου ὑμεῖς
ἀλλ' ἐκ ἐπαίνου ἄξια διαπράττεσθε; ὥστε ἐγὼ δικαίως ἐκ ἐπαινῶ, καὶ πόρρω καθ' αὐ-
» τὸ ἐπαινετὸν μᾶλλον τὸ ἔργον τυγχάνοντες. Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυ-
» ρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρ-
» τον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ εἶπε, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶ-
» μα τὸ ὑπὲρ ὑμῶν κλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ πο
» τήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν, ἐν τῷ ἐμῷ αἵ
» ματι. τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Καί γε γὰρ
ἦν ποτε ὁ Παῦλος, πῶς λέγει ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου; ἀλλὰ ναὶ πάντως.
καὶ γὰρ ναί, ὁ μοίαν ἐκείνης ἡμῖν ὁ κς παραπίθησι πρᾶτεξαν. ἢ ὅτι ἐδιδάχθην ταῦ-
τα ἀπὸ τοῦ κυρίου; ἵνα ἢ τὸ παρέλαβον, ἀντὶ τοῦ, ἐδιδάχθην; ὅτι ὁ κς Ἰησοῦς.
ταῦτα παρήγγειλεν ἃ λέγει παρέδωκα, ἵνα ὃν δείξηται ὅτι ὁ κς ἡμῶν κοινῆς πρα-
τέξεις γ' μόνον τοῖς ἁγίοις μαθηταῖς, ἀλλὰ καὶ αὐτὸν τὸν προδότην αὐτῆς ἠξίωσε, τὸν
ἐχθρὸν, τὸν παμπόνηρον, καὶ ὑμεῖς ἀπαξιοῦτε σωδειπνεῖν πένησι; καὶ ὅτι σωρουῦσθαι
μέλλων, τοιοῦτον ἡμῖν τὸ μυσαγωγίαν ἐσχάτην παρέδωκεν, ἀλλ' ὑμεῖς αὐτὴν διεφθείρε-
τε. ΑΛΛΩΣ. ἡ ὁ κς, φησὶ, κοινωνεῖν σε τοῦ οἰκείου σώματος καὶ τῆς μυστικῆς Φωτ.
πραπέζης ἐκ ἀπηξίωσε, σὺ τοῖς σοῖς ἀπαξιοῖς τὸν ὁμόδουλον; ἢ καὶ οὕτως. ἡ ὁ κς
ἐπίστησε σοὶ καὶ τῷ πένητι τὸ οἰκεῖον σῶμα τοῦ καὶ αἷμα τῶν πραπέζεων καὶ τὸν κρα-

τῆρα παραζῆσαι, σὺ θλιμᾶς τὴν τῆς σῆς ἀπροσίζειν πραότητος καὶ ὑπερορᾶν; ἢ ἐκεῖνος ἠυχαρίστει τὸ οἰκεῖον σῶμα μερίζων καὶ διδούς, σὺ δὲ πολλῷ μᾶλλον εὐχαριστῶς καὶ μετὰ πλείστης χαρᾶς ὧν ἐκεῖθεν στοι δωρηθέντων κοινωνοὺς καὶ σωτηριωτέρας λαμβάνεις τὰς πένητας; καὶ εὐχαριστήσας. ὅπως εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς. ἢ τίνων ἕνεκεν εὐχαριστίας καὶ σὺ ἔρχῃ, μηδὲν ἀναξίαν πρίῃ τῆς εὐχαριστίας, μεθύων, καὶ λιμῷ καὶ ὕβρει διαφθείρων τὸν πένητα. λάβετε φάγετε. οὗτος μὲν, φησι, κοινῇ δέδωκε πᾶσι, σὺ δὲ σαυτὸν ἀποκλείεις ὧν πενήτων ἐκ τῆς ἐκκλησίας σώματος. ὡσαύτως καὶ τὸ ποτήριον. ὧν γὰρ καὶ ἐπὶ τῆς παλαιᾶς ποτήρια, ἐν οἷς ἔσπενδον, καὶ μετὰ τὸ θῦσαι δέ, τὸ αἷμα ὧν ἀλόγων ἐν τοῖς ποτηρίοις δεχόμενοι, ἔσπενδον. ἀντὶ οὖν τοῦ αἵματος ὧν ἀλόγων, τὸ ἴδιον αἷμα ὁ κύριος δίδωσι. καλῶς δέ, ἐν ποτηρίῳ, ἵνα δείξῃ τὴν παλαιὰν ταύτην προσηγορευθῆναι. διὰ τοῦτο εἶπεν, ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι, οὐχὶ ὧν ἀλόγων. ἐν τῷ ἐμῷ αἵματι. ἀκούω τῶν ὧν ἀλόγων ὡς ἐπὶ τῆς παλαιᾶς. Ὅσακις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε ἄχρις οὗ ἂν ἔλθῃ.

Ὁ δὲ τὸν θάνατον καταγγέλλων τοῦ κυρίου, πᾶσαν τὴν δωρεάν, καὶ πᾶσαν τὴν φιλανθρωπίαν, καὶ πᾶσαν τὴν σωτηρίαν ἡμῶν συγκαταγγέλλει. ἄχρις οὗ ἂν ἔλθῃ. τοῦτ' ἔστιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ. Τὸ, ἄχρις οὗ ἂν ἔλθῃ, ἐν ὑπερβατῷ λυπέον. οἷον, ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, ἄχρις οὗ αὖτος ἔλθῃ τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, ἕως τότε τὸν θάνατον αὐτοῦ καταγγέλλετε. οὕτω τότε γὰρ, οὔτε ὧν ἄλλων τούτων μυστηρίων μᾶλλον ψόμεθα, εἰς τελειοτέραν ἐ μυσικωτέραν πολιτείαν ἐ ἀπόλαυσιν ἀναγόμενοι. Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως τοῦ κυρίου, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, ἐ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, ἐ ἐκ τοῦ ποτηρίου πινέτω. Αὐτοὺς αἰνίττεται, δεινοὺς ἀναξίους ὄντας, φιλοσοφοῦντας τοὺς πένητας. ἐπιδὴ ἀναξίως, φησὶ, τῇ μεταλήψει τοῦ δεσποτικοῦ προσέρχεσθε σώματος, διὰ τοῦτο πολλοῖς συμβαίνουσι νόσοι τε καὶ πάθη καὶ θάνατοι. πρῶτον δέ ἐστι τὸ ἀναξίως προσέρχεσθαι; ἔκτε ὧν ἄλλων ἁμαρτημάτων ὧν πράττετε, καὶ ἐκτὸς σωφρονοῦντες ὑμᾶς ἐς τὸ κυριακὸν δεῖπνον, ὑποφορᾶν τοὺς πλησίον, δι' οὓς ἐγκόπτει τὸ σωφρονεῖν. διὰ γὰρ τοῦτο αὐτοὺς τὸ κυριακὸν ἰδιωτικὸν ποιοῦντες ἐξυβρίζετε, καὶ τὴν ἐκκλησίαν ἐν ᾗ πρέπει τὸ κυριακὸν δεῖπνον σωφρονεῖν, ἀτιμάζετε, γαστρίμαργίας ἑαυτοῖς πράττειαν ἐν αὐτῇ ἀλλ' ἢ κυριακὸν δεῖπνον παρατιθέμενοι. καὶ τοὺς πένητας δὲ καταισχύνετε. διὰ γοῦν ταῦτα ἀναξίους τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου, ἑαυτοὺς παρασκευάζετε. ἔνοχος ἔσται. τὸ, ἔνοχος τοῦ σώματος καὶ τοῦ αἵματος, τοῦτ' δηλοῖ, ὅτι καθάπερ παρέδωκε μὲν αὐτὸν ὁ Ἰούδας, παρώνησαν δὲ ἀπ' αὐτὸν Ἰουδαῖοι, οὕτως ἀτιμάζουσιν αὐτὸν οἱ τὸ πανάγιον αὐτοῦ σῶμα χερσὶν ἀκαθάρτοις δεχόμενοι ὡς Ἰουδαῖοι κρατοῦντες αὐτὸν τότε, καὶ φόνου ἐπιφέροντες σώματι. διὰ δὲ τὸ ἔσθιειν πολλάκις, τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου, δηλοῖ ὅτι ἀκάθαρτος ψιλὸς ὁ θυόμενος, ἀπ' αὐτοῦ ὁ κύριος ὁ πρῶτος πάντων, ὡς δῆτεν διὰ τοῦτον ἐκ

φοβῶν αὐτούς. καὶ τοῦ αἵματος τοῦ κυρίου. ὡς αὐτὸς ὁ ἐκχέας αὐτό. οἱ μὲν γὰρ ἐφόνευσαν, αὐτὸς δὲ τῇ ἀναξιότητι νεῶ φονεύειν δοκεῖ. δοκιμαζέτω δὲ. περὶ τοῦ κυριακοῦ μὲν δείπνου ὁ λόγος αὐτῷ, ἀπ' ἐπιδὴ ἐς τὸν περὶ ὧν μυστηρίων φέρεσθε λόγον κατά τινα λόγου ἀκολουθίαν, τὰ προκείμενα διορθοῦται. τοῦτο γὰρ ἔθος τῷ Παύλῳ, πάντα τὰ παρεμπίπτοντα διορθοῦν. ἄνθρωπος ἑαυτόν. ἄλλος τὸν ἕτερον, (τοῦτο γὰρ, κρῖναι ἐστιν,) ἀπ' αὐτὸς ἑαυτόν.

» Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ
» σῶμα τοῦ κυρίου. διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι καὶ κοιμῶνται ἱκανοί. ἢ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ ὑπὸ τοῦ κυρίου παι
» δευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Οὐ πρὸ τῶν μυστηρίων φύσιν λέγει, ἀπὰ πρὸ ὧν πρεσίοντων ἀναξιότητα. μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. τοῦτέστι μὴ ὀρθοτάξων μηδὲ νόνωθεν, ὧν προκρινόντων τὸ μέγεθος. ἢ γὰρ μάθοιμεν, τίς πότέ ἐστιν ὁ προκείμενος, οὐ διενθυσόμεθα ἑτέρου, ἀπ' αὐτὸ τοῦτο ἡμᾶς νήφειν πρασκευάσει. διὰ τοῦτο πολλοὶ ἀσθενεῖς, ἐ πολλοὶ κοιμῶνται. διὰ τοῦτο. πρῶτον; διὰ τὸ ἀναξίως προσίεναι. τί οὖν, εἴποι τις, οἱ γυράσαντες οὐχ ἁμαρτάνουσιν ἐπεὶ μὴ κοιμῶνται πρόθυροι; ναί φησιν, ἀπ' οὐχ αὕτη μόνη ἀνταπόδοσις τῆς ἀναξίως προσιούσι, τὸ ἀπροθύμησιν πρὸς καιροῦ, ἀπ' ἀλλ' ἐκεῖ χαλεπώτατα τιμωρίαι. τὸ δὲ, ἱκανοί, τινὲς ἀντὶ τοῦ, πολλοί, ἐνόησαν, τοῦτέστιν ἀρκετοί ἐς τοῦτο ἀποθανοῦ τινές. ἢ γὰρ ἑαυτοὺς ἐκρινόμεθα. ἐκεῖ ἐστιν ἑαυτοὺς ἐκολαζόμεθα, ἀπὰ μόνον ἐκρινόμεθα, τοῦτέστιν ἢ κατεγνώσκομεν ἑαυτῶν μόνον ἁμαρτανόντων, καὶ ὧν ὥδε ἐ ὧν ἐκεῖ, ἀπολλαγησόμεθ' ἂν τιμωριῶν. ὁ γὰρ ἑαυτοῦ κατάγνωσιν ὡς δεῖ, οὐκ ἂν ἐς τὸ αὐτὸ ἁμαρτίαν πολλάκις ἐμπέσοι. κρινόμενοι δὲ, ὑπὸ τοῦ κυρίου. ἐπεὶ οὖν τὸ οὕτως κοῦφον οὐ τριοῦμεν, τοῦτέστι τὸ καταγνώσιμον ἑαυτῶν, οὐδὲ οὕτως ἀφειδῶς ἡμῖν ὁ θεὸς κέχρηται, ἀπὰ ὥδε παιδεύει, ἵνα ἐκεῖ ἐλεήσῃ. παιδευόμεθα. οἷον νουθετούμεθα. οὐ γὰρ εἴπερ τιμωρούμεθα, ἀπὰ παιδευόμεθα, ὡς νουθεσίας καὶ διορθώσεως γινομένης. ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. κόσμον φησὶ τοὺς ἐν ἀπιστίᾳ καὶ ἁμαρτίᾳ ἀνθρώπους. φησὶ δὲ ὅτι οἱ πιστοὶ καὶ θεῷ πριαπούδαιοι ὥδε λαμβάνουσι τὰς ἁμαρτίας, ἵνα μὴ μετὰ ὧν λοιπῶν ἐκεῖ δώσουσι δίκην.

» Ὥστε ἀδελφοίμου, σωφρονοῦντες ἐς τὸ φαγεῖν, ἀπίλοις ἐκδέχεσθε. ἤδη τις πεῖνᾷ,
» ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ ἐς κρίμα σωφρονῆτε. Τὰ δὲ λοιπὰ ὡς ἐλθὼν διατάξομαι.

Εἰς τὸν πρότερον ἦλθε λόγον. ὅρα δὲ, οὐκ ἔστιν τοῖς πένησι μεταδίδοτε, ἀπὰ τὸ σεμνότερον, ἀπίλοις ἐκδέχεσθαι, ὡς κοινὸν ὄντων ὧν ἐκεῖσε ἐσφερομένων ἐδεσμάτων, ὡς ὅλῳ τῷ; φησι, μὴ πρίων, ἀνάξιός ἐστι τῆς μυστικῆς μεταλήψεως. Φωτ.
Ὥστε ἀδελφοίμου ἀπίλοις ἐκδέχεσθε. διατί; ἵνα μὴ ἀναξίως δειχθῆτε τοῦ δεσποτικοῦ σώματος καὶ τοῦ αἵματος μετέχοντες, ἵνα μὴ ἀναξίως μετέχοντες, ἔνοχοι τοῦ σώματος αὐτοῦ τῆς ἀναιρέσεως, καὶ τοῦ αἵματος τῆς ἐκχύσεως γινόμενοι, ἀπαράιτητον τὸ κρίμα ἔξοιτε, ἵνα μὴ κρίματι πηλικούτῳ πρίσεως ὑποκότες, νόθις ἐ πάθεσι καὶ θανάτῳ ἐκδαπανηθείητε, ἵνα μὴ ὠὴ μὴ τύχῃς ἀποδῶτε τῷ ἔκπυσιν, ἐς ἀπέ

ραντον κόλασιν

ραντον κόλασιν ζῶν τοῖς ἀπίστοις ἐκδοθείητε. ἵνα τί πεινᾶ. γαστριμαργίας αὐτῶν
καταγνώσει, καὶ ὡς πανδίοις δυσπαραχέρυσι κέχρηται, ἀπὸ τῆς ἐκκλησίας ἵνα
τοὺς ἰδίους οἴκοις παρατέμπων. ἵνα μὴ εἰς κρίμα συέρχησθε. ἵνα μὴ εἰς κό-
λασιν συέρχησθε, ἐαυτῶν τὴν ἐκκλησίαν ὑβρίζοντες, καὶ τοὺς πένητας πτοροῦντες.
διὰ γὰρ ἀγάπιω συέρχεσθε εἰς τὸ δεῖπνα. ταύτης δὲ φησι οὔσης, βέλτιον ὑμᾶς
οἴκοι σιτεῖσθαι. τοῦτο δὲ φησιν, ἐφελκόμενος αὐτοὺς. τὰ δὲ λοιπά, ὡς ἂν ἔλθω.
ἢ πρὶ αὐτοῦ τοῦ πράγματος φησὶ τοῦτο, οἷον τοῦ κυριακοῦ δείπνου, καὶ τῶ ἄλλοις κε-
φαλαίοις διορθώσεως δεομένου, ἢ πρὶ ἑτέρου πράγματος δεομένου οὐ ῥημάτων,
Κεφ. ι'. 12 » ἀλλὰ τῆς αὐτοῦ παρουσίας. Περὶ δὲ τῶν πνευματικῶν ἀδελφοί, οὐ θέλω
» ὑμᾶς ἀγνοεῖν. οἶδατε ὅτι ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε ἀπαγό-
» μενοι. διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς τῶ πνεύματι θεοῦ λαλῶν λέγει, ἀνάθεμα Ἰησοῦν,
» καὶ οὐδεὶς δύναται εἰπεῖν κν Ἰησοῦν, εἰμὴ τῶ πνεύματι ἁγίῳ. Οἵ ον χαρισμά-
των. ἡ ὑπόθεσις τοῦ χωρίου αὕτη. παρὰ Κορινθίοις οἱ πιστεύσαντες, πνευματικῶν
ἤξιουν χαρισμάτων. καὶ οἱ μὲν γλώσσαις ἐλάλουν, οἱ δὲ ἐπροφήτευον, οἱ δὲ
ἑτέρων ἐπετύγχανον, ἅτινα χαρίσματα διχοστασίας πρόφασις αὐτοῖς ἐγένετο, νηπίοις
οὖσιν. ὅ, τε γὰρ τὸ μεῖζον χάρισμα λαβών, ἐπῆρτο κατὰ τῶν τὰ ἐλάττονα ἐχόντων.
ὅ, τε τὸ ἔλαττον λαβών, διεφθονεῖτο τῶ μεῖζον λαβόντι. ἔπαθε καὶ μάντεις ἦσαν
παρ' αὐτοῖς καὶ ψευδοπροφῆται. ἀλλ' ἐκ τῶν αὐτοῖς δῆλον τίς μὲν ὁ ἐν πνεύματι ἁ-
γίῳ προφητεύων, τίς δὲ ὁ τῶ Δαίμονι μαντευόμενος. ἐπεὶ οὖν καὶ τότε αὐτοῖς
ἐπάραπτε, λέγει σημεῖα μάντεως καὶ προφήτου, καὶ πάντα τὰ κατ' αὐτοῖς διορθοῦ-
ται. οἶδατε ὅτε ἔθνη ἦτε. περὶ τῶν ἐκ πνεύματος ἁγίου χαρισμάτων λέγει, δεῖ-
ξαι θέλων, τίς μὲν τῶν πνευματοφόρων, τίς δὲ τῶν μάντεων ἡ διαφορὰ καὶ ἐπίγνω
σις, καὶ φησιν. οἶδατε, ὅτι ἠδεῖσθε μαθεῖν παρ' ἐμοῦ, ὅτε ἔθνη ἦτε, τυτέστι τῆς
ἀπίστοις καὶ ἐθνεσιν ἐγκατελέγεσθε, ὅταν τρίγων ἔθνη ἦτε ἤγουν σωαριθμούμενοι
τῆς ἔθνεσι, πρὸς τὰ εἴδωλα ἀπήγεσθε μαντευόμενοι. καλῶς δὲ τὸ ὡς ἀπήγεσθε,
τυτέστιν ὅπως ἔτυχε, μήτε σώφρονος ὄντος λογισμοῦ ἢ σχήματος, μήτε εἰκόντες
ἀπόντες, ἀλλὰ μᾶλλα βίας ἄκοντες ἐνθουσιῶντες καὶ μανόμενοι. ἀπήγοντο δὲ, πα-
ρὰ τῶν ἰδίων αὐτοῖς Δαίμονος, ᾠδὴν ἐπιεικῆς ἔχοντες, ἀλλὰ πάντα μανιώδη. ὅτι οὐδεὶς
ἐν πνεύματι θεοῦ λαλῶν. μία μὲν διαφορὰ προφητῶν καὶ ψευδοπροφητῶν, ὅτι οἱ
μὲν καθεστηκότες καὶ μάλιστα σωφρονοῦντες, προλέγουσι τὰ ἐσόμενα. οἱ δὲ ψευ-
δοπροφῆται, ἐξεστηκότες καὶ μανόμενοι, καὶ ὥσπερ βίᾳ ὑπὸ τῶν κινούντων Δαιμόνων
ἀγόμενοι. δευτέρα δὲ, ὅτι οἱ μὲν ᾠδὴν βλάσφημον ᾄδουσιν ἀπαίσιον φθέγγονται,
ἀλλὰ καὶ θεολογοῦσιν ὡς ἄριστα, καὶ πάντα σεμνῶς λέγουσιν. οἱ δὲ βλασφήμους
τε καὶ ἀπηχεῖς φωνὰς ἀστρέυγονται. καὶ οὐδεὶς δύναται εἰπεῖν κν Ἰησοῦν, εἰμὴ τῶ
πνεύματι ἁγίῳ. εἶπε σημεῖον μάντεως, τὸ ἐξεστηκότας αὐτοὺς βίᾳ ἕλκεσθαι πρὸς τὰ εἴ
δωλα, καὶ προλέγειν δῆθεν τὰ ἐσόμενα. λέγει καὶ προφήτου σημεῖον. τρίτον τοῦτο;
ὅτι οὐδεὶς εἰπὼν πνεῦμα θεοῦ, ἀναθεματίζει καὶ ὑβρίζει τὸν κν. καὶ πάλιν οὐδεὶς
» αὐτὸν δύναται κν εἰπεῖν, μὴ ἔχων πνεῦμα ἅγιον. Διαιρέσεις δὲ χαρισμάτων
εἰσί, τὸ δὲ

» εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσὶ, καὶ ὁ αὐτὸς κς. καὶ διαιρέ
» σεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

Λοιπὸν εἰς τὸν περὶ χαρισμάτων ἦλθε λόγον καὶ φησι. Διαιρέσεις δὲ καὶ οἷον
μερίδες χαρισμάτων εἰσί. τῶ δὲ χαρισμάτων εἰπεῖν, ἐταύδυσε τὸν δοκοῦντα τὸ
ἔλαττον ἔχειν χάρισμα, μὴ ἀλγεῖν. εἰ γὰρ ἐδωρήθη, φησὶ, χάριν ἔχυ περὶ ὧν ὅ-
λως ἔλιφας, καὶ μὴ ἄλγει, ὑπερ ὧν ἔλαττον ἔλιφας. πάλιν δὲ τῶ προσθεῖ-
ναι, τὸ δὲ αὐτὸ πνεῦμα, πλέον παμυθεῖται. εἰ γὰρ ἐ ἐλαττόν θυ, φησὶ, τὸ χάρισμα, ἀλλὰ Φωτ.
τ' ἑνὸς ἐστι πνς δωρεὰ, ἐ τὰ μικρὰ καὶ τὰ μεγάλα. ΑΛΛΩΣ. χαρισματα μεν
αὐτὰ καλεῖ, τ' φιλοτιμίαν δεικνὺς τὸ δωρήματος, διακονίας δὲ, διδάσκων μὴ ἐταύρε
σθαι τύφις τινὰς ἀξιωθέντας, ἀλλὰ μετὰ συσολῆς ἐ μετριοφροζύνης ὡς εἰς ὑπηρεσίαν
ἐ διακονίαν ὧν πλησίον κλιθέντας, οὕτως ἐντυγχάνειν τοῖς προσιοῦσιν, ἐνεργήματα δὲ
δὲ πάλιν, αὐτὸν διὰ πλῶν τὴν πρᾶξιν. ὅρα ἀκριβῶς πῶς τὸ πανάγιον πνα, τραυῶς ἐ
κν ἐ θεὸν ὠνεκήρυξεν. ἦσαν γὰρ, διαιρέσεις δὲ χαρισμάτων εἰσὶν, τὸ δὲ αὐτὸ πνα. ἐ
πάλιν ἐπὶ τὸ πράγματος ἐπαγαγὼν, καὶ διαιρέσεις διακονιῶν ἐστιν, ὁ δὲ αὐτὸς κς, εἶ
τα ἔτι ἐπὶ τὸ αὐτοῦ μένας νοήματος ἐ ἦσαν, ἐ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ
αὐτός ἐστι θεὸς, ἐπισωάσθει λέγων, ἐπάσω δὲ δέδοται ἡ φανέρωσις τοῦ πνς πρὸς τὸ
συμφέρον, δεικνὺς ὅτι καὶ τὸ θεὸς ἐ τὸ κς, ἐπὶ τὸ ἁγίου ἔταξε πνς. πάντα γὰρ ὅσα προ
ἔπεσεν, εἰς τὸν τὸ πνεύματος σωῆξεν ὑπόστασιν, ἀ μόνον διὰ τὸ ἦσαν, ἐπάσω δέδοται ἡ
φανέρωσις τοῦ πνεύματος, ἀλλὰ καὶ διὰ τῆς ἐφεξῆς ὧν χαρισμάτων ἐπιθυμήσεως.
πάντα γὰρ διὰ τὸ πνεύματος δέδοται διατείνεται. καὶ συγκεφαλαιούμενος πάλιν
λέγει. πάντα δὲ ταῦτα, τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἐνεργεῖ. ὥστε φανερὸν ὅτι τὸ
πανάγιον πνεῦμα, καὶ κν καὶ θεὸν λαμπρῶς καὶ διαῤῥήδην ὑποτάσσεται ὁ θεῖος Παῦλος
θεολογεῖ. ἦ δῆτα τὸ μὲν πνεῦμα ἐπὶ τὸ ἁγίου πνεύματος ἐκλάβοι, τὸ δὲ κς καὶ θεὸς,
τὸ μὲν ἐπὶ τὸ ἰοῦ, τὸ δὲ ἐπὶ τὸ πατρὸς, καὶ οὕτως ἦδεν ἢ ἦπον ἦτε κυριότης καὶ ἡ θεότης
ἐξαὐτῶν τύτων μαρτυρηθήσεται τῶ ἁγίῳ πνεύματι. πῶς ἐ ἵνα πρότερον; πρῶτον μὲν
ὅτι διαιρεῖ τὰ χαρίσματα ἐ ἡμῶν τὸ πανάγιον πνεῦμα, τὸ αὐτὸ τοῦτο πράττειν καὶ τὸν
κν καὶ τὸν θεὸν φησιν. ὥστε ἅπερ ἐνεργεῖ τὸ πνεῦμα, ταῦτα καὶ ὁ κς, τῆ κυριότητι, καὶ
ὁ θεὸς τῆ θεότητι ἐνεργεῖ. ἡκότως ἄρα τὰ αὐτὰ ἐνεργοῦντι τῶ πνεύματι, καὶ ἡ κυ-
ριότης ὑπάρξει τοῦ ἰοῦ, καὶ ἡ θεότης τοῦ πατρὸς. ὥστε τὸ πνεῦμα, καὶ κς καὶ θεὸς. καὶ
μοι δοκεῖ καὶ ὁ θεασέσιος Παῦλος διὰ τοῦτο ἐπὶ μὲν τοῦ πνεύματος, τῶ ὑποστατικῶ ὀνό-
ματι χρήσασθαι, ἐπὶ δὲ ἰοῦ καὶ τοῦ πατρὸς, τοῖς κοινοῖς, ἵνα δεῖξῃ τοῖς σωοροῦσιν, αὐτὸ
τῆς ταυτότητος τῆς ἐνεργείας, τὴν ταυτότητα τῆς ἰσίας, καὶ τὰ αὐτὰ ὀνόματα τὸ
κς καὶ θεὸς, κατὰ τὴν ταυτότητα τῆς ἰσίας ἐπὶ τὸ πνεύματος ἐκλαμβάνειν.
ἦ μόνον δὲ ἐκ τῶν ἡρημένων ἡ κυριότης ἐ θεότης ἀποδείκνυται τὸ πνεύματος, ἀλλὰ
καὶ ἐκ τῆς ἐπαγομένης συγκεφαλαιώσεως. φησὶ γὰρ καὶ ἐν τούτοις πάλιν σαφέστε-
ρον, ὅτι πάντα ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιρῶν ἰδίᾳ ἑκάστῳ. τῶς ἐ
αὐτοκραπορικῶς καὶ κυρίως. καθὼς γὰρ βούλεται, φησιν. ὥστε ἦ πάντα ἃ ὁ πατὴρ
καὶ ὁ ἰὸς ἐνεργεῖ, ταῦτα καὶ τὸ πνεῦμα πρᾶει, ἐ θεϊκῶς καὶ κυρίως πρᾶει, (ὡς γὰρ βού-
λεται οὕτως

λεται οὕτως πρέπει· βούλεται δὲ δηλονότι, ὥσπερ ὁ υἱὸς καὶ ὁ θεός. γάρ ἐστιν ἀπόρροια, ἄπαγε, βούλημα.) φανερὸν ὡς ὁ υἱὸς ἂν εἴη τὸ πνεῦμα ὁ θεός. αὐτοκρατορικῶς τε γὰρ τὰ πατρὸς καὶ ὑοῦ ἔργα πρέπει, ὡς μὲν υἱὸς, ὡς δὲ θεός, πάντα πρέπει. ἰστέον δὲ καὶ τοῦτο ὡς ἐν πρίσματος μοίρᾳ ἀναφανέν, ὥσπερ τὸ αὐτὸ πνεῦμα ἐνεργεῖν ἑκάστοις φαινόμενος ἅπαντα, ἄλλοτε μὲν τῆς κτίσεως, προθέσεως κέχρηται), ἄλλοτε δὲ τῆς διὰ, ὁ πάλιν ἐνίοτε τῆς ἐν, δεικνὺς ὅτι παρ' αὐτῷ τῶν προθέσεων χρῆσις διάφορος. καθ' αὐτὸ γάρ φησι, καὶ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ, περὶ τοῦ αὐτοῦ διαλαμβάνων ἁγίου πνεύματος. ὁ γὰ

γενέσθαι. ἓν γὰρ ἐστὶ πάθημα ἡμῶν τὸ πνεῦμα. Διὰ ἑνός, φησὶ, πνεύματος ἐσχήκαμεν τῶν χαρισμάτων τὴν δωρεάν. ἐστὶ πάθημα δὲ εἶπεν, ἀπὸ μεταφορᾶς τῶν δένδρων, ὧν ἐκ τῆς αὐλῆς ἀρδομένων πηγῆς. καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. καὶ μὴ θαυμάσῃς, φησὶν, ἡμᾶς πολλοὶ ὄντες ἓν σῶμα ἐσμὲν, ὁ πρὸ τε καὶ ἐπὶ τοῦ ἀνθρωπίνου σώματος ἀπὸ πολλῶν μελῶν, ἓν ἐστιν εὑρεῖν τὸ σῶμα. τὸ δὲ πρὸς ἐκείνους ἁρμόδιον ῥήματα ὡς ἐκπεσόντων τῶν μελῶν τέθηκε, δεῖξαι θέλων ὅτι καὶ ἐλαττόντις ἔχει χάρισμα, οὐ πρὸς τοῦτο ἐκβέβληται τοῦ εἶναι μέλος τοῦ σώματος. καὶ γὰρ καὶ ἐπὶ τοῦ ἀνθρωπίνου συγκρίματος, καὶ τὸ ἐλαττον καὶ τὸ μειώτερον, εἰς ἓν συντελεῖ σῶμα. Ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χεὶρ, οὐκ εἰμὶ ἐκτοῦ σώματος, οὐ παρὰ τοῦτο ἐστὶν ἐκ τοῦ σώματος. καὶ ἐὰν εἴπῃ τὸ οὖς ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς οὐκ εἰμὶ ἐκτοῦ σώματος, οὐ παρὰ τοῦτο ἐστὶν ἐκτοῦ σώματος, ἢ ὅλον τὸ σῶμα ὀφθαλμὸς ποῦ ἡ ἀκοή, ποῦ ἡ ὄσφρησις; Ἐὰν τοῦτο εἴπῃ, ὅτι οὐκ εἰμὶ ἐκτοῦ σώματος, οὐ παρὰ τὸ μὴ εἶναι ἐκτοῦ σώματος. οὕτως οὐδὲ σὺ ἐπέδωκε τόδε ἔχῃς χάρισμα καὶ οὐχὶ τόδε, διὰ τοῦτο παύσῃ τοῦ εἶναι σῶμα ἐν Χριστῷ τοῖς ἄλλοις. ἢ ὅλον τὸ σῶμα ὀφθαλμός. ἐπέδωκε ὀφθαλμοῦ καὶ πόθεν ἐμνήσθη, ἐκ δὲ τούτου ἐλύπησεν ἀνιζάμενος καὶ αὐτοὺς ἐλαττώσαντινα ἔχειν ὥσπερ καὶ ἐπὶ τῶν μελῶν, νῦν δείκνυσιν οὕτως εἶναι συμφέρον, τὸ διάφορα εἶναι χαρίσματα. ὥσπερ γὰρ τὸ σῶμα διὰ τοῦτο ἐστὶ σῶμα, ἐπειδὴ ἐκ διαφόρων συνέστηκε μελῶν, οὕτως καὶ τὸ σῶμα τοῦ Χριστοῦ, τουτέστι τὴν ἐκκλησίαν, τοῦτο εἶναι φησὶ σῶμα, μὴ διαφορὰ τῶν χαρισμάτων καὶ διακονιῶν. Νῦν δὲ ὁ θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν. ἢ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. Ὅρα καὶ ἐνταῦθα τὸ πρανότερον καὶ χωρὶς τινὸς ἀμφιβολίας, τὸ πνεῦμα θεὸν ἀνεκήρυξεν. ἡττων γὰρ πρόβρα χέως ὅτι πάντα ταῦτα τὸ πνεῦμα ἐνεργεῖ, νῦν πάλιν περὶ αὐτῶν λέγων φησίν. ὁ θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν καθὼς ἠθέλησεν. μέλη γάρ, φησὶ τὰ χαρίσματα τὰ διάφορα παρὰ τοῦ πνεύματος ἁλιφότας ὠνόμασε. κἀκεῖ μὲν ἔλεγλε, ἐνεργεῖ διαιρῶν ἑκάστῳ καθὼς βούλεται, ὧδε δὲ, ἔθετο ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν. ἢ οὖν ὁ θεὸς οὕτως ἠθέλησεν, ἄτοπον τὸ ἀδημονεῖν ἐφ' οἷς ὁ θεὸς ἠθέλησε. τὸ δὲ καθὼς ἠθέλησεν, ἀντὶ τοῦ πνεύματος εἶπεν, ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες. καὶ πάντες ἓν σῶμα ἐβαπτίσθημεν εἰς ἓν πνεῦμα. καὶ ἐπειδὴ εἰς ἓν πνεῦμα πάντες, καὶ τοῦ πνεύματος τὸ θέλημα, καὶ θεὸς τὸ πνεῦμα, ἢ καὶ πρὸ ὅλης τῆς ἁγίας τριάδος νοήσεις. ἔστι γὰρ διαφορὰ τῆς ὁμοουσίου καὶ πανυμνήτου τριάδος. ἢ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; αὐτὸ τοῦτο προσῶν ἐκείνοις περφασιν μικροψυχίας, τὸ εἶναι διάφορα τὰ χαρίσματα, αὐτὸς εἰς περφασιν ἑνώσεως λαμβάνει. ἢ γὰρ μὴ ἔχητε, φησὶ, διάφορα χαρίσματα, ἔστε σῶμα ἦτε. σῶμα δὲ μὴ ὄντες, οὐ δὲ ἰσότιμοι ἂν ἦτε. οὐ γὰρ ἰσοτιμία καὶ ἕνωσις, ἐκ τοῦ εἶναι ἓν σῶμα ἐστίν.

» Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ χρείαν σου ἐγὼ ἔχω. ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ,

» τοῖς ποσὶ, χρείαν ὑμῶν ἐγὼ ἔχω. ὀπισθοφυλακοῦμεν μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος » ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖα ἐστί. ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τού- » τοις τιμὴν περισσοτέραν περιτίθεμεν. τὰ ἀσχήμονα ἡμῶν, εὐσχημοσύνην περισσοτέ- » ραν ἔχει. τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. Καὶ γὰρ θέλει εἶναι χρείαν σου οὐκ ἔχω, οὐχοὕτως ἔχει φύσεως τὸ πρᾶγμα. πείσας δὲ αὐτοὺς τοῖς ἔμπροσθεν μὴ ἀθυμεῖν τοὺς τὰ ἐλάττονα ἔχοντας χαρίσματα, νῦν καταστέλλει τὸ φρόνημα τῶν τὰ μείζονα ἐχόντων. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς οὐ δύναται λέγειν τοῖς λοιποῖς μέλεσι, χρείαν ὑμῶν οὐκ ἔχω. (ἑνὸς γὰρ ὄντος, ἅπαν χωλεύει τὸ σῶμα.) οὕτως οὐδὲ οἱ τὰ μείζονα ἔχοντες τοὺς τὰ ἐλάττονα ἔχοντας χαρίσματα δύανται ἐκβαίνειν τῶν τὰ ἐλάττονα ἐχόντων, ὡς οὐ χρήζοντες αὐτῶν. ἑνὸς γὰρ ἀπρόβλη, χωλεύειν ποιεῖ τὸ πλήρωμα τῆς ἐκκλησίας, οὐκ αὐτάρκων ὄντων τῶν τὰ μείζονα ἐχόντων χαρίσματα μόνων, οἰκοδομεῖν αὐτό. ἀλλὰ πολλῷ μᾶλλον. νῦν δεῖξαι θέλει ὅτι καὶ χρειωδέστερα τάχα ἐστὶν οἱ τὰ δοκοῦντα ἐλάττονα τῶν χαρισμάτων ἁλιφότες. καλῶς δὲ εἶπε τὰ δοκοῦντα, δεικνὺς ἐν δοκήσει μόνῃ τοὺς ἐλάττωσιν εἶναι, οὐ μὴν δὲ ἀληθείᾳ. τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν. φασί τινες περὶ τῶν ὀφθαλμῶν αὐτὸν τοῦτο ἠρικέναι, οἱ ἀσθενεῖς μέν ἐστιν ὡς πρὸς τὰ λοιπὰ μέλη, μέγα δέ τι συντελοῦσι τῷ σώματι, ἢ καὶ δοκοῦσιν ἀσθενεῖς εἶναι. Ὡς τε ἢ ἀσθενεῖς οἰεσθε ἑαυτοῖς, μὴ ἀθυμεῖτε. ἀναγκαῖοι ἐστέ. ὅτι δὲ οὐδὲ ἀσθενεῖς ὑμεῖς, δῆλον ἐκεῖνοι μᾶλλον οἷς μὲν οἴονται, δῆλον ἐντεῦθεν, φησὶν. ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, πλέον ἀξιοῦμεν προνοίας καὶ βοηθείας καὶ ἐξῆς. καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι. πάντα χοῦ τὸ, δοκοῦμεν, ἐπιλέγει, δεικνὺς ἀνθρωπίνως ταῦτα τὴν οἴησιν. τὸ δὲ, ἀτιμότερα, τινὲς φασὶν αὐτὸν περὶ τῶν τρόπων ἠρικέναι, οἱ τὴν μὲν κάτω χώραν ἁλιφασι, θάλπονται δὲ καὶ περνοοῦνται παρ' ἡμῶν, πλέον σχεδὸν τῶν λοιπῶν μελῶν. ἐπ' αὐτῶν γὰρ ἐσήρικται ἅπαν τὸ σῶμα. ἢ γ' οὖν τοῦτο λάβε, περὶ τῶν μελῶν τῶν ἀσχήμοσιν, ἃ δοκεῖ μὲν ἄσχημα εἶναι καὶ ἄτιμα, πλὴν ἔλοιτ' ἄντις ὅλου ἔχειν τὸ σῶμα γυμνὸν, ἢ ταῦτα. διὸ ἐπάγει, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν, καὶ εὐσχημοσύνην περισσοτέραν ἔχει. Εστὶ δὲ τοῦτο οἰκειότερον καὶ οὕτως ἐκλαβεῖν. ὑμῖν ἐλάττοισ εἶναί, φησιν, ἐκ τοῦ δοκεῖν ἐλάττονος χαρίσματος τυχεῖν. ἔστιν γὰρ ἔτις ἔτυχε μείζονος χαρίσματος, ἥδη δὲ μείζων. ἐπεὶ δὲ πολλοί τοι ἁλιφοτοι, τοι μηδ' ὅλως ἁλιφοτοι ἐλάττοις ἦσι. καὶ λέγω ἐλάττοισ, ἀλλὰ καὶ ἄθλιοι παντελῶς, ὡς ἐκεῖνοι οἱ λέγοντες, κἂν ᾖ τῷ σῷ ὀνόματι τάδε καὶ τάδε ἐποιήσαμεν; οἷς ἀπεῖπεν ὁ δεσπότης, μήτε ἦδέναι αὐτοὺς πρότερον. ᾖ γὰρ καλῶς ἐχρήσαντο τῷ χαρίσματι, ἀλλὰ καὶ ἀπορρεῖν κεφαλὴν ἐπόταπον, οἷος ἦν ὁ μὴ ἀκολουθῶν τῷ Χῷ καὶ σημεῖα ποιῶν, οἷος αὐτὸς ὁ Ἰούδας. αὐτὸς δὲ παῦλος οὐ καταλέγει, ἀπὸ τοῦ σχηματικοῦ δ' ἐρημένων αὐτῷ, κατασκευάζει καὶ τοῦτο, ὅτι οὐκ ἀναίτιον μείζονι νομίζειν τοὺς λογιζομένους μείζον ἁλιφέναι χάρισμα, τοὐναντίον δ' ἔσται ὅτε ἐλάττοις. φησὶ γὰρ, ὅτι τοῖς ἀσχήμοσιν ἡμῶν, εὐσχημοσύνην περισσοτέραν περιτίθεμεν, ἐπὶ τοῖς ἀτιμοτέροις, τιμὴν περισσοτέραν. μὴ ἀφαιρῶ τοῦτο ἐπὶ τιμιώτερα ἐπὶ εὐσχημονέστερα ὧν τιμιωτέρων ἐπὶ εὐσχημονεστέρων ἐστίν; οὕτω, φησὶ, καὶ ὁ θεὸς ποιοῦσι τῷ ὑστεροῦντι, πλεῖον δίδωσι χά-

ρισμα, τῷ δὲ αὐτάρκως καὶ ἱκανῶς ἔχοντι ῥυθμίσαι ἑαυτὸν, ἔλαττον. μὴ οὖν ὑμῖν
ἀθυμητέον, ἔλαττον δοκοῦσιν ἔχειν χάρισμα, ἐστὶ καὶ ἡμεῖς αὐτοὶ τὰ εὐσχημονέστερα καὶ τιμιώτερα ἡμῶν μέλη, ἃ τε οὐ πολλῆς ἔχοντα χρείας εὐσχημοσύνης, ἐφ' ἧς ἐστι κοσμιότητος καὶ σεμνότητος μᾶλλον ἐοῦντες, τοῖς ἀτιμοτέροις καὶ ἀσχημονεστέροις τιμὴν καὶ εὐσχημοσύνην περιτιθέαμεν. ὥστε ἐκτὸς ἔλαττον λαβεῖν μᾶλλον ἐστὶν εὐθυμεῖν καὶ εὐχαριστεῖν, ὅτι οὕτως καθ' ἀρχὰς ἔθλασεν ὁ πάντα σοφῶς καὶ ἀκαταλήπτως θεὸς ἡμῶν πρῶν, ὥστε ἐλαττόνων δεῖσθαι εἰς αὐτάρκειαν καὶ τελείωσιν. ταῦτα δέ φησι, Τίσ τε ἔλαττον δοκοῦντας ἔχειν, ἐπὶ τῇ ἀθυμίᾳ παρακαλῶν, καὶ τοὺς πολέον λαβεῖν οἰομένους, πρὸς οἴησεως καταπαυῶν. τί φυσᾷς ἑαυτὸν, πολέον ἔχειν δοκῶν; ἀθενείας σου τὸ μαρτύριον ἐστὶν, ὅτι πολεόνων ἐδεήθης. τί καὶ τὸ πίπτῃς, ἔλαττον ἔχὼν δοκῶν; ἰσχύος σου τοῦτο τεκμήριον, ὅτι ἐλαττόνων σε δεηθέντα πρέδειξον ὁ θεός. ἐσόσωσε μὲν οὖν ἤρξατο καταβραχὺ πρὸς τὴν χρείαν ἰσάζειν αὐτοὺς, καὶ ἀνίσων ἐδόκησε τὸ χαρισμάτων τυχεῖν. ἔπειτα δὲ ἐς πολέον ἐτώθηε, τῇ ἐλαττῶσθαι δοκοῦντας. μᾶλλον γὰρ οἱ ἀθυμοῦντες δέονται παραψυχῆς, ἢ οἱ ἀλαζονευόμενοι φειδοῦς καὶ ἐπιεικοῦς τιτιμήσεως. εἶτα ταῦτα ἤτων, πάλιν συμβιβάζει αὐτοὺς εἰς τὴν ὁμοτιμίαν καὶ ὁμόνοιαν, ἵνα μὴ ᾖ, φησὶ, σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, καὶ ἑξῆς. τὰ δὲ εὐσχήμονα ἡμῶν. ἵνα μή τις εἴπῃ, καὶ τοῖς οὗτος λόγος προνοεῖν ὧν ἀσχημόνων καὶ ἀτίμων, καταφρονεῖν δὲ ὧν εὐσχημόνων; φησὶν, ἀλλ' οὐδενὸς ὧν ἧττον δέονται, ὡς φύσει τὸ εὐσχήμον ἔχοντα, παραμυθούμενος πάλιν δι' ὑπερβολῆς, τοὺς ἔχοντας τὰ μείζω χαρίσματα.

» Αλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμὴν, ἵνα μὴ ᾖ
» σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη. καὶ εἴτε πάσχει ἓν
» μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.

